Κεφ. γ'. 2 » Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις, ἐν αἷς πότε » περιεπατήσατε, κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας » τοῦ ἀέρος τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐν οἷς » καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, » ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ ὧν διανοιῶν, καὶ ἤμεν τέκνα φύσει ὀρ- » γῆς, ὡς καὶ οἱ λοιποί. Καὶ ὑμᾶς ὄντας νεκροὺς, τῷ σωματικῷ λέ- γει, τῷ ἐκ τοῦ Αδὰμ ἀρξαμένῳ νέκρωσιν, ἀλλὰ τῷ ψυχικῷ, τῷ δι' ἁμαρ- τιῶν. ἡ ἀνϑρώδοσις, μετὰ πολλῆς σύμφρασιν. καὶ ὑμᾶς ὄντας, φησὶ, νε- κροὺς τοῖς παραπτώμασιν. εἶτα πολλαῖς περιβολαῖς μετώσας τὸν λόγον, μετὰ ἐπαναλήψεως τοῦ αὐτοῦ ῥητοῦ, οἷον, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν, ἀπέδωκε τὸ καϑ' πρᾶς, συνεξωποίησε τῷ χριστῷ. πολλὴ δὲ αὐτῷ τοῦ τοῦ σχήματος ἡ χρῆσις. ᾗ αἷς ποτε περιεπατήσατε. ἡ ἀπελευμένως νόησον, ὅτι ἐν τῷ νῦν φησι κόσμῳ περιεπατήσατε ἐν ἁμαρτίαις. καϑ' τὸν αἰῶνα τοῦ κόσμου τούτου. αἰῶνα τοῦ κόσμου τούτου, τὸν διεφαρμένον λέγει βίον, καὶ τὸν ᾗ ἁμαρτίαις, διὰ τὸ πολιτεύεσϑαι ᾗ τῷ παρόντι βίῳ τὰς ἁμαρτίας. ἄρχοντα δέ φησιν ἐξουσίας, τὸν Σατανᾶν, διὰ τὸ τοὺς πολλοὺς ἡμῶν ἐκόντας ἐκ δεδωκέναι ἑαυτοὺς, ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν. οὔτε γὰρ ἐκ ϑεοῦ, ἀφ' ἑξῆς ἀρχὴν κεχειροτόνηται. ἄρχοντα οὖν αὐτὸν λέγει, πρὸς τὸ παρόντα ὁρῶν. τῆς ἐξουσίας. ἄρχει γὰρ καὶ ἐξουσιάζει ὁ Σατανᾶς, ὧν πνευμάτων καὶ πονηρῶν πνευμάτων. καϑ' οὗ. τουτέστι καϑ' οὗ βούλομαι καὶ ϑέλημα ὑμεῖς ἀπεστήσαντες καὶ νεκρωϑέντες, καὶ ὀργῆς τέκνα γεγονότες, τῷ πλούσιῳ ἐλέῃ τοῦ ϑεοῦ καὶ τῇ ἀνυπερβλήτῳ ἀγάπῃ, ἀνέσησεν καὶ ἐζωοποίησεν. τὸ λέγος. σαφῶς ἡμᾶς ἐδίδαξεν, ὡς πάλαι μὲν ὁ Διάβολος τὸ λέγος ἐψεύσϑη τὴν ἐξουσίαν. ἐκ τούτων δὲ ταύτης διὰ τὴν πονηρίαν, διδάσκαλος δυσσεβείας καὶ πονηρίας

ἐλύετο. ὃ μὴν ἀπάντων κρατεῖ, ἀλλὰ μόνων ὧν ὑπεστεμένων τὰ ϑεῖα κηρύγματα. τούτοις γὰρ ὑμῖς ἀποδείας εἶπε, τῆς ϑείας ἐνεργείας τοῖς Εφεσίοις ἀναμιμνήσκων, ὅτι νεκροὺς ἦσϑε παραπτώμασιν, καὶ ὑπὲρ τὴν ἐξουσίαν τελοῦντας τοῦ Διαβόλου, τῆς σωτηρίας ἠξίωσεν. ΑΛΛΑ. καλῶς τὸ, τὸ ἄλλος, πεσόϑηκεν. ἦ γὰρ καὶ ἄρχοντα αὐτὸν ἡμεῖς ἐχϑροτονήσαμεν, ὑπὸ τὸν οὐρανόν ἐστιν αὐτοῦ ἡ ἀρχή, ὑπὸ τὸν οὐρανόν. ὁ δὲ ὢν ὑπὲρ τὸν οὐρανὸν, ἢ ἐν τῇ γῇ ἐστιν ἢ ἐν τῷ ἀέρι. οὔτε δὲ ὡς ὢν πνεῦμα ἐν τῷ ἀέρι ἐστί. φύσις γὰρ τῆς πνεύμασιν, ἡ ῥωαέριος διατριβή. ὅρα δὲ τὸ καϑ' πρὸς τοῦ χωρίου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας. πῶν τοῦτον; τὸν τοῦ ἀέρος ἄρχοντα, τουτέστι τὸν ῥωαέριον ἄρχοντα. ὑπὸ γὰρ ἀέρος ἄρχει, ἀλλὰ ἀεριῶν. εἶτα πάλιν ἐπισαφηνίζων αὐτὸ, φησὶ, τοῦ πνεύματος. πνεῦμα γὰρ ὁ Σατανᾶς, ἐπειδὴ ὡς πρὸς ἡμᾶς, καὶ ἀσώματος. ἢ ὅτι ἄρχων ἐστὶ τοῦ ἀέρος τοῦ πνεύματος, τουτέστι τοῦ ὄντος ἐν τῷ ἀέρι πνεύματος, οἷον ὧν ἀεριῶν πονηρῶν πνευμάτων. ἄρχων γὰρ αὐτῶν πολίν πάσι, ἄρχει καὶ μᾶλλον τοῦ πάσιν. Ὥστε καὶ τὸ νόημα τοῦτο, ὃ μᾶλλον καὶ ὁ ἅγιος Κύριλλος καὶ ὁ ἅγιος Ιωάννης δέχεται, ἄρχων μὲν ἐστὶ ὧν μετ' αὐτοῦ πεσόντων, ἡμῶν δὲ, οὐκ ἄρχει γὰρ ἡμῶν, ἀλλὰ μόνον ῥωεργεῖ, ἔξον ἡμῖν, μὴ δέξασϑαι αὐτοῦ τὴν ἐνέργειαν. τοῦ νῦν ῥωεργοῦντος. ὁρᾷς ὅτι γὰρ εἶπεν ἀναγκάζοντος ἢ βιαζομένου, ἀλλ' ῥωεργοῦντος; καίτοι ἦ ἄρχων ἐν τῇ ἀληϑείᾳ, καὶ μὴ ἐκτὸς ἡμῶν ῥαϑυμίας καὶ πονηρίας κεχειροτόνητο, καὶ τοῦ ἀναγκάζειν ἐξουσίαν ἂν. νῦν γὰρ τὸ, ἐνεργοῦντος, δηλοῖ, ὅτι ἑκόντες αὐτὸν παραδεχόμεϑα. καὶ ὅτι τοῦτο ἐστὶν, ἐπάγει, τοῖς υἱοῖς τῆς ἀπειθείας, τουτέστι τοῖς ϑεῷ μὲν μὴ πειϑομένοις, ἐκείνῳ δὲ οὐ μὴν ἀναγκαζομένοις. εἶτα ἐπάγει, ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημεν. ἐπειδὴ γὰρ ἤγαγε μνήμην ὧν ἁμαρτημάτων αὐτῶν, ἵνα μὴ αἰσχύνωνται ἐαυτοὺς, καὶ ἑαυτὸν κοινωνὸν ποιεῖ, καὶ ὃ μόνον ἑαυτὸν, ἀλλὰ καὶ πάντας, ταύτῃ καὶ τῷ δυνάμενον τοῦ λυτρωσαμένου Χριστοῦ ἀνακηρύττων. σαρκὸς δέφησι, ὧν σαρκικῶν ἐπιθυμιῶν. τῆς σαρκὸς καὶ ὧν διανοιῶν. ὡς ἦ εἶπε, καὶ σωματικῶς καὶ ψυχικῶς ἁμαρτάνοντες. καὶ ἦμεν τέκνα φύσει ὀργῆς. ὥσπερ τέκνα ἀπωλείας καὶ γεέννης εἴρηνται οἱ ἄξια ἀπωλείας καὶ γεέννης πράττοντες, οὕτω καὶ τέκνα ὀργῆς οἱ ἄξια ὀργῆς. οὕτω καὶ ὁ Ιούδας υἱὸς ἀπωλείας, τῷ τὰ τῆς ἀπωλείας πεπραχέναι. τὸ δὲ, φύσει, οἷον ἀληϑῶς, γνησίως, ὡς οἱ λοιποί. οὐδεὶς γὰρ ἴσως τοιούτων ἐλεύϑερος.

» Ὁ δὲ ϑεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπη- » σεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ. » χάριτί ἐστε σεσωσμένοι, καὶ συνήγειρε καὶ συνεκάϑισεν ἐν τοῖς ἐπουρανίοις ἐν χρι- » στῷ Ιησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις, τὸν ὑπερβάλλοντα πλοῦ- » τον τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν χριστῷ Ιησοῦ.

Οὐκ ἀπλῶς ἐλεήμων, ἀλλὰ πλούσιος ἐν ἐλέει. ἐν μὲν τοῖς πλουσίοις χρῶ Φωτ. ἀνενέργητός ἐστιν, οὐδὲν ἰσχύει, μηδὲν ἐξουσιάζει. οἱ δὲ αὐτοῖς υἱοὶ καὶ κληρονόμοις τῆς ἀπειθείας αὐτοῦ ἀπορυασάμενοι, οὗτοι καὶ ἐνεργοῦνται καὶ ἐξουσιά-

ζονται ὑπ' αὐτῦ, καὶ ἡμεν ἡμεῖς ὑπ' τὴν ἐξουσίαν αὐτῦ. πῶς; ὃν τῷ πρεῖν τὰ θελήματα αὐτῦ. ἀλλ' ὁ θεὸς πλούτῳ ἐλέους καὶ ὑπεραγαπήσεως ἐρρύσατο ἐκεῖθεν, καὶ νεκροθέντας ἀνέστησε. διὰ τὴν πολλὴν ἀγάπην αὐτῦ. τίνα δέ, ἀλλὰ τὸ πολλοῦ ἐλέους γέγονε. πῶς γάρ; οὐ οἱ τέκνα ὀργῆς ὄντες ἠγαπήθημεν; καὶ ὄντας ἡμᾶς νεκρούς. νεκροὺς, ὅσον πρὸς ἐνέργειαν ἀγαθοῦ τινος. τίνα δέ γέγονε, φησί, διὰ τὰ παραπτώματα ἡμῶν. συνεζωοποίησε τῷ χριστῷ. πάλιν τὸν χριστὸν ἡμῶν φέρει, ἀξιόπιστον τὸ πρᾶγμα ποιῶν. ἦ γὰρ ἡ ἀπαρχὴ ζῇ, καὶ ἡμᾶς τὸ λοιπὸν αὐτῦ σῶμα συνεζωοποίησεν. Νῦν μὲν τῇ δυνάμει, ὕστερον δὲ καὶ ἐνεργείᾳ. χάριτι ἐστὲ σεσωσμένοι. ἢ καὶ πάτῳ, ἢ καπραπτώμασιν ἰδίοις. δεῖ γὰρ κολάσαι τὸ γλωμένους τέκνα, φησὶν, ὀργῆς, ῥυτις ἔβοσε χάριτι μόνη. καὶ συνήγειρε καὶ συνεκάθισεν. ὥστερ γὰρ τῆς ἀπαρχῆς ἡμῶν καὶ τῆς κεφαλῆς τὸ χριστῦ ἐγηγερμένης, καὶ ἡμᾶς δι' αὐτῆς ἤγειρεν, οὕτως αὐτῆς καθεζομένης, καὶ τὸ λοιπὸν σῶμα συγκαθηται. διόφησιν, ἐν χριστῷ Ἰησοῦ, τυτέστι διὰ χριστῦ Ἰησοῦ. ὅπερ δὲ καθίσουσιν οἱ ἄξιοι, ἄκουε τῦ Χρισοῦ λέγοντος τοῖς μαθηταῖς. καθήσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τῦ Ἰσραήλ. καὶ πάλιν. τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ ἐυωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασαι παρὰ τῦ πατρός μου. τέως οὖν ἡτοίμασαι. καὶ πάλιν. θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ οἱ διάκονοι οἱ ἐμοί. ἵνα ἐνδείξηται τοῖς αἰῶσι. ἵνα μὴ τις ἀπιστήσῃ τοῖς ἁγιωθεῖσι, ὅρα πῶς αὐτὸ πιθανὸν ποιεῖ καὶ φησιν. ταῦτα δὲ ἐγρσοῦν δὲ διὰ τὸ πρὸς ἡμᾶς ἀγάπην μόνον, ὅσον ἵνα καὶ ἐνδείξηται τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτῦ ἐν τοῖς μέλλουσιν αἰῶσι, φησιν. ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. τυτέστιν ἐκ ἀχρι τῦ χριστοῦ ταῦτα μόνον φαίη, ἀλλὰ διαὐτῦ ἤρξεται καὶ ἐς ἡμᾶς ὡς ἀπαρχῆς πρὸς τὸ ὅλον. τί δὲ ἤρξε; τὸ συζωοποιηθῆναι, τὸ συγκαθίσαι.

» Τῇ γὰρ χάριτι ἐστὲ σεσωσμένοι διὰ τῆς πίστεως, καὶ τῦτο ἐκ ἐξ ὑμῶν. θεοῦ τὸ δῶρον.
» οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. αὐτῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν χῷ Ἰησοῦ
» ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

Τῇ γὰρ χάριτι. τῇ διὰ τῆς πίστεως χάριτι. καὶ τῦτο ἐκ ἐξ ὑμῶν. ἐξ ὑμῶν μὲν ἡ πίστις, ἀλλὰ καὶ αὐτῆς πρόφασις ὁ θεός. ἦ γὰρ μὴ ἐνηυθρώπησε, πῶς ἐκ ἐχομεν πιστεῦσαι; πῶς γάρ, φησι, πιστεύσυσιν, ἐὰν μὴ ἀκούσωσι; διὸ δῶρον θεοῦ καλεῖ τὴν πίστιν. ἢ καὶ δῶρον διὰ τῦτο, ὅτι ἀπὸ ὑ πίστις σῶσαι ἴσχυε καθ' ἑαυτὴν, ἢ μὴ ὁ θεὸς ἠβουλήθη διὰ τῆς πίστεως σῶσαι. ὥστε τὸ πιστεῦσαι ἡμᾶς, δῶρον θεοῦ, καὶ τὸ διὰ πίστεως σωθῆναι, δῶρον θεοῦ. ἐκ ἐξ ἔργων ἵνα μή τις καυχήσηται. ἐκ ἐπὶ δὲ οὐκ ἐβούλετο ἐξ ἔργων σῶσαι, ἀλλ' ὅτι ἀπὸ ἐκ ἴσχυεν ἐξ ἔργων σωθῆναι, ἢ μὴ διὰ πίστεως. ἐπεὶ οὖν οὐδεὶς ἴσχυσεν ἐξ ἔργων σωθῆναι, ἀπὸ καυχήσεται.

Φωτ. οὐκ ἐξ ἔργων. ἵνα μή τις ἀφορμὴν ἀπονοίας λάβῃ, ὡς ἐξ οἰκείων ἔργων σωθείς, καίτοι καὶ ἡ ἐξ ἔργων σὺν σώζεσθαι, οὐδ' οὕτως, φησὶν, ἐχρῶ εἰς ἀπόνοιαν καὶ καυχησιν ἐκτεσεῖν. διὰ τί; ὅτι ποίημα ἐσμὲν τῦ θεοῦ. καὶ οὐ τῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ τῷ ἀγαθοεργεῖν κτισθέντες. ὥς τε καὶ ἡ ἐξ ἔργων ἐφιζόμεθα, εἰς θεὸν ἀναπέμπειν δίκαιοι

ἀναφέρειν πῶν αἰτίαν καὶ πῶν εὐχαριστίαν, ὅτι αὐτὸς ἡμᾶς ἐπὶ τῦτο ἔκτισεν, ἀπὸ χὶ εἰς ἐυεργεσίαν τὴν τῆς ἀπονοίας κρατυνῶμεν. ὅτε δὲ καὶ πεισθέντες, ἐπὶ ἔργοις ἀγαθοῖς ἐ μόνον ὀφθέν ἠγαθουργήσαμεν, ἀλλὰ καὶ εἰς τὸ ναντίον ἀπενέχθημεν, καὶ ἀπενεχθέντες ὑκ ἐξεσώθημεν, ἀλλὰ χάριτι καὶ δωρήματι θεοῦ, πολλάκις δὲ εὐχαριστία παρ' ἡμῶν ὀφείλεται τῷ θεῷ; τὸ δὲ, ἐπὶ ἔργοις ἀγαθοῖς κτισθέντες, ἅμα καὶ προτρέπτικός ἐστι καὶ διανισώντος ἐπὶ πράξεις ἀγαθάς. ἵνα εἴπῃ, χρεὼ ἐστὲ ποιεῖν τὸ ἀγαθὸν, καὶ ἀρχαῖον ἐστὶ τὸ χρέος. ἐπὶ τῦτο γὰρ ἐκτίσθητε, ἀλλὰ καὶ τόκοις αὐτὸ πολλοῖς ἐβαρώσατε καὶ ἠυξήσατε, μηδὲν ἀποδιδόντες, ἀλλὰ καὶ διὰ παραβάσεως περεσπιθέντες. χρέα οὖν πολλῆς σπουδῆς καὶ ἐπιμελείας, ἧς τὸ ὀφειλόμενα ἀπῆσαι. κτισθέντες ἐν Χριστῷ Ἰησοῦ. εἶτα ἵνα μὴ ἀκούσαντες ὅτι ὑκ ἐξ ἔργων ἐσώθημεν ἀλλὰ χάριτι, ῥαθυμότεροι γλυώμεθα, δείκνυσιν ὅτι μετὰ πίστιν, καὶ ἔργων χρεία. αὐτὸς γάρ ἐσμεν, φησι, ποίημα, κτισθέντες διὰ Ἰησῦ Χρισοῦ, οὐ πῶ πρώτῳ ἡμῶν δημιουργίαν λέγων, ἀλλὰ πῶ δευτέραν πῶ ᾧ τῷ βαπίσματι. ἐκτίσθημεν δέ, φησιν, ἐπ' ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς, ἵς τὸ ἐν αὐτοῖς, φησι, περιπατῆν. ᾧσει δὲ ταῦτα καὶ περὶ τῆς πρώτης δημιουργίας νοεῖν. οἷς προητοίμασεν ὁ θεός. οἷς καὶ πὸ τὸ βαπίσματος, φησὶν, ἡτοίμασεν. ἵνα ᾧ αὐτοῖς περιπατήσωμεν. πῶ ἐπ' αὐ-
» τοῖς ἄπαυσον σχέσιν δηλοῖ. Διὸ μνημονεύετε ὅτι ὑμεῖς πτὲ τὰ ἔθνη ᾧ
» σαρκὶ οἱ λεγόμενοι ἀκροβυσία, ὑπὸ τῆς λεγομένης περιτμῆς ᾧ σαρκὶ χειροποιήτου,
» ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι τῆς πολιτείας τῦ
» Ἰσραὴλ, καὶ ξένοι ὢν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ᾧ
» τῷ κόσμῳ. νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε
» ἐν τῷ αἵματι τῦ χριστοῦ. Διὸ μνημονεύετε. ἐπεὶ οὖν ὅλως ἐπ' ἔργοις ἀγαθοῖς ἐκτίσθημεν, μνημονεύετε. καὶ γὰρ ἔθος τοῖς ἀπὸ πολλῆς εὐτελείας ἧς ὕψος ἀναβραμοῦσι, μὴ δὲ μεμνῆσθαι ὧν πετέρων. ὅτι ὑμεῖς ποτέ. δηλῶ ἡμεῖν ὅτι ὑμεῖς οἱ ἀκρόβυσοι, ἐν τοῖς ἔμπροσθεν χρόνοις, ἀμήτριοι ἦτε τῦ θεοῦ καὶ ὧν ἐπαγγελιῶν. νυνὶ δὲ, οἱ τότε ὄντες ἀλλότριοι καὶ πόρρω, εἰγγὺς ἐγενήθητε. δείκνυσι δὲ ἐκ τύτου, τὸ χρισοῦ πῶ κηδεμονίαν, ὅτι τοὺς ἀπηλλοτριωμένους καὶ ἐλπίδα μὴ ἔχοντας ἔσωσεν. ὅρα δὲ εὐφυῶς πῶς καταβάλλει πῶ περιτμήν, δείκνυς ᾧ λόγῳ μόνον καὶ ὑκ ἔργῳ τινὶ γλυαίως ἔχειν αὐτῷ, ὡς πρὸς πῶ ἀκροβυσίαν τὸ Διάφορον. ὑμεῖς γάρ, φησι, τὰ ἔθνη οἱ ἐν σαρκὶ, ἀλλ' ὑκ ᾧ πνεύματι, καὶ οἱ λεγόμενοι. (ὑ γὰρ ὄντες κατὰ τὸν πνευματικὸν λόγον.) ὡσεὶ εἶπεν, ἐν σαρκὶ καὶ ἐν λόγοις τὸ ἐλαττον, ὑδαμοῦ ἐν πνεύματι. εἶτα πάλιν περὶ τῆς περιτμῆς λέγων φησὶν, ὑπὸ τῆς λεγομένης καὶ χειροποιήτου, πῶ ἐν λόγοις μόνον καὶ σαρκὶ πρεπίμησιν δηλῶν. ὅπ ἦτε. τί μνημονεύετε, ὅτι ἦτε, φησὶν, ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς χῦ; τύτο ἰῶ, φησι, τὸ δεινόν. τὸ δὲ τῆς ἀκροβυσίας, ἄχρι σαρκὸς ἐ ὀνόματος ἰῶ ψιλοῦ. εἶτα ὅτι καὶ ἀπηλλοτριωμένοι ἦτε τῆς πολιτείας τῦ Ἰσ, ἐ τύτο δεινόν. ἦ γὰρ καὶ ἀνάξιοι ὤφθησαν οἱ ἐξ Ἰσ, πολὺ μᾶλλον ἦσαν θεόν. καὶ ξένοι ὢν διαθηκῶν.

ἢ τῶ νόμου, ἢ τῆς πρὸς αὐτοὺς ἐπαγγελίας. οὐκ εἶτε δὲ κεχωρισμένοι, οὐδ' ἀπηλλοτριωμένοι, οὔτε πάλιν, οὐ μετέχοντες, οὐδὲ ξένοι. ἅπερ πολλὴν δείκνυσι τὴν οἰκειότητα. ἐλπίδα μὴ ἔχοντες. οἱ Ἰουδαῖοι γὰρ καὶ ἀπέτυχον δι' ἀναξιότητα, εἶχον μέντοι ἐλπίδα ἐκ τῆς ἐπαγγελίας. τί πρὸς ὑμᾶς, φησι, τοὺς ἔθνη τοὺς μὴ ἔχοντα ἐλπίδα; καὶ ἄθεοι, φησὶν, τῶ κόσμω. καίτοι προσκύνουσι θεούς, οὐκ ἦσαν θεοί. ὑμεῖς οὖν, φησιν, ἄθεοι ἦτε. οἱ γὰρ Ἰουδαῖοι καὶ προσέκρουον, ἤδεισαν μόνον θεόν. καὶ ἄθεοι ὄντω κόσμω. τῆ καθ' ὃν παρόντα βίον πολιτείᾳ ὑμῶν καὶ λατρείᾳ. ὃν γὰρ τρόπον μέλλοντι, καὶ ἄκοντες ἐπιγνώσονται τὸν θεόν. οὐ μόνον δὲ, οὐδὲ καὶ κατὰ τὸν παρόντα ὡς δημιουργήματα καὶ προνοούμενα, οὐκ ἦσαν ἄθεοι. πῶς οὖν ἄθεοι; ἀπὸ τῆς καθ' ὃν κόσμον πολιτείας, ἀπὸ τῆς λατρείας, ἀπὸ τῆς βεβήλου προαιρέσεως. νυνὶ δὲ ὃν Χριστῶ Ἰησοῦ. δείξας πολὺ καὶ σφόδρα ἀφεσιμότατα τοὺς ἔθνη τὴν θεοῦ τὴν πρὸς Ἰουδαίους παραθέσει, δείκνυσιν ὅτι δι' μόνω φιλανθρωπίαν θεοῦ ἐγγὺς γεγόνασι. τὸν δὲ πάντα κεκίνηκε τὸν λόγον, δείκνυσι πῶ πρὸς τὰ ἔθνη τοῦ θεοῦ κηδεμονίαν. ὅσῳ γὰρ πρόρρω ὄντες ἐγγὺς γεγόνασι, τοσούτῳ μᾶλλον δείκνυται ἡ τοῦ θεοῦ πρόνοια περὶ αὐτούς. ἐγγὺς ἐλήλυθατε. τὸ ἐγγὺς καὶ τὸ μακρὰν προαιρέσεως ἐστὶν οὐ τόπου. οἱ μακρὰν οὖν ὄντες τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ δι' αἷμα τοῦ καὶ τοῦ θεοῦ, ἐγγὺς γεγόνατε. ἢ οἱ μακρὰν ὄντες τῆς τοῦ Ἰσραὴλ πολιτείας, τῆς κατὰ θεὸν ἐγγὺς γεγόνατε. τοῦτο γὰρ δηλοῖ τὸ ἐπήμφιον, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. καὶ τὸ πρῶτον δὲ καλῶς ἔχει, τοῦτῳ αἵματι, φησὶ τοῦ Χριστοῦ, τουτέστι δι' αὐτοῦ αἵματος αὐτοῦ. αὐτὸς γὰρ τὸ αἷμα ἐκχέας ὑπὲρ ἡμῶν, καὶ τοῦτῳ λύσας τὴν ἁμαρτίαν, πάντας ἤγαγεν ἐγγύς. αὐτὸς γάρ ἐστι, φησὶν, ἡ εἰρήνη ἡμῶν. πρὸς γὰρ τὴν ἀνθρωποποίησιν, βδελυκτὴν ἦμεν καὶ ἀγγέλοις καὶ Ἰουδαίοις, οὐ μόνον ἐχθροί. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας τὴν ἔχθραν ἐν τῆ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν αὐτῶ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῶ θεῶ, διὰ τοῦ σταυροῦ ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῶ. καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ τοῖς ἐγγύς. ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα.

Ο τρίσας τὰ ἀμφότερα ἕν. τοὺς τε Ἰουδαίους καὶ τοὺς ἐξ ἐθνῶν. τοῦτο δὲ λέγει, οὐχ ὅτι ἐξ ἀρχῆς τῶν Ἰουδαίων ἡμᾶς πολιτείαν ἤγαγεν, ἀλλ' ὅτι ἐκείνους καὶ ἡμᾶς διαζεύξας τῶν πατρῴων ἐθῶν καὶ παραδόσεων καὶ ἀλλήλοις συζεύξας, ἐξ ἀρχῆς αὐτοῖς πίστιν ἤγαγεν ὁ Χριστός. πολὺν τὰ ἔθνη μάλιστα εὐχαριστεῖν ὀφείλομεν, ὅσῳ καὶ μάλιστα ξένοι ἦμεν. καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ. μεσότοιχον φραγμοῦ, φησι, τὴν ἔχθραν τὴν πρὸς θεὸν, ἡμῶν τε καὶ Ἰουδαίων, ἥτις ἐκείνων ἡμετέρων ἐγίνετο παραβαμάτων, ὡς καὶ αὐτός φησι, διὰ τοῦ προφήτου. οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διίστασιν ἀναμέσον ὑμῶν καὶ ἐμοῦ; τοῖον δὲ μεσότοιχον; τὴν ἔχθραν φησὶ, τὴν πρὸς θεόν. τοῦτ' ἔστι τῆς σαρκὸς αὐτοῦ. ἡ γὰρ μὴ ἀποθανοῦσα

θανοῦσα ὑπὲρ ἡμῶν, οὐκ ἂν ἐλύθη ἡ ἁμαρτία ἡ χωρίζουσα ἡμᾶς ἀπὸ θεοῦ. διπλῆν ἦν ἡ ἔχθρα, καὶ Διπλοῦν τὸ μεσότοιχον, μᾶλλον δὲ καὶ τριπλῆ. ἅμα καὶ πρὸς ἀγγέλους ἐξεπολέμωτο τὸ ἀνθρώπινον. νυνὶ δὲ τέως περὶ τῶν δύο διαλαμβάνει, ἦν εἶχον οἱ ἐξ ἐθνῶν πρὸς τοὺς ἐξ Ἰουδαίων, καὶ ἦν ἄμφω πρὸς τὸν θεὸν τῶν ὅλων, οὐκ ἑκατέραν ἔχθραν ἑκατέρου μεσότοιχον, ἔλυσε Χριστὸς ὁ θεὸς ἡμῶν. τὸν νόμον τῶν ἐντολῶν. ἐπειδὴ ἔδωκε τὸν νόμον, ἀσφαλιζόμενον ἡμᾶς, ἡμεῖς δὲ παρέβημεν αὐτὸν οἱ ἀνθρωποι, ἔλυσε καὶ αὐτὸν τὸν νόμον. ὥσπερ οὐκ εἴ τις παιδαγωγὸν δοὺς παιδίῳ, ἐπεὶ μὴ ἤκουε τοῦ παιδαγωγοῦ, ἐλεύθερον ἐποίησε τοῦ παιδαγωγοῦ, δέον κολάσαι, καταργήσας δέ, φησι, τὸν νόμον τῶν δόγμασιν, ἢ τῆ πίστει, ἢ οἷς αὐτὸς εἶπεν, ἐγὼ δέ, φησι λέγω ὑμῖν. ἵνα τῆ δύο πίσῃ. ὁρᾶς ὅτι οὐχὶ Ἕλλην γέγονεν Ἰουδαῖος, ἀλλὰ καὶ οὗτος κἀκεῖνος εἰς ἀμείνω πάντα πάσασιν ἦλθον; πίσῃ, φησί, δείκνυσι τὴν ἀναλύνσιν. εἰς ἕνα γὰρ πάντες ἐσμὲν ἐνπεπισμένοι νέον τινὰ καὶ πιστὸν ἄνθρωπον, καὶ τὸ γήρως τῶν ἁμαρτιῶν ἀποτρίψαντα. ἐν ἑαυτῶ. οἷον δι' ἑαυτοῦ. οὐδὲ δι' ἀγγέλων, ἢ ἄλλων τινῶν δωμάτων, ἀλλὰ δι' ἑαυτοῦ. ἢ ὅτι, φησὶ, τὸν πρῶτον γεγόμενος, καὶ τὸν πρὸ αὐτοῦ πρόδειγμα παρασχών. καὶ ἀποκαταλλάξῃ. πρὸς τὸν θεὸν τοὺς ἀνθρώπους. οὐδὲ γὰρ ἀνθρωποκατηλλάγησαν τῶ θεῶ, μένοντες Ἰουδαῖοι καὶ Ἕλληνες. ὅτι μὲν πρὸ τοῦ σφόδρα ἦσαν ἀποκαταλλακτοὶ πρὸς τὸν θεὸν, δείκνυσιν ἡ ἐμφασις τοῦ, ἀποκαταλλάξῃ. ἐν ἑνὶ σώματι τῶ θεῶ. οἷον γενομένους ἓν σῶμα, οὗ αὐτός ἐστι κεφαλή. Διὰ μὲν τοῦ, ἐν ἑνὶ σώματι, τὴν πρὸς ἀλλήλους ἐμφαίνει καταλλαγήν. διὰ δὲ τοῦ, τῶ θεῶ, τὴν πρὸς θεὸν ἀμφοτέρων. διὰ τοῦ σταυροῦ ἀποκτείνας. πῶς δὲ ἀποκατήλλαξε τῶ θεῶ; ἀποκτείνας, φησὶ, τὴν ἔχθραν δι' αὐτοῦ. διὰ τοῦ σταυροῦ γὰρ λύσας τῶ θανάτω αὐτοῦ τὴν ἁμαρτίαν, καὶ τὴν ἔχθραν ἔλυσεν. σαφὲν δὲ ἐμφανεστικώτερον τοῦτο, ἀποκτείνας. τὸ γὰρ ἀσάλευτον τῆς λύσεως δηλοῖ. πῶς οὖν νῦν φαίνῃς, πάλιν ἁμαρτάνομεν, ἑτέρας ἁμαρτίας χωνεύοντες; αἱ γὰρ πρότεραι ἀπεκτάνθησαν. καὶ ἐλθὼν εὐηγγελίσατο. μηδένα πέμψας, ἀλλ' αὐτὸς ἑαυτῶ διακονησάμενος. μακρὰν δὲ, τοὺς ἔθνη καλεῖ, καὶ ἐγγὺς τοὺς Ἰουδαίους. ἔχομεν τὴν προσαγωγήν. τὴν καταλλαγὴν, καὶ τὴν εἰρήνην τὴν πρὸς τὸν θεόν. ὃν γὰρ ἀφ' ἑαυτῶν ἀπωλέσαμεν, ἀλλ' ὑπὸ Χριστοῦ προσήχθημεν. ἐν ἑνὶ πνεύματι. οὐκ ἐκεῖνοι μὲν ἄπτε ἐγγὺς ὄντες, οὐ μείζονι, ἡμεῖς δὲ ὡς μακρὰν, οὐκ ἐλάττονι. διὰ γὰρ τοῦ πνεύματος ἐσφάσοις πρίσας, προσήγαγε τῶ πατρί. καὶ ὅτι διατεέαυτῶ καὶ τῶ πνεύματος προσήγαγε. Ἆρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη, αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι.

Οὐκέτι ἐστὲ ξένοι. οἱ γὰρ μὴ ἔχοντες πάλαι ἐλπίδα τεύξασθαι τῶν ἐπουρανίων, ξένοι ἦσαν καὶ πάροικοι. τῶν ἁγίων. ναῶ δέ, φησι, τὸν αὐτὸν ἔχετε τοῖς ἁγίοις πάλιν, τὸν ἐπουράνιον Ἱερουσαλήμ. ὅρα δὲ, οὐκ εἶτε τῶν Ἰουδαίων, ἀλλὰ τῶν ἁγίων,

ὧν ἀμφὶ ὧν Αβραάμ, φησιν. καὶ οἱ κεῖοι τᾶ θεοῦ. ὅτω γαρ ἔχον ἐκεῖνοι; φησί, μυρίοις πρόνοις, τᾶρ ὑμῖν διὰ τᾶς πίστως δεδώρηται. τὰν δ' ἄγαν ἕνωσιν τὰν πρὸς τὸς προφήτας καὶ ἀποστόλους ὧν ἐθνῶν σημᾶναι θέλων, ἐποικοδομηθέντες φησίν, ὥστε εἶπε. θεμελίῳ ἀπόκεινται οἱ προφῆται, καὶ οἱ ἀπόστολοι, ὑμεῖς τὰν λοιπὰν οἰκοδομιὰν ἀναπληροῦτε. ἵνα γένηθε οἱ πάντες ἁγιεῖν, ναὸς θεοῦ. εἶον δέ ἐστν, ἐπάνω προφητῶν καὶ ἀποστόλων οἰκοδομεῖσθαι. ὧν ἀποστόλων καὶ προφητῶν. ὅρα ὅτι πρῶτοι οἱ ἀπόστολοι. ὀντως ἀκρογωνιαίου. αὐτὸς γαρ ὁ καὶ τὸν θεμέλιον καὶ τὸν οἰκοδόμημα συνέχων καὶ συσφίγγων, καὶ ὅρα. πρτὲ ἄνωθεν αὐτὸν συσφίγγειν λέγει, ὕθα κεφαλιὰ αὐτὸν λέγει, πρτὲ δὲ κάτωθεν, ὡς ἐπὶ τᾶ ἀκρογωνιαίου, ἀμαχοῦ δὲ καὶ θεμέλιον φησὶ τὸν χρισόν. ἐν ᾧ πᾶσα. ἐν ᾧ ἀκρογωνιαίῳ. συναρμολογουμένη. δείκνυσι τὰν ἀκριβῆ οἰκοδομὰν, ἅμα διὰ λίθων, μὴ ἄλλως εἰς ναὸν αὔξειν ἅγιον ἢ ὅλως σώζεσθαι, ἢ μὴ μετὰ ἀκριβεστέρου βίου. αὔξει εἰς ναόν. ἐν γαρ οἰκοδομᾶ αὖτᾳ αὔξουσα καὶ πληρουμένη, ἀποτελεῖται ναὸς θεοῦ. συνοικίσω γαρ ἐν αὐτοῖς, φησι. καὶ κοινὰ γαρ εἰς τὰν ἐκκλησίαν οἰκεῖ ὁ θεὸς, καὶ διὰ εἰς ἕκαστον ὧν ἀξίων. ἐν κυρίῳ. τὸ, ἐν κυρίῳ, διὰ κυρίου, καὶ ὑμεῖς συνοικοδομεῖσθε, τᾶν πρώτην οἰκοδομιὰν, τᾶς καθόλου ἐκκλησίας εἴρηκε. ταύτην δὲ, ὧν ἐν Εφέσῳ. ἐν πνέυματι. ἢ διὰ πνεύ-

Κεφ. Ν. 3 » ματος, ἢ ἐν πνευματικᾶ οἰκοδομᾶ. Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τᾶ » χριστοῦ Ιησοῦ ὑπὲρ ὑμῶν ὧν ἐθνῶν, εἴγε ἠκούσατε τᾶν οἰκονομίαν τᾶς χάριτος τοῦ » θεοῦ τᾶς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι τὸ μυστήριον κα» θὼς προέγραψα ἐν ὀλίγῳ, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τᾶν ξύνεσίν μου » ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ, ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς ὧν ἀνθρώπων ὡς » νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν πνεύματι, εἶναι » τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τᾶς ἐπαγγελίας αὐτοῦ ἐν τῷ » χριστῷ διὰ τοῦ εὐαγγελίου. Τούτου χάριν ἐγὼ Παῦλος ὁ ὑπὲρ ὑμῶν ὧν ἐθνῶν δέσμιος τοῦ χριστοῦ Ιησοῦ. ἐστι γαρ εἶναι μὲν δέσμιον τοῦ χριστοῦ, τούτεστι διὰ τᾶν εἰς αὐτὸν ἁμαρτημάτων πίστιν δεδέσθαι καὶ κολάζεσθαι, ἀπ' ὄχλου καὶ ὑπὲρ ὧν ἐθνῶν. τουτέστι διὰ τᾶν διδασκαλίαν καὶ τὸ κήρυγμα ὁ κηρύσσων τὰς ἐν τοῖς ἔθνεσιν, ὥστε πολλοὶ ὧν μαρτύρων. ὄχ ὅτι γαρ ἐδίδασκον τὰ ἔθνη, ἀπ' ὅτι ὄκ ἤθελον, ἐκολάζοντο. ὁ δὲ Παῦλος, διὰ ἀμφότερα καὶ ὑπὲρ τοῦ χριστοῦ, καὶ ὑπὲρ ὧν ἐθνῶν. ὁ δέσμιος τοῦ χριστοῦ Ιησοῦ. ἐπεδείκνυ, φησιν, ὁ δεσπότης μου τοιαῦτα ἐποδείξατο εἰς ὑμᾶς, ἀνάγκη κἀμὲ τὰ κατὰ δύναμιν ἐσπουδακέναι. ὁ δέσμιος. τοῦ δεσμοῖς γαρ ὧν ἐγραφον. ἅμα δὲ καὶ τὸν διδάσκαλοι, ὁ δεσπότης μου ἐσταυρώθη, ἐγὼ δὲ τέως δέδεμαι ὑπὲρ ὑμῶν ὧν ἐθνῶν. εἴγε ἠκούσατε. τᾶν πρόῤῥησιν λέγει, τᾶν πρὸς τὸν Ανανίαν λεχθεῖσαν, ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος, τὸ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ὧν ἐθνῶν. τᾶν οἰκονομίαν τᾶς χάριτος τοῦ θεοῦ. οἰκονομίαν χάριτος, τᾶν ἀποκάλυψιν φησὶν, ὅτι γ' παρὰ ἀνθρώπου ἔμαθον, ἀπ' οὕτως ᾠκονόμησεν ἡ χάρις τοῦ θεοῦ, ὥστε μοι δι' γράμματος ἀποκαλυφθῆναι. χάριτος γαρ τό, τε καλέσαι, καὶ τὸ πληρῶσαι τῷ φωτὶ, ἵν' εὐσεβέστερος γένηται. τᾶς δοθείσης μοι εἰς ὑμᾶς. αὐτὸς γαρ μοι εἶπε, φησὶν,

φησὶν, ὅτι εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι τὸ μυστήριον. μυστήριον γαρ ἀληθῶς τὸ τοῖς Ελλησι λίθοις πεποικιλωμένοις, εἰς τοσαύτην ἐπαρθῆναι δόξαν καὶ εὐγλωττίαν, ὃ καὶ αὐτὸ ἀπεκαλύπτετο αὐτῷ. καθὼς προέγραψα ἐν ὀλίγῳ. ὡς προλεχθείσας ἀνω λέγει οἰκονομίας, ὅτι ἐκλήθη ἐπ' ἔθνη ὄντα μακρὰν καὶ ἐπῳκοδομήθη, καὶ ὅσα τοιαῦτα. ἐν ὀλίγῳ. ἢ πρὸ ὀλίγου, ἢ διὰ βραχέων. πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι. βαβαὶ, ὥστε γὰρ ἐγραψεν ὅσα ἐχρῆν, ἀπ' ὅσα ἐχώρουν νοεῖν. ξύνεσιν δὲ φησιν, ὅτως τὸ μυστήριον σωῆκεν, ὅτως αὐτὸ κατενόησε. ξύνεσις γαρ ἐστι μὲ ἐπίδοσις, ἢ γνῶσις μὲ ἐπὶ τῷ μυστηρίῳ τᾶ χριστοῦ. ὃ ἑτέραις γενεαῖς γὰρ ἐγνωρίσθη. ὅτω μυστήριον, φησὶν, ἑτέραις γενεαῖς γὰρ ἐγνωρίσθη. πάντα δὲ ταῦτα εἰς μυστήριον τᾶ χριστοῦ συντελεῖ. μὲ ἀναθεώρησις, ὁ σωτὴρ, ἢ ἀνάστασις, ἢ ἐκ δεξιῶν τᾶ πατρὸς καθέδρα, μὲ κλῆσις ὧν ἐθνῶν, μὲ διὰ τᾶς πίστεως σωτηρία, ἢ ἐκ βολὴ τᾶ κατὰ σάρκα Ιουδαίου, μὲ σωάφεια ὧν δύο λαῶν εἰς ἓν σῶμα χριστοῦ χρηματίζουσα, μᾶλλον δὲ οὖσα, μὲ δευτέρα παρουσία, καὶ ἡ ἀπόδοσις τᾶ κατ' ἀξίαν, καὶ ὅσα τοιαῦτα. ὡς νῦν ἀποκαλύφθη. τί οὖν οἱ πάλαι προφῆται γὰρ ἤδεισαν; πῶς οὖν ὁ χρισὸς φησι, Μωσῆς καὶ οἱ προφῆται περὶ ἐμοῦ ταῦτα ἔγραψαν; καὶ πάλιν φησὶ περὶ ὧν γραφῶν, ὅτι ἐκεῖναι μοῦσιν αἱ μαρτυροῦσαί μοι; καὶ φαμὲν. ἢ τᾶρ εἶπεν, ὅτι πᾶσιν ἀνθρώποις γὰρ ἐγνωρίσθη. εἶπε γαρ ἔμπροσθεν τοῖς υἱοῖς ὧν ἀνθρώπων. νῦν γαρ μετὰ τὰν ἀναθεώρησιν, πάντες αὐτὰς ἐθεάσαντο. ἢ ὅτι γὰρ οἱ προφῆται εἶδον ὡς νῦν ὡράθη, ῥητέσι ῥηματικῶς. ἢ ὅτι περὶ ὧν ἐθνῶν γένει οὕτως ἐγνώσθη, εἶναι ταῦτα συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα τᾶς ἐπαγγελίας. καὶ προφήτας ἐν πνέυματι. διὰ πνέυματος γαρ καὶ νῦν ἡ ἀποκάλυψις ὧν τοιούτων. ἀμέλει οἱ ἑστερημένοι τᾶ πνέυματος, καὶ νῦν πλανῶνται. ὅτι μὲν γαρ κλιθήσεται τὰ ἔθνη, ἤδεσαν οἱ προφῆται. ὅτι δὲ συγκληρονόμα καὶ συμμέτοχα ἔσαι, γὰρ ἤδεσαν. καὶ σύσσωμα. τὸ ἓν ἔχειν χριστῷ σῶμα, διὰ τὸ εἶναι αὐτᾶ μέλη. τᾶς ἐπαγγελίας αὐτᾶ ἐν τῷ Χριστῷ. βασιλεία μὲν γὰρ ἐπήγγελται παρὰ τᾶ πατρός. διὰ Χριστοῦ δὲ τὰ ἔθνη καὶ τᾶς εἰς αὐτὸν πίστεως, τᾶς τοιαύτης ἐστὶν ἐπαγγελίας συμμέτοχα. τᾶς πίστεως αὐτοῖς, φησι, τὸ εὐαγγέλιον ὁδηγόν καὶ πρόξενον. Οὗ ἐγενόμην διάκονος, κατὰ τᾶν δωρεὰν τᾶς χάριτος τᾶ θεοῦ τᾶν δοθεῖσαν μοι, κατὰ τᾶν ἐνέργειαν τᾶς δυνάμεως αὐτᾶ, ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τᾶ Χριστοῦ, καὶ φωτίσαι πάντας τίς ἡ οἰκονομία τᾶ μυστηρίου τᾶ ἀπεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ιησοῦ Χριστοῦ.

Εὐηγήθη, φησὶ, τᾶ εὐαγγελίου διάκονος, ἐν δωρεᾶ χάριτος τᾶρ λαβών. ᾗδεν γαρ ἐγὼ ἔργον ἐμὸν σωφσήνεγκα τᾷ χάριτι ταύτᾳ. ὅρα Παῦλον ταῦτα λέγοντα, τὸν καθ' ἡμέραν ἀπροθήσοντα. κατὰ τᾶν ἐνέργειαν τᾶς δωρεᾶς. καὶ οὐ μόνον, φησὶν, ἐδωρήθημοι ἡ χάρις αὕτη, ἀλλὰ πρὸς τᾷ δωρεᾷ καὶ ἐνεργεῖμοι δύναμιν εἰς τὸ ἰσχύειν πρὸς τᾶν διακονίαν τᾶ εὐαγγελίου. ἐμοὶ τῷ ἐλαχιστοτέρῳ. ὅρα ὑπερβολᾶ ταπεινοφροσύνης. ἁμαρτοῦ μὲν, μὴ εἶναι ἱκανὸν εἰς ἀποστολᾶ

ἔλεγλο

ἑλεγλυ ἑαυτὸν, νυῶ δέ, καὶ πάντων τῶν ἁγίων ἐλαχιστότερον λέγει. ἐμοὶ οὗ, φησίν. ἐδόθη μὶ χάρις, αὕτη. καὶ ἠκότως χάρις, εἴγε τῷ πάντων, ὥς φησιν, ἐλαχιστοτέρῳ, τὸ κήρυγμα τῶν ἐθνῶν ἐσωτράπη. ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων. λέσσει τὸ γὰρ. οἷον, ἐμοί γε, ἢ μᾶλλον γόδεν ἐλλείσει, ἀμὰ ἀνταπόδοσις ἐσὶ τούτου χάριν. οἷον τούτου χάριν ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη, καὶ ἑξῆς. σπόσῳ δέ ὅτι ἀρξάμλνος τῆς περιόδου καὶ τὸ ὀρθὸν σχῆμα, ἐν τῇ ἀνταπόδοσι ἐσλαγίωσε, σχηματίσας τὼ ἀνταπόδοσιν, πρὸς ὃν τῶν περιβολῶν τύπον. οὕτως καὶ Θουκυδίδης καὶ Δημοσθένης πλλαχοῦ. τὸ δὲ τούτου χάριν φησὶν, οἷον χάριν τῦ σωοικοδομηθῆναι ὑμᾶς εἰς κατοικητήριον θεοῦ. ἐδόθη ἡ χάρις αὕτη. ποία χάρις; τὸ εὐ τοῖς ἔθνεσι, φησίν, εὐαγγελίζεσθαι. τὸν ἀνεξιχνίαστον πλοῦτον. ἢ ὁ πλοῦτος αὐτῦ ἀνεξιχνίαστός ἐσι, τί δεῖ περὶ τῆς χάσεως αὐτῦ φιλοπραγμονεῖν; τίς μὶ οἰκονομία τῦ μυστηρίου. ὅτι μὲν γὰρ κλιθήσεται καὶ ἔθνη, ἤδεσαν τινες διὰ τῦ πνεύματος. ὅτι δὲ ἐπὶ τοσούτοις ὥστε ἀπαρχὼ αὐτῶν γνέσθαι τὸν θεῖον λόγον, γκ ἤδεσαν. τοῦτο οὗ φησι, μυστήριον ἀποκεκρυμμλνον. ἀπὸ τῶν αἰώνων. ὥστε γ νεαρὸς ἐσὶ τὸ κατὰ τὰ ἔθνη σὴ ἄνωθεν ἐδόκδο. ἠκότως δὲ πᾶσιν ἄγνωσον ὧν ὅτι καὶ ἔθνη τοσούτων ἀξιωθήσονται. ἢ γὰρ ἐν τῷ θεῷ ἐκέκρυπτο, τίς ὧν ὁ ἀποκαλύπτων; τῷ τὰ πάντα κτίσαντι. ὁ γὰρ καὶ πάντα δι' αὐτῦ κτίσας πῶς, ὁ τὸν δι' αὐτῦ ἀποκαλύψων.

» Ἵνα γνωρισθῆ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις, ὧν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκ-
» κλησίας, ἡ πολυποίκιλος σοφία τῦ θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων ὧν ἐποίησεν
» ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ἐν ᾧ ἔχομλν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν
» ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτῦ. διὸ αἰτῶμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί-
» μου ὑπὲρ ὑμῶν, ἥτις ἐσὶ δόξα ὑμῶν. Ἵνα γνωρισθῆ νῦν. ὅτι μὲν γὰρ ἐλύσε τὸ
μερὶς κυρίου λαὸς ὁ τῦ Ιακὼβ, ἤδεισαν, καὶ ὅτι σώσει τὸν λαὸν αὐτῦ, εἶπεν ὁ Γα-
βριὴλ περὶ τῦ Ισραὴλ λέγων, ὅτι δὲ ἐπὶ τούτοις τὰ ἔθνη κληθήσεται, γκ ἤδεσαν.
ἢ δὲ ἀρχαὶ καὶ ἐξουσίαι γκ ἤδεισαν, δῆλον ὡς γδὲ ἄγγελοι ἢ ἀρχάγγελοι. ταῖς
ἀρχαῖς καὶ ταῖς ἐξουσίαις. γδὲ γὰρ αἱ λόγαι δυάμεις ἤδεισαν τὸ μυστήριον, ἀμὰ
διὰ τῆς περὶ τὴν ἐκκλησίαν οἰκονομίας, τὴν ἄῤῥητον τῦ θεοῦ σοφίαν κατέμαθον.
κατὰ πρόθεσιν δὲ τῶν αἰώνων λέγει, ἀντὶ τῦ, ταῦτα πρὸ αἰώνων μὲν προέθετο,
ἐποίησε δὲ, διὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ οἰκονομίας. ἣν τοῖς ἐπουρανίοις.
ταῖς ἐν τοῖς ἐπουρανίοις ἀρχαῖς καὶ ἐξουσίαις. διὰ τῆς ἐκκλησίας. ὅτε γὰρ ἡμεῖς
ἐμάθομλν, ὅτε κἀκεῖνοι δι' ἡμῶν, ὁρῶντες τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, καὶ δι' αὐτῆς
Οἰκουμ. εἰς γνῶσιν ὁδηγούμλνοι. ἡ πολυποίκιλος. πρὸ τῶν τῆς ἀναστροφήσεως ἡμῶν χρόνων, ἀπλῶς ἐγίνωσκον αἱ οὐράνιαι δυάμεις τὴν σοφίαν τῦ θεοῦ, ἐκ μόνου τῦ δυατῦ καταρθουμλύμλνον. ὁ γὰρ τῇ ὁρμῇ τῦ οἰκείου θελήματος ὑσιώσας τὰ πάντα θεὸς, δυάμει ἀπαταλήπτῳ διετήρει πρὸς δαιμονίων τὰ δημιουργηθέντα, καὶ γδὲν ἦν ποικίλον, ἀμὴ οἷον ἐθεωρεῖτο, τριῶν καὶ ὑπῆρχε. νῦν δὲ διὰ τῆς εἰς τὴν ἐκκλησίαν καὶ τὸ ἀνθρώπινον γένος οἰκονομίας, οὐκέτι μόνον ἀπλῆ, ἀμὰ καὶ πολυποίκιλος ἐγνώσθη ἡ σοφία τῦ θεοῦ, διὰ ὧν ἐναντίων τὰ ἐναντία καταρθοῦσα.

διὰ θανάτου, ζωῆς. διὰ ἀτιμίας, δόξαν. διὰ σαυρῦ, τρόπαιον. διὰ πάντων τῶν ἐντελῶν, τὸ θεοσεβεῖν. διὰ οὗ τῆς ἡμῶν οἰκονομίας τῆς ἐν τῇ ἀνθρωπίνῃ νομοθεσίᾳ, πολυποίκιλος ἐγνώσθη ἡ σοφία καὶ ἡ δυάμις τῦ θεοῦ ταῖς ὑρανίαις δυάμεσιν. οὕτως ὁ ἐν ἁγίοις Γρηγόριος, ἐν τῇ ὀγδόῃ ὁμιλίᾳ τῆς ἑρμηνείας ὧν ἁσμάτων. ᾠδὴ μονογενοῦς ποικίλη, ἀμὰ καὶ πολυποίκιλος ἡ οὖσα, φησὶ, καθ' πρόθεσιν ὧν αἰώνων, τουτέστι καθ' πρόγνωσιν καὶ πρόθεσιν καὶ προοικονομίαν. τὸ σὶ γὰρ προορισμοὺς, προθέσεις εἶπεν. νῦν μὲν γὰρ γέγονέ, φησὶν, ἄνωθεν δὲ ταῦτα ἐδόκει. ΑΛΛΟ. Φωτ.
Η καθ' πρόθεσιν ὧν αἰώνων πολυποίκιλος σοφία τῦ θεοῦ. αὕτη γὰρ καὶ ὧν αἰώνων προετίθετο καὶ προώρισε, ἣ καὶ ἐν ἐσχάτοις καιροῖς διὰ τῆς ἐκκλησίας ἐγνώσθη. τὸ δὲ, ὃν ἐποίησεν, ὅτι καὶ ταύτην διὰ τῦ Χριστοῦ, καὶ προέθετο ὧν αἰώνων καὶ προώρισεν. γδὲν γὰρ ἄνευ τῦ ὑοῦ, οὔτε βεβούλητο, οὔτε ὥρισεν, οὔτε ἐποίησεν. ὧ Χριστῷ Ιησοῦ. διὰ αὐτῦ γὰρ καὶ τοὺς αἰῶνας ἐποίησεν. ἐν ᾧ ἔχομλν τὴν παῤῥησίαν. προσήχθημλν οὖν τῷ θεῷ καὶ πατρὶ, διὰ Χριστοῦ. προσήχθημλν δὲ, γὰρ ὡς αἰχμάλωτοι, γδὲ ὡς συγγνώμης ἀξιωθησόμλνοι, ἐφ' οἷς ἡμάρτομλν, ἀμὰ μετὰ παῤῥησίας, φησί, καὶ παῤῥησίας οὐκ ἀπλῶς, ἀμὰ ἐν θάρσει τινὶ καὶ πεποιθήσει. ἀγιάσας γὰρ ἡμᾶς διὰ τῦ ἰδίου αἵματος, προσήγαγε θαῤῥοῦντας. λοιπὸν, τὸ προσελθεῖν διὰ τῆς αὐτοῦ πίστεως. διὸ αἰτῶμαι. διὸ, φησὶν, αὐτῷ μὴ ἐκκακεῖν μὴ δὲ θορυβεῖσθαι ἐν ταῖς θλίψεσίμου, αἵτινες ὑπὲρ ὑμῶν καὶ δι' ὑμᾶς ἐσὶμοι. πῶς; ὅτι οὕτως ὑμᾶς ἠγάπησεν ὁ θεὸς, ὡς τε καὶ τὸν ὑὸν αὐτῦ δοῦναι, καὶ τοὺς δούλους αὐτῦ κακοῦσθαι, ὑπὲρ τῦ ὑμᾶς σωθῆναι. ἆρα γε δόξα τὸ οὕτως ἀγαπᾶσθαι ὑπὸ θεοῦ; διὸ αἰτῶμαι μὴ Φωτ.
ἐκκακεῖν τοὺς ὑπὲρ ὑμῶν θλίψεσίμου. καθ' ὑπερβατὸν γὰρ ἡ ζήτησις. ἐν ταῖς θλίψεσίμου. ἐπειδὴ, φησὶ, τοσαῦτα ἔθνη ἐπιστεύθη, ἀνάγκη ἐσὶ καὶ δεδόσθαι παρὰ τῶν ἀντιλεγόντων τῷ κηρύγματι.

» Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τῦ κυρίου ἡμῶν Ιησοῦ Κεφ. ε'.
» Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῶη ὑμῖν
» κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτῦ, δυάμει κραταιωθῆναι διὰ τῦ πνεύματος αὐ-
» τοῦ εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑ-
» μῶν, ἐν ἀγάπῃ ἐῤῥιζωμλνοι καὶ τεθεμελιωμλνοι.

Τούτου χάριν κάμπτω τὰ γόνατά μου. ἐπειδὴ οὕτως ἠγατήθητε παρὰ θεοῦ, δέομαι, φησὶν, ὑπὲρ ὑμῶν. ἐξ οὗ πᾶσα πατριά. ἐπὶ μὲν γῆς πατριὰς τὰ χύη καλεῖ, ἀφ' ὧν καὶ πατέρες καλοῦνται, τὰ δὲ ὑρανῷ, ζῶντα γκ ἔσιν ὅτε ἐκ τῦδε, πατριὰς τὰ συζήματα λέγει. αὐτὸς γὰρ πάντα ἄνω καὶ τὰς κάτω φυλὰς ἐδημιούργησε. δυάμει κραταιωθῆναι. ὅρα μετ' ὅσης ἀπολογίας ἐπεύχεται αὐτοῖς τὰ ἀγαθά. δυάμει κραταιωθῆναι φησὶν, ἵνα τὸ μὴ περιφέρεσθαι. πῶς δὲ τοῦτο ἔσαι; διὰ πνεύματος ἁγίου. τὸ δὲ κραταιωθῆναι, ὡς πρὸς τὸ στηριγμοὺς νόει. εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι. εἰς τὸ κατοικῆσαι, φησὶ, τὸν χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον, ἵνα δῶη ὑμῖν εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν χριστόν. ἵνα, φησὶ, ναὸς θεοῦ χύησθε, καὶ γκ ἀπλῶς κατοικῆσαι, ἀμὰ καὶ ἐν ταῖς καρδίαις ὑμῶν. μὴ δέν, φησὶν, ἐπιπρ-

λαιον. ὁ

λαιον. ὁ γὰρ ἔφ᾽ ἁνθρωπος καὶ αἱ καρδίαι, τὴν καθ᾽ ἑαυτοὺς οἰκοῦσιν καὶ τὸν ἴδιον
συμφυῆ καὶ ἐρριζωμένον διλοῖ. διὰ τῆς πίστεως. πῶς δὲ ἔσται τοῦτο; διὰ τῆς πίστεως
φησί, καὶ τὸ ἐν ἀγάπῃ εἶναι ὑμᾶς ἐρριζωμένους καὶ τεθεμελιωμένους, ὑπὸ μηδενὸς
Φωτ. κινουμένους. ἢ ἀγάπῃ ἐρριζωμένοι. Τὸ, ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἢ
σφάλμα ἐστὶ γραφικὸν, δέον κατ᾽ ἀπαρτικὴν γράψαι ἐρριζωμένους καὶ τεθεμελιω
μένους. ἢ ἡμετέρα, κατ᾽ ἔθος ἀρχαϊκῆς συντάξεως ἐχρήσατο ὁ θεῖος Παῦλος, ἀντὶ
ἀπαρτικῆς μετοχικὴν ἐνθεὶς. πλὴν δὲ καὶ παρὰ τοῖς ἔξω τὸ τοιοῦτον σχῆμα, καὶ
μάλιστα παρὰ Θουκυδίδῃ. ἢ δὲ δεῖ καὶ τὸν ἐνθεῖαν πρὸς ἐνθεῖαν, ἀμὰ μὴ καμὰ
ἀντὶ πῶσιν ἐκ λαβεῖν, καὶ οὕτως τὸ ἀκόλουθον φυλαχθήσεται, καθ᾽ ὑπόβασιν
τὴν ζήτησιν ποιουμένων, ᾧ καὶ μάλιστα σχήματι φαίνεται κεχρημένος ὁ θεῖος Παῦ-
λος, οἷον ἵνα ἢ σωτεθυμημένον τὸ ἐντεῦθεν οὕτως. ἵνα οὖν ἀγάπῃ ἐρριζωμένοι καὶ τε-
θεμελιωμένοι, ἐξισχύσητε καταλαβέσθαι ζῶν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ
» μῆκος καὶ ἔξῆς Ἵνα ἐξισχύσητε καταλαβέσθαι ζῶν πᾶσι τοῖς ἁγίοις, καὶ τί τὸ πλά
» τος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως
» ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ. τῷ δὲ δυναμέ-
» νῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύνα
» μιν τὴν ἐνεργουμένην ἐν ἡμῖν, αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ ἐν Χῷ Ιηοῦ, εἰς πάσας
» τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. ἀμήν. Ταῦτα δὲ ὑμῖν ἐπεύχομαι, φησιν, ἵνα
ἐξισχύσητε καταλαβέσθαι. πλὴν δὲ ἔδειξε τὸν κάματον, τῷ τε ἐξισχύσαι, καὶ τῷ
καταλαβέσθαι ἢ σῆναι. τί τὸ πλάτος καὶ μῆκος. σωματικοῖς ὑπογράφει σχήμασι
Φωτ. τὸ τοῦ μυστηρίου μέγεθος τῶν ὑπερ τῶν ἐθνῶν οἰκονομηθέντος. Τίνος πλάτος καὶ
μῆκος καὶ βάθος καὶ ὕψος; ἢ τοῦ μυστηρίου, ἵνα ᾖ κατ᾽ ἐλλεῖψιν ἠρημένον. ἢ καὶ
χωρὶς ἐλλείψεως, καθ᾽ ὑπόβασιν δὲ, ἵνα ἐξισχύσητέ, φησι, καταλαβέσθαι, τί
τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος τῆς γνώσεως τοῦ Χριστοῦ, γνῶναί τε τὴν ὑ-
περβάλλουσαν τῆς ἡμᾶς ἀγάπην αὐτοῦ. ἔστι δὲ γνῶσις μὲν χριστοῦ, ἢ τῆς περὶ ἡμᾶς
αὐτοῦ οἰκονομίας φανέρωσις. γνῶσις δέ ἐστι χυ, ὅτε τε πὼ πρᾶξιν αὐτὴν τὴν ὑπερ-
θαύμαστον, αὐτὸς καὶ γὰ ἄλλος ὑπὲρ ἡμῶν ἠργάσατο, καὶ ὅτι αὐτός ἐστιν ἡμῖν χο-
ρηγὸς ταύτης τῆς γνώσεως, καὶ ὅτι δι᾽ αὐτῆς μάλιστα ἐπιγνωσθήσεται ὁ χριστός. ἀμὰ
γνῶσις μὲν χριστοῦ αὕτη. μῆκος δέ ἐστιν αὐτῆς, τὸ ἀπὸ τῶν αἰώνων αὐτὴν προωρίσθαι.
πλάτος δὲ, ὅτι ἐς πάντας αὐτῆς ἡ ἐνεργεσία διατείνεται, ἐς τοὺς πρὸ νόμου, ἐς τοὺς
ὑπὸ νόμῳ, καὶ μετὰ τὸν νόμον, ἐς τοὺς ζῶντας, ἐς τοὺς τελευτηκότας, ἐς τοὺς Ιου-
δαίους, ἐς τοὺς Ελλήνας, ἐς τοὺς Βαρβάρους, ἐς πάντα δὲ ἔθνη, ἐς δὲ οὐρά-
νια, ἐς τὰ ἐπίγεια. ἠρήμωται γὰρ ἠργάσατο ὑπὸ αὐτοῖς ὁ Χριστὸς, πρότερον ἐκπεπο-
λεμωμένοις οὖσιν ἐς ἀλλήλους τοῖς ἀγγέλοις καὶ τοῖς ἀνθρώποις. ἔυχεται οὖν
αὐτοῖς ταῦτα καταλαβέσθαι, καὶ γὰ ταῦτα μόνον, ἀμὰ καὶ τὸ βάθος αὐτῆς καὶ τὸ
ὕψος, ὅτι μέχριτῶν τοῦ Αδου δεσμῶν πὼ ἄφατον αὐτοῦ δύναμιν καὶ ἐνεργείαν
ἐπεδείξατο, ἐκεῖνον μὲν καταργήσας καὶ αἰχμαλωτίσας, τοὺς δὲ αἰχμαλώτους
ἀναῤῥυσάμενος καὶ ἐλευθερώσας. εἶτα καὶ τὸ ὕψος, ὅτι ὁ καταβὰς αὐτός ἐστι
καὶ ὁ ἀναβάς,

καὶ ὁ ἀναβάς, ὅτι ὑπεράνω ὧν γρανδυναμήγαγε πὼ ἀπαρχηνίμων, ὅτι ὑπεράνω
πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος. ὁρᾷς ὕψος ἄφατον τῆς
οἰκονομίας Χριστοῦ καὶ τῆς γνώσεως αὐτοῦ; ταῦτα ἐπεύχεται αὐτοῖς ὁ Παῦλος κα-
τανοῆσαι, ταῦτα καταλαβέσθαι. ἀν δὲ ταῦτα καταλάβωνται, τί; τότε γνώσονται
πὼ ἀγάπην ὑπερβάλλουσαν ἀγάπην αὐτοῦ. ἀν δὲ γνῶσιν, τί; τίς ἀντερεῖ τὸ
μὴ οὐχὶ, χρεὼν εἶναι πληρωθῆναι πὸ παντὶ πλήρωμα θεοῦ; οἷον ὅλον αὐτὸν δι᾽
ὧν ἔργων τὸν οὕτως ἀγαπήσαντα ἐξ δέξασθαι; τί δὲ τὸ πλάτος τῆς μεγαλομηνίας οἰ
κονομίας, τὸ μέγεθος παρεδήλωσεν, ἐπειδὴ ταῦτα μεγέθους δηλωτικά. καὶ
ὕψος. οἷον τὸ μυστηρίου. γνῶναί τε. ἀπὸ κοινοῦ τὸ, ἵνα ἐξισχύσητε, οἷον ἵνα ἐξι
σχύσητε καταλαβέσθαι καὶ γνῶναι. πὼ ὑπερβάλλουσαν τῆς γνώσεως. καὶ ἵνα,
φησί, γνῶτε πὼ ὑπερβάλλουσαν πᾶσαν ἀνθρωπίνην γνῶσιν ἀγάπην τοῦ Χριστοῦ.
καὶ οἷον τῆς γνώσεως ὑπεράνω. ἔστι μὲν γάρ, φησιν, ὑπεράνω γνώσεως, πλὴν ὑ-
μεῖς γνῶσεσθε, ἢ τὸν Χριστὸν σχόντε ῥοικοδομῶ, ἵνα ἐκ τούτου πληρωθῆτε εἰς πᾶν τὸ
πλήρωμα τοῦ θεοῦ. πλήρωμα δὲ τοῦ θεοῦ ἐστιν, ἢ τὸ γνῶναι ὡς ἐν πατρὶ καὶ υἱῷ καὶ
πνεύματι ἁγίῳ προσκυνεῖται ἡμῖν ὁ θεὸς, ἢ ἵνα ἦτε, φησί, πεπληρωμένοι πά-
σης ἀρετῆς, ἧς πλήρης ὁ θεός. τῷ δὲ δυναμένῳ. τῷ δὲ δυναμένῳ θεῷ γ᾽ μό-
νον καθ᾽ λέγομεν, ἀμὰ ὑπερεκπερισσοῦ πάντα, ὃ γ᾽ μόνον πάντα, ἀμὰ καὶ
ὑπὲρ πάντα, αὐτῷ, φησὶν, ἡ δόξα, ἀμήν. ὁρᾳ δὲ δύο ὑπερβολάς. τὸ ὑπὲρ
πάντα ποιῆσαι τὰ ἡρημένα, καὶ ὑπερεκπερισσοῦ ποιῆσαι ἃ ποιεῖ. δῆλον γὰρ καὶ πλείο-
να ποιοῦντα ὧν αἰτηθέντων κεφάλαια, μὴ πλουσίως μήτε διαφερόντως ἕκαστον ποιῆσαι.
κατὰ πὼ δύναμιν πὼ ἐνεργουμένην. καὶ ὅτι ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν
δυνατός ἐστι ποιῆσαι, δῆλον ἐκ τῆς ἐνεργούσης ἡμῖν δυνάμεως αὐτοῦ. τίς γὰρ
τῶν προσεδόκησε περὶ ὧν ἐποίησεν, ὅτι οἱ τοσοῦτον ἀπεῤῥωγότες θεοῦ, καὶ τοῖς ἤθε
σιν ἀλλότριοι ἦσαν; αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ, ἐπειδὴ δεῖ τὸν τοσαῦτα δωρησάμενον
δοξάζεσθαι. ὥστε καὶ ἡ δοξολογία δείγμα ὑπάρχει τοῦ μεγέθους ὧν ὑπεργεγμένων
ἡμῖν παρὰ πᾶσαν ἐλπίδα καὶ προσδοκίαν ἀνθρωπίνην ἀγαθῶν. καλῶς δὲ, ἡ δό-
ξα αὐτοῦ ἐν ταῖς ἐκκλησίαις. ἐπειδὴ γὰρ αὗται δυνατῶς μένουσιν, ἐν ταύταις εἶπ,
φησὶν, ἡ δόξα τοῦ θεοῦ, ἵνα ἡμῖν ᾖ δυνατῶς δοξαζόμενος, καὶ ἐς πάσας ἐλθῃ τὸν
γενεάς. Η ὅτι τῇ ἐκκλησίᾳ ἐπεύχεται ὥστε διατηρεῖν ἀεὶ πὼ δοξολογίαν τοῦ Οἰκουμ.
θεοῦ, καὶ μήποτε παρατραπῆναι. τὸ δὲ, ἐν Χριστῷ Ιηοῦ, ἢ ἐν Χριστῷ Ιηοῦ νοῇ, ἢ
ἡ νοήσεις διὰ Ιηοῦ Χριστοῦ, διὰ τὸν σάρκα τὸν νόει ἡρῆσθαι.

» Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως Κεφ. ϛ΄.
» ἧς ἐκλήθητε μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος. μετὰ μακροθυμίας ἀνεχό- 4
» μενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν πὴν ἑνότητα τοῦ πνεύματος, ἐν τῷ
» συνδέσμῳ τῆς εἰρήνης. ἓν σῶμα καὶ ἓν πνεῦμα καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι
» τῆς κλήσεως ὑμῶν, εἷς κς, μία πίστις, ἓν βάπτισμα, εἷς θεὸς καὶ πατὴρ πάντων ὁ
» ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ὑμῖν.

Ο διὰ τὸν κν, φησὶ, δέσμιος. βαβαὶ ὅσον τὸ ἀξίωμα, τὸ δεδέσθαι διὰ τὸν
χριστόν.

χρισόν. βραβεῖ ὅσα εἶπεν ὁ μακάριος Ἰωάννης εἰς τὴν ἄλυσιν τοῦ Παύλου. καὶ αὐτὸς γάρ ὁ ἀπόστολος ταύτην προβάλλεται, ὡς δηλοῖ ταύτης δυσωπήσων αὐτούς. τῆς κλήσεως ἧς ἐκλήθητε. μεγάλη γὰρ ἡ κλῆσις, καὶ ἐπὶ μεγάλοις, ἐπὶ τῷ ἔχειν κεφαλὴν τὸν χριστόν, ἐπὶ τῷ εἰς υἱοὺς εἶναι θεοῦ. μετὰ πάσης ταπεινοφροσύνης. ταύτης ἐν παντὶ πράγματι, ἐπὶ παντὸς προσώπου. οὕτω γάρ ἐστιν ἀξίως τῆς κλήσεως περιπατῆσαι, μετὰ ταπεινοφροσύνης καὶ πραότητος καὶ μακροθυμίας, καὶ τοῦ ἀνέχεσθαι ἀλλήλων. ὅθεν γάρ ἐστιν ἀγάπη, πάντα ἐστὶν ἀνεκτά. σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος, ἢ τῷ ζωοδοτεῖσθαι ἀλλήλοις ἀρρήκτως, καθ' ἓν σῶμα καὶ καθ' ἓν πνεῦμα. τοῦτο γάρ ἐστιν ἡ ἑνότης τοῦ πνεύματος, ἣν ἔνωσεν ἡμᾶς ἐκεῖνο. καὶ οὕτως ἐκλήθητε. ἢ σπουδάζοντες ἀμήλους τηρεῖν καὶ φυλάττειν ἓν σῶμα καὶ ἓν πνεῦμα κατὰ τὴν ἑνότητα τοῦ πνεύματος, καθὼς ἡμᾶς τὸ ἅγιον ἔνωσε πνεῦμα, καθὼς καὶ ἐκλήθητε. τὴν τοιαύτην δὲ φυλάττει ἕνωσιν, ὁ τῆς ἀγάπης ζώνδεσμος. ἀπῆ μὲν, ὡς τὸ πρότερον, ἐλλιπὴς ἂν εἴη μόνον ἡ ζώνταξις, λελυμένης τῆς, κατὰ, προθέσεως, οἷον καθ' ἓν σῶμα καὶ καθ' ἓν πνεῦμα. ἧδ', ὡς τὸ δεύτερον, τρεῖς ἔχει τρόπους, ὑπορραζόν, καὶ ἀπὸ κοινοῦ μετὰ ζεύγματος, καὶ πρῖτον, ἐλλιπῶν, κἀνταῦθα τῆς αὐτῆς μὲν προθέσεως ἐλλειπούσης, οἷον, κατὰ τὴν ἑνότητα, τὸ δὲ, ἀμήλους, ἀπὸ κοινοῦ μετὰ ζεύγματος λαμβανομένου. ἀμήλους γὰρ ὀφακουσθήσεται. τὸ δὲ ὑπορραζόν ἐνυδρίλον. τὴν ἑνότητα τοῦ πνεύματος. καθάπερ γὰρ ἐπὶ τῶν ἡμετέρων σωμάτων, ἔστι τὸ ἡμῶν πνεῦμα ἐνεργοῦν ἐν πᾶσι τοῖς μέλεσι καὶ πάντα σωζέχων, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον ἡμῖν ἐδόθη, τοῖς χριθεῖσι καὶ προσῳκειωθεῖσι διαλλάσοντας ἑνοῦν εἰς τοιοῦτο ἡμᾶς ἓν σῶμα. ταύτην φυλάξωμεν τὴν ἑνότητα, τὴν διὰ τοῦ ἁγίου δοθεῖσαν ἡμῖν πνεύματος. ἥτις, φησὶ, γίνεται διὰ τοῦ συνδέσμου τῆς εἰρήνης. ἓν σῶμα. χριόμεθα, φησιν, οὕτω σωλωσώμενοι, οὕτως ἀμήλων κυβόμενοι. ἐκ τούτου γάρ, φησιν, ἔσεσθε καὶ ἓν πνεῦμα ἔχοντες, τοῦτέστιν ὁμότιμον τὴν χάριν τοῦ πνεύματος. ἢ ὅτι, ἐσόμεν ἓν σῶμα εἶναι, ὀχεῖν δὲ πνεῦμα, ὡς ὅταν τις αἱρετικῶν φίλος ᾖ. ἢ ὅτι, τοῦτο, φησιν, ἓν πνεῦμα λαβόντες, ὀφείλετε διχονοεῖν, ἀμὴ ἓν εἶναι σῶμα. ἢ ὅτι, πνεῦμα νῦν τοῦτο τὴν προθυμίαν καλεῖ. Ἡ ὡς ἓν ὄντες πνεῦμα, καὶ ἓν σῶμα. οὕτως γὰρ ἐκλήθητε. ἐν μιᾷ ἐλπίδι. ὁ θεὸς ἡμᾶς, φησιν, ἐπὶ τοῖς αὐτοῖς ἐκάλεσεν, ὀδενὶ πλεῖον ἀπονείμας. πᾶσιν ἀθανασίαν, πᾶσι ζωὴν ἀώνιον ἐπηγγείλατο, πᾶσι δόξαν ἀθάνατον, πᾶσιν ἀπλησφότητα, πᾶσι κληρονομίαν. κοινὴ πάντων ἐλπὶς κεφαλή. πάντας σωπήσειε καὶ σωπεκάθισεν. ἢ τί νῦν ἐν τοῖς πνευματικοῖς, φησι, τοσοῦτον ἔχετε κοινωνίαν, ὀφείλετε καὶ ἓν σῶμα εἶναι ἐν τῇ τῆς ἀγάπης ἀνακράσει. τῆς κλήσεως ὑμῶν. πάντα γὰρ τὰ ἡρημένα κοινὴ ἐστιν ἡμῶν ἐλπὶς ἐκ τῆς κλήσεως χωρολύη. εἷς κύ, μία πίστις. ἰδοὺ καὶ ἄλλη κοινωνία. εἷς κύριος κύ, μία πίστις, ἓν βάπτισμα. ὀφείλομεν οὖν ἡμᾶς διεγείρειν. εἷς θεὸς καὶ πατήρ. ἰδοὺ καὶ ἄλλη κοινωνία, καὶ ἀγάπης πρόφασις, τὸ εἶναι ἡμῖν ἕνα πατέρα τὸν θεόν. καὶ ἐπὶ πάντων, τοῦτέστιν ὁ ἐπάνω πάντων. καὶ διὰ πάντων, τοῦτέστιν ὁ τρόνοις διὰ πάντων ἡμῶν. καὶ ἐν πᾶσιν ἡμῖν, τοῦτέστιν ὁ ἐνοικῶν

ἐν πᾶσιν

ἐν πᾶσιν ἡμῖν. Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. Διὸ λέγει. ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. τὸ δὲ ἀνέβη τί ἐστιν, ἢ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτερα μέρη τῆς γῆς; ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

Εἰ πάντα ἐστὶν ὡς λέγεις κοινά, πρᾶγμα ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον ἔχει χάρισμα; τοῦτο γὰρ αὐτοὺς εἰς φθόνον μάλισα ἦλθε, καὶ φησιν. ἑνὶ δὲ ἑκάστῳ ἐδόθη ἡ χάρις, τοῦτέστι τὸ χάρισμα, κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ, ὥστε εἶπεν. ἧ αὐτὸς ἐμέτρησε, πάντως ὅτι καλῶς ἐμέτρησε, πάντως καὶ συμφερόντως. καὶ ἡ δωρεᾶς ἐστὶ πᾶν, ὑπὸρ μὲν οὗ ἔλαβες εὐχαρίστει, ὑπὸρ δὲ οὗ οὐκ ἔλαβες, μὴ φθόνει. δωρεὰ γάρ ἐστιν, ὡσεὶ εἶπεν. οἶδεν ὁ μετρήσας καὶ δωρησάμενος ὡς καλῶς καὶ συμφερόντως τοῦτο πεποίηκε. τὰ μὲν γὰρ ἄλλα, κοινὰ πρόκειται, τὰ δὲ χαρίσματα δέδοται κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου καθαρότητος. διὸ λέγει, ἀναβὰς εἰς ὕψος. καὶ ὅτι, φησὶν, ἡ χάρις δωρεά ἐστι τοῦ Χριστοῦ, καὶ αὐτὸς μετρήσας ἔδωκεν, ἄκουε, φησὶ, τοῦ Δαυίδ. τὸ δὲ, ἀναβὰς εἰς ὕψος, αἰχμαλώτευσεν λέγει, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Τίνα δὲ ᾐχμαλώτευσεν; ἡμᾶς δηλονότι, τὴν καλὴν καὶ συμφέρουσαν αἰχμαλωσίαν. πολέμῳ γὰρ νοητῷ νικήσας τὸν Διάβολον, αἰχμαλώτισεν ἡμᾶς, ὄχ' ἵνα καταδουλώσηται, (πῶς γὰρ τοὺς ὄντας δούλους καὶ πάλαι;) ἀμὴ ἵνα τῆς πικρᾶς ἀπαλλάξῃ τυραννίδος τοῦ πονηροῦ. τινὲς δὲ ἐπὶ τοῦ σταυροῦ τοῦτο φασίν. ἀναβὰς ἐπὶ τὸ σταυροῦ, ᾐχμαλώτευσεν.

Φωτ. Ἠχμαλώτευσε μὲν τὸν Διάβολον. ἔδωκε δὲ αὐτὸ τιμωρίας δόματα καὶ χαρίσματα τοῖς αἰχμαλωτισθεῖσι. καὶ ἔδωκε δόματα. ὥστε τοῦ Χριστοῦ τὰ δόματα. τί οὖν ἀδημονεῖς πρὸ μικροῦ ἔχων, ἢ φθονεῖς τῷ ἔχοντι; καὶ ὧδε μὲν, οὕτως. παρακατιὼν δὲ δείκνυσιν ὅτι πρὸς ὠφέλειαν τῆς ἐκκλησίας ἕκαστος ἔλαβε τὸ χάρισμα, καὶ ὁ τὸ μέγα λαβὼν καὶ ὁ τὸ μικρὸν τοῦτο, καὶ ἀπὸ τῶν οἰκείων ἔργων, ἀπὸ τοῦ ἀξίου εἶναί τινα τοῦ λαβεῖν. τίς οὖν φθονήσειε τῷ διάτι ἠλιφότι, καὶ πρὸς ἑτέρων ὠφέλειαν; ὅσον γὰρ μεῖζον τὸ χάρισμα, τοσοῦτον ἀκριβέστεραι αἱ εὐθῦναι. καὶ ἔδωκε δόματα. λαβὼν γὰρ τὴν πίστιν, ἀντιδίδωσι τὴν χάριν. τὸ δὲ, ἀνέβη, τί ἐστιν; ὄκ ἂν δέ, φησιν, ἐδεήθη ὁ προφήτης τοῦ εἰπεῖν, ἀνέβη, ἢ μὴ ᾔδει ὅτι καταβὴ πρῶτον. περὶ γὰρ τοῦ καταβάντος, τὸ, ἀνέβη, λέγεται. Ἐπειδὴ ὁ ἀναβαίνων, ἢ τὸ τῷ ἀναβαίνειν λαμβάνει τὴν ἀρχὴν τοῦ ἄνω γίνεσθαι, ὥσπερ ὅτε τις ἀπάρχεται ἀναβαίνειν μὴ ὢν ἐξ ἀρχῆς ἄνω, ἢ ὃ νῦν λαμβάνει τὴν ἀρχὴν τῆς ἀνόδου, ἀμὴ ἀπ' ἀρχῆς μὲν ἐν ἄνω, καταβὰς δὲ ἐκεῖθεν, νῦν πάλιν ἄνεισιν, ἤτων ἀναβὰς, ἑρμηνεύει πῶς δεῖ νοεῖν τὸ ἀναβάς. ὅτι ὄχ ὡσανεῖ, φησιν, ἀρξάμενος ἀναβαίνειν, (ἐν ἀρχῆς γὰρ

ἐξ ἀρχῆς

ὄς ἀρχῆς ἐν τῷ ὕψει τῆς θειϊκῆς ἀξίας καὶ τῆς πατρικῆς δόξης,) ἀνῳὼς ἀπὸ τῆς κατὰ τὴν οἰκονομίαν συγκαταβάσεως, καὶ μέχρι τῆς εἰς Ἅδου καθόδου, εἰς τὴν ὑπερέκτασιν τοῦ θειϊκοῦ ὕψους φανέρωσιν ἀνελθὼν πάλιν, λέγεται, φησὶν, ὅτι ἀνέβη. εἰς τὰ κατώτερα μέρη τῆς γῆς. τουτέστι μεθ' ὑγκύου κατώτερα. λέγει δὲ τὸν Ἅδην, ὡς πρὸς τὴν κοινὴν φωνὴν εἰθισμένην ἀφορῶν. οὕτως γὰρ λέγειν ἐώθασιν. διὸ καὶ ὁ Ἰακὼβ φησι. καὶ καταξέτε τὸ γῆρας μου μετ' ὀδύνης εἰς Ἅδου. καὶ ὁ Δαυὶδ. καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. κατώτερα γὰρ μέρη τῆς γῆς τὸν θάνατον ἐκάλεσεν. αὐτός ἐστι καὶ ὁ ἀναβάς. τὸν τῶν Νεστορίου καταβάλλει βλασφημίαν. ὁ αὐτός, φησιν, ἐστὶν ὁ καταβὰς καὶ ὁ ἀναβάς. καταβαίνει μὲν γὰρ εἰς τὴν σάρκωσιν ὡς θεός, ἀναβαίνει δὲ ὡς ἄνθρωπος. καὶ καταβαίνει μὲν εἰς τὸν Ἅδην ὡς ἄνθρωπος, ἀνίσταται δὲ ὡς θεός. ὑ μόνον δὲ, ἀλλὰ καὶ ὑπεράνω γίνεται ὧν ὑρανῶν, καὶ ὑχ ἁπλῶς, ἀπὸ πάντων, τῆς ἐκείσε λήξεως καὶ καθέδρας, τὸ περίλημμα ἡμῶν ἀξιῶν. ὑπεράνω πάντων ὧν ὑρανῶν. τὸν φησὶν, ὅτι ὑδὲν αὐτῷ πρὸς τὴν ἄνοδον ὑποπέπτωκεν ἢ εἰς τὸ κατώτατα κάθοδος. ὥστε, φησὶ, καὶ ἡμῶν ὅσῳ ἄντις ταπεινοφροσύνῃ, τοσούτῳ μᾶλλον ὑψοῦται. ἵνα πληρώσῃ τὰ πάντα. καὶ γὰρ καὶ γυμνῇ τῇ θεότητι πάλαι τὰ πάντα ἐπλήρου. καὶ σαρκωθεὶς ἵνα τὰ πάντα μετὰ σαρκὸς πληρώσῃ, κατέβη καὶ ἀνέβη. καὶ αὐτὸς ἔδωκεν. ὁ μὲν παραπτώσαντος, φησὶ, διὰ τὴν ἡμῶν σωτηρίαν εἰς τὸ κατὰ τὸ τέλος, αὐτὸς τὴν Διανομὴν ὧν χαρισμάτων ἐποίησεν. ἆρα οὖν ὑ χρὴ ἀναπλῆσαι πρὸς τὴν Διανομήν. ἦ γὰρ αὐτὸς ἔδωκε, τί ἀντιλέγῃς; ἀκουσον δὲ φησι, τὸ πνεῦμα διδόναι τὰ χαρίσματα. πάντα γὰρ ταῦτα, φησὶν ἐνεργεῖ, τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. ἀκουσον γὰρ πατέρα φησὶν, ὡς τὸ, ἐγὼ ἐφύτευσα Ἀπολλὼς ἐπότισε, ἀλλ' ὁ θεὸς ηὔξανεν. ὑπαῦθα τὸν υἱόν. κοινὰ γὰρ τὰ πάντα τῇ ἁγίᾳ καὶ μακαρίᾳ τριάδι. τὸ μὲν ἀποστόλοις, τὸ δὲ προφήτας. οἱ μὲν γὰρ ἀπόστολοι καὶ προφητείαν εἶχον, οἱ δὲ τότε προφῆται, ὑκ εἶχον ἀποστολήν. τὸς δὲ εὐαγγελιστάς. τὸς τὸ εὐαγγέλιον γράψαντας. τὸ δὲ ποιμένας καὶ διδασκάλους. τὸς τοὺς ἐκκλησίας ἐμπεπιστευμένους λέγει, τὸς ἐπισκόπους, οἷος ὁ Τιμόθεος, οἷος ὁ Τίτος ἐν. πρὸς τὸν καταρτισμὸν ὧν ἁγίων. ὁρᾷς τὴν αἰτίαν τῆς δόσεως ὧν χαρισμάτων; πρὸς τὸν καταρτισμόν, φησι, τουτέστι πρὸς ἀπαρτισμόν, πρὸς πλήρωσιν, εἰς τὸ ὑπηρέτης διακονεῖν τῇ ἐκκλησίᾳ καὶ οἰκοδομεῖν αὐτήν. ὅσῳ οὖν τις μεῖζον ἔλαβε χάρισμα, τοσούτῳ μεῖζον ἔχει τὸ φορτίον. ταῦτα δέ φησι πρὸς τὸν τῷ φθόνῳ ὧν μὲν ὄνομα χαρισμάτων ἀπηκεκομμένους τοῦ σώματος τῆς ἐκκλησίας, δεικνὺς ὅτι πάντων τὸ ἔργον εἰς ἓν ὁρᾷ τέλος, τὸν καταρτισμὸν ὧν ἁγίων. πρὸς οὓς χρεία φθόνου; ἁγίων δὲ ὧν πιστῶν. καταντήσωμεν φθάσωμεν, εἰς τὴν ἑνότητα τῆς πίστεως. τουτέστιν ἕως ἂν οἱ πάντες μίαν πίστιν σχῶμεν, ἕκαστος κάμνει, καὶ ἕκαστος διακονεῖ. ἑνότης γὰρ πίστεως τὸ μὴ διαφωνεῖν περὶ τὰ δόγματα. τοῦτο γὰρ ἐπίγνωσις τοῦ υἱοῦ τοῦ θεοῦ, τὸ μὴ διαφωνεῖν περὶ αὐτόν. ἄνδρα δὲ τέλειον ἐ μέτρου ἡλικίας λέγει, τὴν τελείαν τοῦ χῦ γνῶσιν ἐ εἴδησιν. τοῦ πληρώματος τοῦ χριστοῦ. πλήρωμα χριστοῦ φησι, τὴν περὶ χριστοῦ ὁλοτελῆ

Οἰκουμ.

ὁλοτελῆ γνῶσιν καὶ πίστιν, οἷον ὅτι ἐκ παρθένου σάρκα ἔλαβεν, ὅτι ἐκ θεότητος καὶ ἀνθρωπότητος εἰς μίαν ὑπῆρξεν ὑπόστασιν. ἵνα γὰρ μὴ ἀκούσας ἄνδρα τέλειον καὶ μέτρον ἡλικίας, τὴν σωματικὴν νοήσῃς, ἐπήγαγε, τοῦ πληρώματος τοῦ χριστοῦ, ὡσεὶ ἔλεγε. μέχρις οὗ εἰς τελειότητα φθάσωμεν τῆς ὁλοτελοῦς τοῦ χριστοῦ πίστεως καὶ γνώσεως. ὑ γὰρ ὁ τυχὼν γίνεται μέρος τοῦ ὅλου πληρώματος, ἤγουν τοῦ σώματος τοῦ Χριστοῦ, ἀλλ' ὁ εἰς ἄνδρα τέλειον τῆς ἐπιγνώσεως αὐτοῦ καταντήσας, καὶ εἰς μέτρον ἡλικίας ἀξίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Φωτ.

» Ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς δι-
» δασκαλίας ἐν τῇ κυβείᾳ ὧν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλά-
» νης. ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφα-
» λή ὁ Χριστός. ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον, διὰ
» πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξη-
» σιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

Ἵνα μηκέτι ὦμεν νήπιοι. δείκνυσι παθόντας αὐτοὺς τὸν πάλαι, καὶ ὡς ἐνδυναμώσαντας τάξει ἐπανορθοῦται αὐτοὺς, καὶ ἑαυτὸν ζωτάττων διὰ τὸ ἀνεπαχθές. νήπιοις δέ, τῇ πίστει φησί. καὶ περιφερόμενοι. νηπίων γὰρ ὄντως τὸ περιφέρεσθαι, καὶ ὑ βεβηκότων καὶ στερρῶν. παντὶ ἀνέμῳ. ἤτοι κλυδωνιζόμενοι, ἐπέμφυε τῇ τροπῇ, καὶ ἀνέμου διδασκαλίας πρσειτῶν. ἐν τῇ κυβείᾳ ὧν ἀνθρώπων. κυβευταὶ λόγων λέγονται, οἱ μὲν τὸν, τὸ δὲ ἐκεῖνο διδάσκοντες, καὶ μεταβαίνοντες ἀεὶ ἀπὸ τούτου εἰς τὸν πανοῦργος. τοιοῦτοι οἱ αἱρετικοί. οἱ δὲ τοιοῦτοι, φησὶ, καὶ πανοῦργοι πρὸς τὸ μεθοδεύειν καὶ πρέφασιν πλάνης, πάντα πρὸς τὸ ἁπατῆσαι μηχανώμενοι. κυβείαν τὴν πανουργίαν καλεῖ. περιῄνται δὲ ἀπὸ τοῦ κυβεύειν τὸ ὄνομα. ἴδιον δὲ τούτου, τὸ τῇ δὲ κρίσει μεταφέρειν τὰς ψήφους πανουργευομένους. ἀληθεύοντες δὲ ἐν ἀγάπῃ. ἐκεῖνοι μὲν νόθα, φησὶ, καὶ ψευδῆ διδάσκουσι περὶ ὧν ὁ λόγος, ἡμεῖς δὲ ἀληθεύοντες ὄντε δόγμασι καὶ βίῳ καὶ λόγῳ ἐν ἀγάπῃ. ἄλλως γὰρ ὑκ ὄντι ἀληθεύειν. αὐξήσωμεν καὶ ἐποικοδομήσωμεν εἰς τὸν Χριστὸν τὴν κεφαλὴν ἡμῶν, τὰ πάντα ἡμῶν, καὶ βίον, καὶ λόγον, καὶ δόγματα. ἐξ οὗ πᾶν τὸ σῶμα. καθάπερ ἡ ἕν ὧν ἡμετέρων σωμάτων τὸ πνεῦμα τὸ ζωτικὸν τὸ ἀπ' ἐγκεφάλου διὰ ὧν νεύρων κατὸν, ὑχ ἁπλῶς πᾶσιν ἐμπνεῖ τοῖς μέλεσι δυνάμεις, ἀλλὰ τῷ μὲν πλεῖόν τι δέξασθαι δυναμένῳ πλεῖον δίδωσι, τῷ δὲ ἔλαττον, ἔλαττον, οὕτω καὶ ὁ Χριστὸς, καθάπερ μελῶν ὧν ἡμετέρων ψυχῶν ἐξ αὐτοῦ καὶ εἰς αὐτὸν ἀπκρεμαμένων, ἡ πνευματικὴ αὐτοῦ δύναμις καὶ ἡ ὧν χαρισμάτων διανομὴ, καθ' ἀναλογίαν ἑνὸς ἑκάστου μέλους αὐτοῦ προσαρμόζει, τὴν αὔξησιν ποιεῖται τῆς πνευματικῆς ἡλικίας. διὰ τῆς ἁφῆς, φησὶ, τῆς ἐπιχορηγίας, τουτέστι διὰ τῆς ἐν τῇ ἁφῇ καὶ οἷον ἐρεύνῃ τοῦ ἐπιτηδείου ἐπιχορηγίας γινομένης. ἐκείνη γὰρ ἡ ἀπὸ τοῦ Χριστοῦ κατιοῦσα πνευματικὴ δύναμις, ἑνὸς ἑκάστου μέλους αὐτοῦ ἀπαρμόζει, οὕτως ἐνεργεῖ, ὡς ἂν εὕρῃ τινὰ πρὸς ὑποδοχὴν ἐπιτήδειον, ὡς ἡ ἔλεγε. τὰ μέλη τοῦ Χριστοῦ ἡμεῖς, φησιν, οἱ ἄνθρωποι καθ' ἓν ἀναλογίαν τοῦ οἰκείου πνευματικοῦ

πικοῦ μέτρου δεχόμενοι τὴν ἀπὸ τοῦ χριστοῦ ἐπιχορηγίαν, αὔξομεν. τὸ γὰρ πνεῦμα
ἀνωθεν ἐπιρρέον ἀπὸ τοῦ χριστοῦ ἀφθόνως καὶ χορηγούμενον, πάντων ἐφαπτόμενον
ὧν εἰς μέλη τελουμένων τοῦ χριστοῦ, πρὸς τὴν ἀναλογίαν τῆς ἑκάστου δυνάμεως τὴν
Οἰκουμ. αὔξησιν ποιεῖται. ὅρα τί καγὼ νοήσας. οὔτε γὰρ ἐχώρησα τὸ τῆς μακαριότητος νοῆ-
Ἰωάννου. σαι. ἐξ οὗ χριστοῦ πᾶν τὸ σῶμα τῆς ἐκκλησίας συναρμολογούμενον αὐτῷ καὶ συμ
βιβαζόμενον, ταῖς συγκειμέναις ἁπάσαις ἁφαῖς καὶ πεσυνωμένον, ὡς ἰδίᾳ κεφαλῇ.
ἐξ αὐτοῦ γὰρ ἡμῖν τὸ κεκλῆσθαι αὐτῷ. κεκλημένον δὲ, διὰ πάσης ἁφῆς, ταυ-
τέστιν αἰσθήσεως τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν τοῦ μέτρου ἑνὸς ἑκάστου μέρους,
ταυτέστι διὰ τῆς κατ' ἐνέργειαν χριστοῦ ἐπιχορηγίας τοῦ ἁγίου πνεύματος τῆς καθ' ἑκά-
στου μέτρου καὶ τὴν τῆς ὑποδοχῆς δυνάμεν ἑνὸς ἑκάστου μέλους τοῦ χριστοῦ γινομένης τὴν
αὔξησιν τοῦ σώματος τοῦ χριστοῦ, ταυτέστι τῆς ἐκκλησίας, ποιεῖται. αὔξησιν δὲ δη-
λαδὴ πνευματικήν. διὰ γὰρ τῆς ἐπιχορηγίας τοῦ ἁγίου πνεύματος, αὐξεται ἡς μέ-
Φωτ. τρου τελείου πνευματικῆς ἡλικίας ἡ ἐκκλησία, εἴτε διὰ χαρισμάτων, εἴτε διὰ γνώ-
σεως, εἴτε διὰ πίστεως. Ἐξ οὗ πᾶν τὸ σῶμα, ἤγουν οἱ πιστοὶ, συναρμολογού-
μενον καὶ συμβιβαζόμενον, τὴν αὔξησιν τὴν ἰδίαν ποιεῖται ἐπὶ ἰδίᾳ οἰκοδομῇ καὶ
τελειότητι, οὐχὶ ἑτέρου τινὸς χάριν. τὸ δὲ, ἐν ἀγάπῃ, ὅτι οὐδ' ἄλλο μηδὲ
ὧν καλῶν χωρὶς ἀγάπης σώζεται καὶ τελειοῦται, μάλιστα δὲ, ἡ κατὰ πίστιν ἑ-
νότης καὶ ἁρμολογία. ἀμὰ γὰρ ἁρμολογοῦνται καὶ συμβιβάζονται οἱ πιστοί· διὰ πά
σης ἁφῆς, φησι, ἵνα μὴ ὁ μὲν τῷδε σωάζηται, ὁ δὲ τῷδε, ἀμὰ πάντες πᾶσι.
διὰ γὰρ τῆς ἀπάντων συναφῆς, ἡ κοινὴ τοῦ σώματος πάντως αὔξησις γίνεται. αὕτη δὲ
ἡ ἀφὴ καὶ σωάφεια πόθεν φύεται; τῆς ἐπιχορηγίας ἐστὶ τοῦ Χριστοῦ, φησιν. ἐπιχο-
ρηγίας δὲ, ὅτι μετὰ ὧν ἄλλων αὐτοῦ ἐνεργεσιῶν, καὶ τὴν ἀμήλων σωάφειαν αὐτὸς
ἐπιχορηγεῖ. τὸ δὲ, κατ' ἐνέργειαν, ὅτι γ μόνον τὸ ἐπιτηδείως ἔχειν πρὸς τὴν σωά-
φειαν, ἀμὰ καὶ αὐτὸ τὸ ζωάσθεσθαι, τῆς αὐτοῦ ἐστὶ ἐπιχορηγίας ἐστί. τὸ δὲ, ἐν μέτρῳ
ἑνὸς ἑκάστου μέρους, ἵνα μὴ ἀκούσας, ὅτι αὐτὸς ἡμᾶς ἀλλήλοις συναρμολογεῖ,
αὐτὸς ἐπιχορηγεῖ καὶ τὴν κατ' ἐνέργειαν σωάφειαν, τῆς αὐτοῦ ἐστι δωρεᾶς καὶ ἐπι-
χορηγίας ἅπαντα, ἵνα μὴ τῷ λογισάμενος αὐτὸς ἡς ῥαθυμίαν ἀπόκλινῃς ὡς πάν-
τα ἔχων ἐκεῖθεν πρᾶγμα, προσπίθησι τοῦτο, ὅτι γ καὶ πρᾶγμα ἐπιχορηγεῖται, ἀμὰ
καὶ τὸ μέτρον τῆς προθυμίας ἑνὸς ἑκάστου ὧν δεχομένων ἡ διανομὴ γίνεται. ἡς
οἰκοδομὴν ἑαυτοῦ. αὔξων γὰρ τὴν ἐκκλησίαν ὁ Χριστὸς πνευματικῶς καὶ ἀοράτως,
ἑαυτὸν οἰκοδομεῖ, ἐπιδιὰ τὸ ἴδιον αὐξῆ σῶμα, ὡς κεφαλὴ τὰ μέλη. καλῶς δὲ
τὸ οὐ ἀγάπη. ἄνευ γὰρ τοῦ τοῦτο ἡμῖν προσεῖναι, ὑδὲν ῥυτὸν ἡμῖν ἔσται.
Οἰκουμ. ἢ, ἐν ἀγάπῃ, ἢ αὐτὸς ἡμᾶς ἀγαπᾷ. διὰ γὰρ τὸ ἀγαπᾶν ἡμᾶς, φησι, τοῦτα
ποιεῖ. καὶ καλῶς προσέθηκε τὸ, ἐν ἀγάπῃ. ἄνευ γὰρ ταύτης χρὴ οὐ εἴρηνα κα-
» ταβαίνῃ τὸ πνεῦμα τὸ ἅγιον. Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι οὐ κυρίῳ, μηκέ-
Κεφ. ζ'. » τι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, οὐ ματαιότητι τοῦ νοὸς αὐ
» τῶν ἐσκοτισμένοι, τῇ διανοίᾳ ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ διὰ τὴν ἄ-
γνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν. οἵτινες ἀπηλγηκότες,
ἑαυτοὺς

» ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.
Ἐρῶ μὴ μόνον διὰ τοῦ παραινεῖν, ἀλλὰ καὶ διὰ τοῦ φοβεῖν καὶ τῷ θεῷ
παραδιδόναι, τὴν διδασκαλίαν ἐργάζεσθαι. μαρτύρομαι, φησιν, οὐ κυρίῳ,
τυτέστι μάρτυρα τὸν κύριον καλῶ, ὅτι εἶπον τί δεῖ ὑμᾶς πράττειν. ὅρα δὲ
σοφίαν. οὐκ εἶπε, μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς περιπατεῖτε. (ἐπλη-
ξε γὰρ ἄν.) ἀλλὰ τοῦτο μὲν ἐδήλωσεν, ἀπὸ δὲ ἑτέρων ἤγαγε τὸ παρά-
δειγμα. ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν. ἡς τὸ μὴ περὶ τὰ μάταια ἀσχο-
λεῖσθαι τὸν νοῦν ὑμῶν. Οὐ τὰ τῆς ἀληθείας φρονοῦντες καὶ πιστεύοντες Φωτ.
καὶ ἀπρόσκοποι, ἀλλ' ἄπορ αὐ ὁ νοῦς αὐτῶν μάτην ἀναπλάσῃ καὶ λογίσηται.
τί δ' αὖ καὶ λογίσοιτο τῶν καλῶν, ὁ ἐσκοτισμένον ἔχων τὴν διάνοιαν;
ἐσκοτισμένοι τῇ διανοίᾳ. τὸ γὰρ πλῆθος ὧν βιωτικῶν ἁμαρτιῶν, τὸ διορα-
τικὸν τῆς διανοίας ἐπισκοτίζον, ἰδεῖν οὐκ ἐᾷ τὸν ἥλιον τῆς δικαιοσύνης Χριστόν.
θεῖον γίνεται ἡ πώρωσις τῆς καρδίας. ὅπερ παρακαλιὼν φησιν, οἱονεὶ πέ-
ρωσίς τις οὖσα καὶ ἀναισθησία. τὸ γὰρ ἐσκοτισμένον, ἀναίσθητον. διὰ τὴν
ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς. ἣ οὖν ἀγνοοῦσι, φησίν τις, καὶ ἡ πεπώρωνται,
οὐκ ἄξιοι ἐγκλημάτων εἰσὶ καὶ τιμωριῶν, ἀλλὰ μᾶλλον τοῦ μαθεῖν. ἀλλ' ὅ-
ρα πῶς αὐτῶν ἀφαιρεῖται τὴν συγγνώμην. οἵτινες, φησὶν, ἀπηλγηκότες ἑαυ-
τοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης. δείκνυσι γὰρ
ὅτι τῆς ἀγνοίας καὶ τῆς πωρώσεως, ὁ βίος αὐτοῖς αἴτιος. ὁ δὲ βίος, ἐξ οἰκείας
μέντοι ῥαθυμίας καὶ ἀναλγησίας. ἑαυτοὺς γάρ, φησι, παρέδωκαν. ὅταν οὖν εἰς τὴν
πρὸς Ρωμαίους ἔυρεις, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, κατὰ τὴν οὐ
ταῦτα διάνοιαν αὐτὸ νόει. συνεχώρησε γὰρ ὁ θεὸς παραδοθῆναι αὐτοὺς, ἐπιδιὰ τοῦ
του ἀξίους ἑαυτοὺς ἐποίησαν. διὰ τὴν πώρωσιν. διὰ τὴν ἀναισθησίαν. ἀναισθη-
σίαν γὰρ φέρει τὸ φωτὸς ἡ σκότωσις, τῷ μὴ ἔχειν οὐ ἑαυτοῖς φόβον θεοῦ. οἵτινες.
εἰς τὸν παρανομον ἐξοκείλαντες βίον, καταβραχὺ τὴν ἀναλγησίαν ἐπόησαν.
ἀπηλγηκότες. οἷον ἀναλγήτως ἐσχηκότες καὶ ῥαθυμήσαντες, καὶ καμεῖν μὴ
βουληθέντες πρὸς ἔυρεσιν τοῦ καλοῦ. ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ.
πῶς γὰρ ὁ οὐ ἀσελγείᾳ ἐξεταζόμενος, δυνηθείη γνῶναι θεὸν; οὐκοῦν ἡ αἰτία τῆς
ἀγνοίας, ἡ ἀσέλγεια, ἥτις καὶ γνώμην ἀμαρτάνεται. εἰς ἐργασίαν ἀκαθαρσίας.
ὡς ἔργῳ, φησὶ, τῷ ἀσελγαίνειν ἐχρήσαντο καὶ πλεονεκτεῖν. ἆρα οὐκ ἔχω αὐ-
τοῖς μὴ ἀσελγαίνειν; μὴ πλεονεκτεῖν; παντέλου δῆλον. ὁρᾷς ὅτι παρ' αὐτῶν
γέγονεν ἡ τύφλωσις; ἐν πλεονεξίᾳ. ἢ ὅτι δυσὶν ἑαυτοὺς παρέδωκαν πάθεσιν,
ἀσελγείᾳ καὶ πλεονεξίᾳ, ἃ ἐστιν ἐπιπλάζοντα μᾶλλον τῶν ἄλλων ἁμαρτιῶν,
ἢ ὅτι τὴν ἀσέλγειαν καὶ ἀκαθαρσίαν ἁπλῶς οὐ πλεονεξίᾳ, τυτέστι καθυ-
περβολὴν καὶ ἀνενδότως ἠργάσαντο.
» Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν, εἴγε αὐτὸν ἠκούσατε, καὶ ἐν
» αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια οὐ τῷ Ἰησοῦ ἀπρόσκοπον εἶναι ὑμᾶς καὶ
» τὴν πρότερον ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπι-

» θυμίας τῆς ἀπάτης. ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσα-
» σθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι
» τῆς ἀληθείας. Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε. γε ἐπὶ τούτῳ, φησί,
τῷ ὄρῳ, ὥστε τὰ ὅμοια ποιεῖν ἐκείνοις. τὸ δέ, εἴγε αὐτὸν ἠκούσατε, ὁ ἅγιος
Ἰωάννης βεβαιωτικὸν ἐδίδαξε, καθώς, φησιν, αὐτὸν ἠκούσατε. δύναται δέ-
τις καὶ ᾧ ἀμφιβολίᾳ αὐτὸ δέχεσθαι, ἵνα καὶ μᾶλλον αὐτοὺς πλήξῃ, ὡσεὶ
εἴπωμεν. ἀμφιβάλλω γάρ ἔτις τὸν Χριστὸν ἀκούσας καὶ διδαχθεὶς ᾧ αὐτῷ,
ποιῶ τὰ πρακτέα. καθώς ἐστιν ἀλήθεια. τὸ, καθώς ἐστιν ἀλήθεια ἐν τῷ
Ἰησοῦ, δύνῃ καὶ τῷ ἄνω ἁρμόσαι, ὅτον καὶ ᾧ αὐτῷ ἐδιδάχθητε. τί ἐδιδά-
χθημεν; καθώς ἐστιν ἀλήθεια ᾧ αὐτῷ, ἀλήθεια λέγων τὸν Δικαιοζήνω.
τὸ γὰρ ψεῦδος ἐστὶν ἁμαρτία. καθὼς οὖν ἐστιν ᾧ αὐτῷ ἀλήθεια, οὕτως καὶ
ὑμεῖς ἐδιδάχθητε. καθ' ἁρπαὐτὸν ἐδιδάχθητε. δύνῃ δὲ καὶ τῷ ἐγκλίνῳ
ἁρμόσαι αὐτὸ, καὶ ἐν αὐτῷ ἐδιδάχθητε καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ ἀληθεύειν ὑμᾶς. τὸν γὰρ ἐδιδάχθητε, καὶ αὐτό ἐστιν οὐκ ἐν τῷ Ἰησοῦ ἀλήθεια, τὸ
ἀποθέσθαι ὑμᾶς τὸν κατὰ τὸν πρότερον ἀναστροφὸν παλαιὸν ἄνθρωπον τὸν συν-
μαρτίας. παλαιὸν γὰρ ἄνθρωπον, ὃν τὸν φύσιν ὠνόμασεν, ἀλλὰ τὸν τῆς ἁ-
μαρτίας ἐνέργειαν. τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας. ἢ τὸ κατὰ τὰς
ἐπιθυμίας, ἀντὶ τοῦ διὰ τῶν ἐπιθυμιῶν κεῖται. (δι' αὐτῶν γὰρ φθείρεται ὁ ἄνθρω-
πος, ὥσπερ τὸ ἔριον δι' ὧν πίκτει σκωλήκων. φθείρεται δὲ καὶ ᾧ τῇ γεέννῃ, καὶ ᾧ τῷ
νῦν βίῳ. αἱ γὰρ ἀκολασίαι, καὶ αὐτὰ τὰ σώματα ὃ μόνον τῆς ψυχῆς ἐστι
φθαρτικαί.) ἢ ὥσπερ, φησίν, αἱ ἐπιθυμίαι φθείρονται, (φθείρονται δὲ καὶ νό-
σῳ καὶ χρόνῳ, καὶ τελευταίῳ θανάτῳ,) οὕτω καὶ αὐτὸς ὁ τὰς ἐπιθυμίας τι-
κτων ἀνθρωπος. καλῶς δὲ τῶν ἐκ τῶν ἐπιθυμιῶν ἀποτελουμένων ἁμαρτιῶν,
ἀπάτην ἐπάλεσεν. ἀπάτη γάρ, καὶ ὃ κυρίως ἡδονή. ἀνανεοῦσθαι δὲ τῷ
πνεύματι. ἀνανεοῦσθαι δὲ διὰ τοῦ ἁγίου πνεύματος, τοῦ ὄντος ἐν τῷ νῷ ὑμῶν.
τὸ γὰρ πνεῦμα παλαιῶν οὐκ ἀνέχεται πράξεων. καλῶς δὲ τὸν τοιοῦτον ἀνα-
καινίσιν, ᾧ πνεύματι γίνεσθαι λέγει. ὃ γὰρ σωματικῶς ἄλλοι ἀντ' ἄλλων γι-
νόμενα, ἀλλὰ διὰ πνεύματος ἐστὶν ἡ ἀνακαίνισις, μετανοίας ἡγουμένης, καὶ
τῆς ἄνωθεν τῶν ἁμαρτιῶν ἀφέσεως. καὶ ἐνδύσασθαι. ἐδιδάχθητε ἀπο-
θέσθαι, ἐδιδάχθητε ᾧ δύσασθαι. ἀπὸ κοινοῦ γὰρ τὸ ἐδιδάχθητε.

ΑΛΛΩΣ. ᾧ δύσασθαι, φησὶν, ἐν τῷ βαπτίσματι, ᾧ δύσασθαι καὶ διὰ
μετανοίας καὶ πολιτείας χρηστῆς. τὸν καινὸν ἄνθρωπον. ὁρᾷς ὅτι ἑκούσιόν
ἐστι τὸ πρᾶγμα καὶ μᾶλλον ἐυχερές; καινὸν δὲ ἄνθρωπον φησὶ, τὸν ᾧ ἀρετῇ
διαζῶντα, ὥσπερ παλαιὸν, τὸν ἐν ἁμαρτίαις. τὸν κατὰ θεὸν κτισθέντα.
ὁ γὰρ ἐν ἀρετῇ ζῶν, κατὰ θεὸν ἔκτισαι καὶ κατὰ θεὸν πολιτεύεται. δικαιοζήνη
δὲ ἡ καθολικὴ λέγεται ἀρετὴ, ὁσιότης δὲ, ἡ καθαρότης. καὶ ὁσιότητι τῆς
ἀληθείας. ὧν καὶ παρὰ Ἰουδαίοις δικαιοζήνη καὶ ὁσιότης, σημαὶ τυπική. σωρὶ
γὰρ σώματος καθαρσιν ἠσχόλητο, ἀλλὰ μὴ ταύτῳ, ἀλλὰ τῷ ἐν ψυχῇ δικαιο-
ζήνῳ καὶ

ζήνῳ καὶ ὁσιότητα ἐνδύσασθε. αὕτη γὰρ ἡ τῆς ἀληθείας. ἢ δικαιοζήνω ἀ-
ληθείας λέγω, πρὸς ἀντιδιαστολὴ τῆς ᾧ ὑποκρίσει.

» Διὸ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον
» αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. ὁ ἥλιος
» μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ Διαβό-
» λῳ. ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀ-
» γαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἐχοντι. πᾶς λόγος σα-
» πρὸς, ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἴτις ἀγαθὸς πρὸς οἰκοδομὴν
» τῆς χρείας ἵνα δῷ χάριν τοῖς ἀκούουσιν.

Εἶπε τὸν παλαιὸν ἄνθρωπον καθολικῶς, λοιπὸν καὶ ἰδικῶς αὐτὸν δια-
γράφει. καὶ πρῶτον αὐτοῦ τὸ ψεῦδος ἀποκτέμνει, ὡς ἀπὸ οἰκείων μελῶν, ὡ-
σεὶ εἴπε. μὴ ὀφθαλμὸς ἰδὼν πηρὸν, οὐ δίδωσι φυγεῖν τοῖς πρόσω; ἢ χεὶρ
ψηλαφήσασά τι πονηρὸν, ψεύδεται τὰ λοιπὰ μέλη; οὕτως, φησὶ, καὶ ὑμᾶς
χρὴ διακεῖσθαι. ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. εἶπε μὴ ψεύδεσθε. ἐπεὶ
οὖν πολλάκις τὸ ψευδόμενος, ὀργῆς πρόφασιν παρεῖχε, φησί. καλὸν μὲν
τὸ μὴ ὀργίζεσθαι καθόλου. ἡ δὲ ἀρα, κἂν μὴ πρὸς ἁμαρτίαν ὀφλισκάνητε,
μὴ δὲ παραμυέτω ὑμῖν ἐπὶ πολὺ τὸ πάθος. ὑπὸ γὰρ, ὡς λέγεται, ὀρ-
γῆς δικαίας πρὸς ὥραν ἐμπολιθῆναι. λῦσον δὲ αὐτῷ πρὸ ἡλίου δύσεως, διά-
τε τὸ μὴ δόξαι τῇ ἀναξίοις ἀνατεθαλκέναι τὸν ἥλιον, καὶ ἵνα μηδὲ νὺξ δι' ὧν
ἐννοιῶν χαλεπωτέραν ἐργάσηται τῷ πυρᾷ. Ηκουσάτινων ἑρμηνευσάντων. Οἰκουμ.
μία, φησὶν, ἀναμάρτητος ὀργὴ, ἡ πρὸς τοὺς Δαίμονας καὶ τὸ πάθη. μὴ
δὲ δίδοτε τόπον. ἢ ὅτι τοῦ ἄνω ἥρτηται, μὴ ἐπιδυέτω, φησὶν, ὁ ἥλιος
ἐπὶ τῷ παροργισμῷ ὑμῶν, ἵνα μὴ δῶτε χώραν τῷ Διαβόλῳ διὰ τῶν καθ'
ἡμῶν νύκτα λογισμῶν, πλεῖον ὑμᾶς ἐκκαίειν καθ' τῶν ἀδελφῶν. τῷ Δια-
βόλῳ. ὡς τε τὸ ἀλλήλοις πολεμεῖν, τόπον ἐστὶ δίδοναι τῷ Διαβόλῳ καθ'
ἡμῶν αὐτῶν. ὁ κλέπτων μηκέτι κλεπτέτω. ἰδοὺ τὰ μέλη τοῦ πα-
λαιοῦ ἀνθρώπου. πρῶ δὲ ἐπὶ νῶ οἱ ῥύπου γέμοντες, ἑαυτοὺς δὲ καθαροὺς
ἐπικαλοῦντες, οἱ μὴ δεχόμενοι τὴν μετάνοιαν; ἰδοὺ γὰρ φανερῶς ἀκούου-
σιν, ὁ κλέπτων μηκέτι κλεπτέτω. μᾶλλον δὲ κοπιάτω. γὰρ ἀρκεῖ
παύσασθαι ἁμαρτίας τὸν μετανοοῦντα, ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῇ ὀφειλέτω
αὐτῷ. κοπιάτω, δὲ, φησὶν, τὸ ἐπίπονον τοῦ ἔργου ἐδήλωσε. τὸ ἀγαθὸν,
φησὶ. καὶ γὰρ καὶ ὁ κλέπτων ἐργάζεται, ἀλλὰ κακόν. πᾶς λόγος σαπρὸς.
σαπρὸν, ἢ τὸν αργὸν καὶ ἄκαιρον καλεῖ, ἢ τὸν σεσηπότα καὶ δυσώδη. τί γὰρ
λοιδορίας, καταλαλιᾶς, αἰσχρολογίας, ἐυτραπελίας, δυσωδέστερον ἢ πολέμ
σεσηπός; πρὸς οἰκοδομὴν τῆς χρείας. ποίας χρείας; τῆς παρούσης, φησὶ,
περὶ ἧς ἡ διάλεξις. δεῖ γὰρ τὸν πνευματικὸν ἄνθρωπον, πᾶσαν περικλείειν διά-
λεξιν προτρέπειν εἰς οἰκοδομὴν ὧν συμπαρόντων. ἵνα δῷ χάριν τοῖς ἀκούουσιν.
ἵνα δῷ χάριν θεοῦ, φησὶ, τοῖς ἀκούουσιν, ἢ ἵνα χάριν σοι ἔσωνται θεοῦ, ἐφ' οἷς λαλεῖς,

ἢ ἵνα ἐυχαρὶς αὐτῖς γλύῃ πνευματικῶς. ἔσαι δὲ τοῦτο, ἐὰν τορὶ σωφρο-
ζύνης, τορὶ δικαιοζύνης, τορὶ ἐλεημοζύνης λαλῆς.

» Καὶ μὴ λυτεῖτε τὸ τνεῦμα τὸ ἅγιον τῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε ἁγ ἡμέ-
» ραν ἀπολυτρώσεως. πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασ-
» φημία ἀρθήτω ἀφ' ὑμῶν ζὺν πάσῃ κακίᾳ.

Φοβερόντι λέγω. δείκνυσι γὰρ, ὅτι πᾶς ὁ σατρὸν λόγον λαλῶν, τὸ πνεῦ-
μα λυτεῖ τὸ ἅγιον. εἶτα καὶ ἐκ τῆς ἐυεργεσίας τῦ τνεύματος, φοβερώτερον τὸν
λόγον ποιεῖ. ἐν ᾧ γάρ, φησιν, ἐσφραγίσθητε. ὥσατορ γὰρ δίλοις τοιῶν ἡμᾶς
ὅτι ἐσμὲν θεῦ λαὸς, ἐσφράγισεν ἡμᾶς ἐν τῷ βαπτίσματι. αὕτη γὰρ ἡ ἡμέρα
τῆς ἀπολυτρώσεως. πᾶσα πικρία. πικρίαν μὲν λέγει, τὴν δ' ἁνότητα καὶ
τὴν καθαστηνιώ. ὁ δὲ θυμὸς ζυνητικός ἐστι τῆς ὀργῆς. ἐκ δὲ τῆς ὀργῆς ἡ κραυ-
γὴ πρέσεισιν. ἐκ δὲ ταύτης ἡ βλασφημία, οἷον ἡ λοιδορία. ταῦτα τοιγαροῦν ἅ-
παντα ἀρθήτω ἀφ' ὑμῶν. ἁ λέγω κατεχέσθω ἢ κολαζέσθω, ἀλλὰ τὴν τελείαν
αὐτῶν δίλυσιν ἀναίρεσιν, ἀρθήτω ζὺν πάσῃ, φησὶ, κακίᾳ. ἐσθδὲ γάρ ἐστιν ἀν-
θρωπροι ὥσατορ τῶν κυνῶν οἱ λαθροδάκται, οἳ οὔτε κράζουσιν, οὔτε δίλως τοιοῦ-
σι τὸν ὀργιλὸν, ἀμὰ καθ' ψυχὴν ἔχοντες ἀμυόνται τὸν καιρὸν τὸν λυτήσαντα, βού
λεται καὶ τὴν ἐνδομυχοῦσαν κακίαν αἴρεσθαι καὶ ἐξορίζεσθαι.

5 » Γίνεσθε δὲ ἁγάθοις χρησοὶ, ἐυσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς
» ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. γίνεσθε οὖν μιμηταὶ τῦ θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ
» τορίπατεῖτε τὸν ἀγάπην, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν
» ὑατὸρ ἡμῶν τροσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν ἐυωδίας.

Οὐδὲ γὰρ ἀρκεῖ μόνη τῶν κακῶν ἡ ἀτοχὴ ἀπαλλάξαι τιμωρίας, ἢ μὴ καὶ ἀ-
γαθόντις τροσεργάσηται. καὶ τὸτο δηλοῦσιν οἱ ἐξ ἐυαγυμων, οἳ ἁδὲν ἐγκαλοῦν-
ται κακόν. ὅτι δὲ μὴ ἐθρεψαν, καὶ ἐτότισαν, καὶ ἐσκέπασαν, ἅσατορ ἐστὶ τῶν κα-
λῶν ἐργασία. δεῖ οὖν ἡμῖν καὶ καλῶν ἐργασίας. Διὸ τὰ φαῦλα ἀνελῶν ὁ
Παῦλος, ἐτὶ τὰ τῶν ἁγαθῶν ἐργασίαν παρακαλεῖ. χρησοί. ὡς τρὸς ἀντι-
διαστολὴν τῆς ὀργῆς. ἐυσπλαγχνοι. ὡς τρὸς ἀντιδιαστολὴν τῆς πικρίας. τὸ δὲ,
χαριζόμενοι ἑαυτοῖς, ὅ ἐστι συγγνωμονικοὶ γίνεσθε, τρὸς ἀντιδιαστολὴν τῆς κα-
κίας καὶ βλασφημίας τέθεικε. καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ. μεγίστη μὲν
τροτροτὴ τρὸς τὸ χαρίζεσθαι ἑαυτοῖς, τὸ ἁτεῖν τὸν Χριστὸν, ἄφετε καὶ ἀφεθή-
σεται ὑμῖν. ἀλλ' ἐπειδὴ τολλοὶ ἁ σφόδρα τοῖς μάλλουσι τιστεύουσιν, αὐτὸ ζὺν
τρὸ τῦ τυργμῶν τοιῆται τὴν τροκλησιν. χαριζόμενοι γάρ, φησιν, ἑαυτοῖς, κα-
θὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. τί ἐστιν ἐν Χριστῷ; ῥυτέσι μᾶλ κιν-
δυνοῦσι τὸ ὑοῦ αὐτῦ, διὰ τῆς σφαγῆς αὐτῦ καὶ τῦ σταυροῦ. καὶ σὺ μὴ, φησὶν,
ἀκινδύνως χαρίζῃ, ὁ δὲ θεὸς μᾶλ τὸ θανάτου τὸ μονογλυοῖς αὐτὸς ἐχαρίσατο ὑ-
μῖν. ὁρᾶς ὑτορβολήν; γίνεσθε οὖν μιμηταὶ τῦ θεοῦ. ἀρκεῖ τέτε τρὸς μισθὸν τῷ
χαριζομένῳ, τὸ γλυέσθαι μιμητὰς τῦ θεοῦ. ὡς τέκνα ἀγαπητά. ἰδὺ καὶ ἄλλη
τρὸς τὸ χαρίζεσθαι τροτροτή, μᾶλλον δὲ ἀνάγκη. ἀνάγκην γὰρ ἔχετέ, φησι,

μιμεῖσθαι

μιμεῖσθαι τὸν τατέρα ὑμῶν. εἶτα ἐτεδὴ μὴ τάντα τὰ τέκνα μιμεῖται τὸν τα-
τέρα, τεσσάρακε τὸ, ἀγαπητά. τοῖς γὰρ τιούτοις, ἐξ ἀνάγκης τινὸς ἡ μίμη-
σις. καὶ τορίπατεῖτε τὴν ἀγάπην. ἰδὺ τάντων τῶν καλῶν ἡ ῥίζα. ταύτης
γὰρ οὔσης, καὶ ἡ φυγὴ ὧν κακῶν, καὶ ἡ τοίησις τῶν ἁγαθῶν, ἐυχερῶς κατερ-
θῦται. καθώς, φησιν, ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. καίτοι γε ἔστιν ὅμοιον τῆς
τῦ Χριστῦ ἀγάτης τὸ ἡμέτερον. ὁ μὲν γὰρ ἐχθροὶς ὄντας ἡμᾶς ἠγάτησε,
σὺ δὲ, φησί, τέτε κἂν ἐς τοὺς φλησίον ἐπίδῃξον. ὁ μὲν Χριστὸς ἑαυτὸν ἐς θά-
νατον παρέδωκε, σοὶ δὲ ἀκινδύνως καὶ ἀζήμιος ἔσαι ἡ τρὸς τὸν φλησίον ἀγά-
τη. ἡ δὲ ἐχθροὶς ἀγαπήσεις κατὰ μίμησιν τῦ Χριστῦ, γλυήσῃ καὶ σὺ θυσία
τῷ θεῷ καὶ τροσφορὰ, ἐς ὀσμὴν ἐυωδίας λογιζομένη. οὕτως ὁ Χριστὸς γέγονε,
οὕτω καὶ ἡμεῖς ἐὰν θελήτωμεν ἐσόμεθα.

» Τορνεία δὲ καὶ τᾶσα ἀκαθαρσία ἢ τλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν,
» καθὼς τρέτει ἁγίοις. καὶ αἰσχρότης καὶ μωρολογία, ἢ ἐυτραπελία, τὰ οὐκ ἀνή-
» κοντα. ἀλλὰ μᾶλλον ἐυχαριστία. τῦτο γὰρ ἴστε γινώσκοντες, ὅτι πᾶς τόρνος
» ἢ ἀκάθαρτος, ἢ τλεονέκτης, ὅς ἐστιν ἑδωλολάτρης, οὐκ ἔχει κληρονομίαν
» ἐν τῇ βασιλείᾳ τῦ χριστῦ καὶ θεοῦ. μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις.
» διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τῦ θεοῦ ἐπὶ τοὺς ὑοὺς τῆς ἀπειθείας. μὴ οὖν
» γίνεσθε συμμέτοχοι αὐτῶν. ἦτε γάρ τοτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ.

Εἶτα τορὶ τῦ θυμικοῦ τάθους, τῦ θυμοῦ καὶ τῆς ὀργῆς, καὶ τῆς τικρίας.
ἦλθε λοιτὸν ἐς τὸ ἐτιθυμητικὸν, τὸ τῆς τρυφῆς. καὶ γὰρ καὶ ὁ νόμος τρῶτος
ἔτων, ὃ φονεύσεις, ὅσατορ τῦ θυμικοῦ τάθους ὑτάρχει, τότε εἶτεν, ὃ μοι-
χεύσεις, ὅσατορ τῦ ἐτιθυμητικοῦ καθέσηκε. καθάτορ γὰρ ἡ τικρία καὶ
ἡ κραυγὴ καὶ ἡ κακία καὶ ἡ βλασφημία τῦ θυμικοῦ τάθους ἐστὶν, ὕτω τῦ
ἐτιθυμητικοῦ, τορνεία, μοιχεία, ἀκαθαρσία, τλεονεξία. ἡ γὰρ καὶ μὴ σωμά-
των, χρημάτων μόνον ἐτιθυμεῖ. μὴ δὲ ὀνομαζέσθω. διὸ δὲ γὰρ τοὺς τορὶ τύ-
των λόγους, ὑτόκαυμα καὶ τεττροτὰς ὧν ἔργων γινομένους. καθὼς τρέτει ἁγίοις.
ὕτω γὰρ τρέτει τοῖς ἁγίοις εἶναι τουδαίζουσιν. καὶ αἰσχρότης. ὥσατορ ἄνω
τὴν κραυγὴν τορισεῖλεν ὄχημα τῆς ὀργῆς ὑτάρχουσαν, οὕτω νῦν τὴν αἰσχρολο
γίαν καὶ τὴν ἐυτραπελίαν καὶ μωρολογίαν, ὑτόκαυμα τῆς τορνείας τυγχάνου
σαν. τὰ δὲ ἀνήκοντα. ἵνα μὴ δόξῃ φορτικὸς εἶναι καὶ τὴν ἐυτραπελίαν ἐκκό
τῶν, τὴν αἰτίαν ἐτάγει, τὰ μὴ ἀνήκοντα, φησίν. τί γὰρ τρὸς ἡμᾶς ταῦτα;
ἁδὲν κοινὸν ἡμῖν τρὸς αὐτά. ἁ γὰρ γέλωτος ἢ ἐυτραπελίας ὁ τερὼν καιρὸς,
ἀλλὰ τάθους καὶ ἀγῶνος, ὡσεὶ ἔλεγεν, ἐφέσηκεν ὁ Διάβολος τάντοτε,
τρίζων τοὺς ὀδόντας καθ' ἡμῶν καὶ ὠρυόμενος, καὶ σὺ τοίζεις καὶ ἀστεῖα λα-
λεῖς; καὶ τῶς αὐτὸν τορίεσῃ; δυσχερὲς γὰρ ἀγωνιζόμενον αὐτὸν τορικνέσθαι,
μὴτι τοίζοντα. ἀλλὰ μᾶλλον ἐυχαριστία. ἀνθ' ὧν γὰρ τὰ ἁμάρτια σου
μὴ φθέγγῃ, ἐυχαρίστει τῷ θεῷ. τῦτο γὰρ ἴστε. ἦσαν ἴσως τινὲς τερ' αὐ-
τοῖς οἱ λέγοντες, ὅτι φοβῆσαι θέλων ὁ θεὸς ταῦτα ἀτιγόρευσε τὰ ἐκτελῆ, ἢ καὶ

ἐξεφαύλιξον τὰ ῥιῶντα, ἀχίκιαν ὄντα εἰς γέενναν ἐμβαλεῖν, οἷα καὶ νῦν γίνεται. τί γάρ, φασι, τὸ ἄτρυν, ἢ ἡτῶν, μωρέ, ὄνος γλυκύτεται γένυις; καὶ πῶς ἡ πλεονεξία εἰδωλολατρεία; Θύρις οὖν ἀνίπτεται ὁ ἀπόστολος. δηλοῖ γὰρ ἡ ἐπαγωγή. μηδεὶς ὑμᾶς ἀπατάτω, φησί, κενοῖς λόγοις. κενοῖς δέ, τοῖς μὴ ἔχουσι τὸ ἐλπιζόμενον αὐτῆς πέρας, μὴ δὲ εἰς ἔργον ἐκβαίνουσι. μηδεὶς ὑμᾶς ἀπατάτω. ἆρα ἀπάτης ἐστὶ, τὸ τὰ ῥιῶντα λαλεῖν. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ· διὰ τὴν πορνείαν καὶ ἀκαθαρσίαν καὶ τὰ λοιπά, ἢ διὰ τοὺς ῥιούτους λόγους. ἀπειθείας δὲ υἱοὺς, τοὺς ἀπειθοῦντας τοῖς ῥιούτοις δόγμασι λέγει. ἦτε γάρ ποτε σκότος. ἀναμιμνήσκει αὐτοὺς τῆς πρώτης πολιτείας. σκότος ἦτε φησί. σκότος δὲ λέγει, τὸν ἐν πλάνῃ βίον. μὴ γίνῳ παλινδρομήσητε πρὸς τὸ σκότος.

» Ὡς τέκνα φωτὸς περιπατεῖτε. ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγα
» θωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ, δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ.
» καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους. μᾶλλον δὲ καὶ ἐ
» λέγχετε. τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. τὰ δὲ
» πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται. πᾶν γὰρ τὸ φανερούμενον φῶς
» ἐστι. Διὸ λέγει, ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει
» σοι ὁ Χριστός. Ὡς τέκνα φωτὸς. ῥυτέσιν ἐυσχημόνως. τῷ γὰρ φωτὶ, πᾶς τις τοῦ ἐυσχήμου πρόνοεῖ. ὁ γὰρ καρπὸς τοῦ πνεύματος. ῥιῶντα καρποφορεῖ τὸ πνεῦμα, καὶ οἱ πνευματικοὶ, ὡς πάγυ ἕτερα, τοῦ Σατανᾶ ἤστι καρποί. τῷ πάσῃ ἀγαθωσύνῃ. τοῦτο ὡς πρὸς τοὺς ὀρυζομένους, πρὸς τοὺς πικρούς. τὸ δὲ, δικαιοσύνῃ, ὡς πρὸς τοὺς πλεονέκτας. τὸ δὲ, ἀληθείᾳ, ὡς πρὸς τοὺς τῷ ψευδῆ τῆς ἀκολασίας καὶ ἁμαρτίας διώκοντας ἡδονήν. δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ. ἆρα ἀδοκίμου καὶ παιδικῆς Διανοίας τὰ ἄλ
Φωτ. λα. καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις. ἔργα σκότους εἴτε γλυκὺς ὀνόμασας πᾶσαν ἁμαρτίαν. διὰ τί δέ, φησιν, ἀκ ἐπεξῆλθον ἑκάστην αὐτῶν ὀνομασὶ πρᾶξιν; ὅτι καὶ ἐν αὐτῷ τῷ λέγειν αὐτὸς, αἰσχρότητος πλησθοῦται καὶ ὁ ἐπεξιὼν αὐτάς. ἢ οὕτως. ἐλεγχετε, φησὶ, τῇ παραθέσει τοῦ οἰκείου βίου. ἀδὲ γὰρ λέγω ἐλέγχειν αὐτὰς, τὰς πράξεις αὐτῶν ἐπεξιόντας αὐτοῖς καὶ ὀνειδίζοντας. οἶδα γὰρ ὅτι τοῖς πονηροῖς καὶ τὸ ὅλως μνημονεύειν αὐτῶν, αἰσχρότης νομίζεται. ἀδὲν γὰρ ἔλαττον, φησὶ, τῶν ὑμετέρων ἔργων ταῖς ἀρεταῖς ἀφαιρεθέντων ἐλεγχθήσονται. ἢ ἡ διὰ λόγων τὰς αὐτὰς ἀνακαλυφθεῖσαν, ἀλλὰ καὶ μᾶλλον ἅπαντα τὰ ἔργα αὐτῶν, διὰ τοῦ φωτὸς τοῦ ὑμετέρου βίου ἐλέγχεται καὶ ἀνακαλύφθεται καὶ φανεροῦται. φανερούμενα δὲ φωτίζεται καὶ εἰς τὸ ἄμεινον μετάγεται καὶ μεταποιεῖται. ἡ γὰρ τῶν κρυφίων διὰ τῆς ἐναρέτου πολιτείας φανέρωσις, εἰς κατάγνωσιν προτρέπεται, ἡ δὲ ἀρχὴ γίνεται ἐπιστροφῆς. αὕτη δὲ εἰς ἐργασίαν ἀρετῆς καταλήγει, ὅπερ ἐστὶ φῶς, ὡς πρόξενον τοῦ ἐκεῖθεν φωτός. καὶ φῶς πάλιν, ὅτι τυφλωθὲν τὸ ἡμῖν πρότερον περὶ τὰ πάθη, αὖτη καταλάμψασα τὸ ἡγεμονικὸν,

τὸ ἡγεμονικὸν, πρεῖ αὐτὸ καθορᾶν πῶν ἐν τῇ ἁμαρτίᾳ ἀσχημοζόμενα καὶ αἰσχρότητα καὶ ἀμορφίαν. τὸ δὲ, πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν, ἢ, ὡς ἔρηται, λυπθέον, ἢ καθασκευαστικὸν, τοῦ δύναθαι ἐλέγχειν τοὺς ἀπουδαίους διὰ τοῦ οἰκείου βίου, πῶν ὧν φαύλων πολιτείαν. φανεροῦται μὲν γὰρ ὁ τοῦ ἀπουδαίου βίος, φησί. φανερούμενος δὲ, φῶς ἐστί. φῶτὸς δὲ λάμπροτος, τὸ σκότος ἐλέγχεται, ὅπερ ἐστὶν ὁ ὧν φαύλων βίος. τοῖς ἀκάρποις. τοῖς γὰρ καρποῖς, τοῖον ὄφελος ἐξ ἐκείνων; θάνατος μὲν οὖν. σκότος δὲ λέγει, ὧν πλάνῃ καὶ ἁμαρτίαις ἀνθρώπων. καὶ τί λέγω, μὴ συγκοινωνεῖτε; μᾶλλον, φησὶ, καὶ ἐλέγχετε, παιδεύοντες αὐτοὺς διὰ ὧν ἐλέγχων. πῶτο δὲ γένεσιν φαντάζουτῷ, μὴ κρίνετε. ὥδε γὰρ τὸ ἐλέγχετε, ἀντὶ τοῦ, παιδεύετε, κεῖται. ἐκεῖ δὲ τὸ, καθακρίνετε. Η οὕτως. ἐλέγχετε αὐτοὶ διὰ τοῦ ὑμετέρου λαμ- Φωτ.
προῦ καὶ ἀπουδαίου βίου, καὶ μὴ ἀναμένετε ἐκείνους, ἑαυτοὺς προσαγγέλλειν, καὶ κωμῳδεῖν τὰ οἰκεῖα, καὶ εἰς μέσον ἄγειν, καὶ οὕτως βελτιοῦσθαι. ἡ γὰρ καὶ πράπουσιν ἃ μὴ θέμις, ἀγνοοῦντες τὴν ἐμφύτου γνώσεως ἡδότες αὐτῶν πῶν αἰσχρότητα, αἰσχύνονται, καίτοι δέον ἀνακαλύπθειν πῶν ἀσχημοζόμενα ἑαυτῶν. τὰ δὲ πάντα ἐλεγχόμενα. ῥυτέσιν ἀνίτε ὑμεῖς ἐναρέτοι, ἀδύναται λανθάνειν οἱ πονηροί, ἀλλ' αὐτὸς ὑμῶν ὁ βίος, καὶ πρὸς ὧν ὑμετέρων λόγων κατήγορός ἐστι, καὶ ἔλεγχος αὐτῶν. ἐὰν γὰρ λανθάνωσιν, ἀδιόρθωτοι μένουσι. φανερούμενοι δὲ διορθωθήσονται. πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστί. ἢ τοῦτο φησίν, ὅτι τὰ ἁμαρτήματα ἐφ' ᾧ φανερωθῇ, φῶς γίνεται, ῥυτέσιν εἰς διόρθωσιν τρέπεται ἐκ μετανοίας. ἢ ὅτι ἐναρέτου βίου δύναται κρυβῆναι. διὸ ἐλέγχει τὸ σκότος, ῥυτέσι τοὺς πονηροὺς. Ὅτι, φησὶ, τὸ φανερούμενον καὶ ἀνακαλυπθόμενον Φωτ.
φῶς γίνεται, μαρτυρεῖ καὶ ἡ χρῆσις. ἔγειρε γάρ, φησιν, ὁ καθεύδων, οἷον Διανάστηθι ἀπὸ τῆς πρὸς τὰ πάθη κατακλίσεως καὶ πρωτοδρείας, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν. ἔασον αὐτὰ νεκρὰ καὶ αἰσχρὰ καθὼς ἐστι φανερωθῆναι. καὶ ἀνάστα ταῦτα γίνεται, ἐπιφαύσει σοι τότε καὶ φωτίσει καὶ καταυγάσει ὁ Χριστὸς, ὥστε τὸ φανερούμενον φῶς γίνεται καὶ φωτίζεται. ἔγειρε ὁ καθεύδων. καθεύδοντα καὶ νεκρὸν, τὸν διὰ ἁμαρτίας, λέγει. καὶ γὰρ ἀνενέργητός ἐστι πρὸς τὸ ἀγαθὸν, ὡς ὁ νεκρὸς, καὶ φαντασιοῦται ὡς ὁ καθεύδων, καὶ ἡδὺς χθὲς ἐστι καὶ δυσφόρας χίμει, ὡς ὁ νεκρὸς πάλιν. καὶ ἐπιφαύσει σοι ὁ Χριστός. ὅτι δὲ σκότος ἐστὶ, φησὶν, ὁ ἐν ἁμαρτίαις, ἄκουσον πῶς αὐτὸν καθεύδοντα καὶ νεκρὸν ἡ γραφὴ καλεῖ, καὶ ὡς γὰρ ἄν ἄλλως ἐπλάμψειν αὐτῷ ὁ Χριστὸς, πλὴν ἢ μὴ παύσηται τῆς ἁμαρτίας. τὸ γὰρ ἔγειρε, παῦσον ἐστί. ταῦτα καὶ πρὸς ἀπίστους, καὶ πρὸς πιστοὺς ἁμαρτωλοὺς ἁρμόζει. τὸ δὲ ἐπιφαύσει, ἐπλάμψει ἐστίν.

» Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοὶ.
» ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί ἐσι. διὰ τοῦτο μὴ γίνεσθε ἄ-
» φρονες, ἀλλὰ συνίεντες τί τὸ θέλημα τοῦ κυρίου. καὶ μὴ μεθύσκεσθε οἴνῳ ἐν
» ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς

» καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς ᾄδοντες, καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ
» ὑμῶν τῷ κυρίῳ, εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ κυρίου
» ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ θεῷ καὶ πατρὶ ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ θεοῦ.

Βλέπετε οὖν. πρόβατα ἐστὲ ἐν μέσῳ λύκων. διὸ πολλῆς παραφυλακῆς χρεία μὴ ἀναζέσθαι ἔχθρας, πολὺν δὲ τὸ κήρυγμα. μὴ ὡς ἄσοφοι. οἱ μὲν σοφοί, ἴσασι πῶς δεῖ πορεύεσθαι. πάντα μὲν δεῖ, φησί, ποιεῖσθαι, καὶ ἀγοράζειν τὸ μὴ πορεύεσθαι τὴν πίστιν ναυαγῆσαι. Η οὕτως. ὁ καιρὸς γάρ ἐστιν ἡμῖν βέβαιος. πάροικοι γάρ ἐσμεν. ἀγόραζον οὖν αὐτὸν καὶ πρίασον ἴδιον. πῶς δὲ τοῦτο ἔσται; δεῖ τὸ μὴ αὐτῷ ἐναρεσῆσαι τῷ θεῷ. Τότε γὰρ οὗτος ἴδιος γίνεται, ὅτε αἱ ἐν αὐτῷ καλαὶ πράξεις ἐπακολουθοῦσιν, ἐκεῖ δοξάζουσαι, ὥσπερ αἱ κακαὶ κατακρίνουσαι. ὅπου αἱ ἡμέραι πονηραί εἰσιν. ἀλλ' ἐκ τῶν μὴ αὐτοῦ παρ' ἡμῶν γινομένων κακῶν, ἃς ἡμέρας πονηρὰς ἐκάλεσεν, ὡς ἡμεῖς λέγομεν, καλὴν ἢ κακὴν ἡμέραν ἐτέθησε, οὐ τότε λέγοντες, ὅτι αὐτὴ ἡ φύσις τῆς ἡμέρας καλὴ ἢ κακή, ἀλλ' ἐκ τῶν ἡμῖν συμβαινόντων, οὕτως αὐτὴν ὀνομάζοντες. διὰ τοῦτο καὶ ὁ Χριστός φησιν, ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, τουτέστι τὰ μὴ αὐτῇ κακὰ παρ' ἡμῶν γινόμενα. διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες. ἐπειδὴ ἡ πονηρία, φησίν, αὐξεῖ καὶ ἐπικρατεῖ τοῦ παρόντος βίου καὶ τῶν ἡμερῶν, μὴ γίνεσθε ἄφρονες ὥστε ἁλίσκεσθαι αὐτῇ. ἀγοράζοντες. Σωιζόντες πορεύεσθε, (ἀπὸ κοινοῦ γάρ,) ὥσπερ καὶ τὸ, πολιτεύεσθε, πάλιν ἐστὶν ἀπὸ κοινοῦ. πρὸς τὸ, λαλοῦντες μὲν καὶ ᾄδοντες καὶ ψάλλοντες καὶ εὐχαριστοῦντες, ἀπροσίδοται, καὶ πρὸς τὸ, ὑποτασσόμενοι. Τί τὸ θέλημα τοῦ κυρίου. Θέλημα τοῦ κυρίου, τὸ τὸν παρόντα καιρὸν ἐξαγοράζεσθαι. καὶ μὴ μεθύσκεσθε οἴνῳ. ὁ μὲν οἶνος, πρὸς εὐφροζύνην, ἡ πρὸς μέθην δίδοται. ἐν ᾧ ἐστὶν ἀσωτία. θυμώδης πρίει καὶ θρασεῖς καὶ ἀκροσφαλεῖς καὶ πρὸς ἀσέλγειαν ἐπιρρεπεῖς. ἀλλὰ πληροῦσθε. θέλεις πληροῦσθαι, φησί, καὶ, ὡς ἐπεῖπε, μεθύσκεσθαι; τότε πρίει ἐν τῷ ἁγίῳ πνεύματι, πληρούμενος αὐτοῦ. ἔσται δὲ τότε, διὰ ψαλμῶν καὶ ᾠδῶν, φησι. καὶ ᾠδαῖς πνευματικαῖς. ἤσι μὲν καὶ διαβολικαί. ἐν τῇ καρδίᾳ ὑμῶν. μὴ τοῖς χείλεσι μόνον, ἀλλὰ καὶ καρδίαν. ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν. διὰ μὲν τὸ ὄνομα τοῦ Χριστοῦ, πάντα ἡμῖν ὑπάρχει. ὑποτασσόμενοι ἀλλήλοις. ὅταν μὲν ἕκαστος ἑκάστῳ εἶη ὑποτεταγμένος, καὶ μὴ διάταγμα κοσμικὸν ἢ ἄτοπον, ἀλλὰ διὰ φόβον Χριστοῦ, τί ἔσται λοιπὸν ἐν μέσῳ κακόν;

Οἰκουμ.

Φωτ.

Κεφ. ϛ'. » Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε ὡς τῷ κυρίῳ. ὅτι ἀνήρ ἐστι
» κεφαλὴ τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι
» σωτὴρ τοῦ σώματος. ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω
» καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.

Ἐὰν γὰρ ὦσιν οὗτοι ἐν εἰρήνῃ, πᾶσα ἡ οἰκία εἰρηνεύσει, καὶ πάντες ἀπολαύσουσι τῆς ὄντως ὠφελείας. ὡς τῷ κυρίῳ. βαβαί, ὑπεραγὴς ἐπίτασις.

ὥσπερ οὖν

ὥσπερ οὖν φησιν ὁ Χριστὸς, ἐὰν μήτις ἀπορράπτηται καὶ γυναικὶ καὶ ἀνδρὶ, ἢ δύναται ἀκολουθῆσαί μοι; καὶ φαμὲν, ὅτι τὸ, ὥς, ἢ πάντως ἰσότητα σημαινέ. ἢ πάντως φησίν. ὡς εἰδῆναι ὅτι τῷ χριστῷ ἐστὶν ὑποτασσόμενοι ἐκ πόθου. Καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. καὶ αὐτὸς ὁ ἀνήρ. καὶ μὲν κεφαλὴ σωτηρία ἐστὶ τοῦ λοιποῦ σώματος, μικροῦ δεῖς πᾶσαν αἰσθήσεις ἔχουσα ἐν ἑαυτῇ. ἢ οὖν καὶ ὁ ἀνὴρ τῆς γυναικός. ὅρα δὲ πῶς τὸ ἀρχικὸν καὶ προνοητικὸν ἀπένειμε τῷ ἀνδρὶ, τὸ δὲ ἡκτικὸν τῇ γυναικί. ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ χριστῷ. τὸ ἅπαν πολίθος. ἐν μὲν γὰρ τοῖς καθ' ἕκασον ἔνι καὶ ἀνυπόταικτος.

» Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ χριστὸς ἠγάπησε τὴν
» ἐκκλησίαν. καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας
» τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκ-
» κλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἢ τι τῶν τοιούτων, ἀλλ' ἵνα ἦ ἁγία καὶ ἄμωμος.

Θέλεις αὐτὴν ὑποτεταχθαι ὡς τῷ κυρίῳ; ἀγάπα αὐτὴν ὡς ὁ κύριος τὴν ἐκκλησίαν. κἂν δέῃτι παθεῖν ὑπὲρ αὐτῆς, κἂν ἀπρεπὲς ᾖ, μὴ παραιτήσῃ. σὺ μὲν γὰρ ἴσως, ἃς ὑποτεταγμένην καὶ ἀγαπῶσαν ταῦτα ἐπιδείξῃ, ὁ δὲ χριστὸς, ἃς ἐχθρὰν καὶ ἀπροσφορομένην, καὶ φεύγουσαν. ἵνα αὐτὴν ἁγιάσῃ. ἆρα οὖν, ἀναγνοὺς καὶ ἀκαθάρτος. οἱανοῦν ἢ λάβοις γυναῖκα, ἐκ ἂν οὕτως ἀκάθαρτον λίψῃ. ἀλλ' ἐκ ἀνείδισεν ὁ χριστὸς τὴν ἐκκλησίαν, ὅταν αὐτὴν οὖσαν. ἐκοῦν μὴ δὲ σὺ τὴν σαυτοῦ γυναῖκα. καὶ καθαρίσας τῷ λουτρῷ. ῥυτίδι τῷ βαπτίσματι. ἀπόλουσε γὰρ αὐτῆς τὴν ἀκαθαρσίαν. ᾧ ῥήματι. ποίῳ ῥήματι; ὃ αὐτὸς εἶπε τοῖς ἀποστόλοις, βαπτίζοντες αὐτοὺς φησιν, εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ἔνδοξον τὴν ἐκκλησίαν. ἐχ ἁπλῶς καθαράν, ἀλλ' ἔνδοξον. ὥσπερ γὰρ ὁ χριστὸς πάντων αἴτιος ὢν ἀγαθῶν τῇ ἐκκλησίᾳ, καὶ σὺ κατὰ δύναμιν ἓν τῇ σῇ γυναικί. καὶ ὥσπερ αὐτὸς σώματος ἐκ ἐπιζητεῖ κάλλος, ἀλλὰ ψυχῆς, οὕτω καὶ σύ. οὐ γὰρ ψυχῆς κάλλος ἐπιζητεῖς, καὶ εἰς τοῦτο αὐτὴν ἁρμόσεις καὶ τῷ θεῷ καὶ σαυτῷ καλὴν ἐργάσῃ. σπίλον ἢ ῥυτίδα. διὰ τούτων δὲ τὰ ψυχικὰ λέγει πάθη, τὰ δυσειδῆ τὸν ἐντὸς τριῶν τὰ ἀνθρωπον.

» Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα.
» ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ. ἐδείς γάρποτε τὴν ἑαυτοῦ σάρκα
» ἐμίσησεν, ἀλλὰ ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ κὺς τὴν ἐκκλησίαν, ὅτι
» μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. ἀντὶ τού-
» του καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται
» πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο ἃς σάρκα μίαν.

Οὐχ ὡς ἃς μεῖζον ἐρχόμενος ὑπόδειγμα, τὸ τοῦ οἰκείου σώματος εἴρηκεν; (ὑπερβάλλει γὰρ τὸ κατὰ χριστὸν πρὸς τὴν ἐκκλησίαν, ἀλλ' ὡς ἃς οἰκειότερον καὶ ἐγγύτερον. ἐκ τούτου γὰρ καὶ ὀφελεῖ τὸ πρᾶγμα δεικνυσιν. ἢ γὰρ σῶμα ἐστὶ σὸν ἡ γυνή, (ἔσονται γὰρ φησιν οἱ δύο ἃς σάρκα μίαν,) κατὰ ὀφελεῖ προνοήσεις αὐτῆς ὡς σαρκός σου. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ.

θθ 5 ὅτι γὰρ

ὅτι μάρ ἐστι σάρξ τοῦ ἀνδρὸς ἡ γυνή, ἄκουε τοῦ Ἀδὰμ λέγοντος. τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σάρξ ἐκ τῆς σαρκός μου. καθὼς καὶ ὁ κύριος τὴν ἐκκλησίαν. σωτεχῶς τῷ τοῦ Χριστοῦ χρῆται παραδείγματι, πρὸς ἀγάπην τοὺς ἄνδρας ἐκτρύπων παρακαλῶν. ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. ὡστεί εἶτα, γνησίως ἐσμὲν ἐξ αὐτοῦ. ἐπειδὴ γὰρ τὸ ὀστᾶ καὶ τὸ σῶμα χαρακτηρίζει τὸν ἄνθρωπον, διὰ τὴν γνησιότητα, φησὶν ἐξ αὐτῶν ἡμᾶς εἶναι.

Οἰκουμ. Ἐξ αὐτοῦ δέ, καθὸ ἀπαρχὴ ἡμῶν ἐστὶ τῆς δευτέρας πλάσεως, ὥσπερ ἐκ τοῦ Ἀδὰμ διὰ τὴν πρώτην. ἐκ τῆς σαρκὸς αὐτοῦ. τὴν ὑπερβολικὴν ἕνωσιν καὶ ἀγάπην δηλοῖ. καὶ προσκολληθήσεται. ἰδοὺ καὶ ἕτερον δικαίωμα ἀγάπης, ὅτι σῶμα ἀλλήλων ἐσμέν.

» Τὸ μυστήριον τοῦτο, μέγα ἐστίν. ἐγὼ δὲ λέγω, εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλη-
» σίαν. πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπά-
» τω, ὡς ἑαυτὸν, ἡ δὲ γυνὴ, ἵνα φοβῆται τὸν ἄνδρα.

Πῶς μέγα; ὅτι τῷ Χριστῷ ἔξον πλύνειν ἐπὶ τῇ ἰδίᾳ δόξῃ, ἐταπείνωσεν ἑαυτὸν ἀναθρωπήσας ἵνα προσκολληθῇ τῇ ἐκκλησίᾳ, καὶ ἐλθόντα οἱ δύο εἰς πνεῦμα ἕν. ὁ γὰρ κολλώμενος, φησὶ, τῷ κυρίῳ, ἓν πνεῦμά ἐστί. πλὴν καὶ ὑμεῖς. ὡστεί ἔλεγλν, χὴ ἀναγωγὴ τὸ ὀνόματος καὶ ἡ πνευματικὴ ἕνωσις, ἀνατρέπει τὸ ἰδικόν. δύναται γὰρ καὶ πνευματικῶς καὶ ἰδικῶς ἑρμηνεύεσθαι. οἱ καθ' ἕνα. οἷον οἱ ἄνθρωποι. τὸ γὰρ τὸ κατὰ ἀναγωγὴν νοήματος, εἰς κοινότητα ὁρᾷ, τρύτεσι τὴν ἐκκλησίαν. ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. οἵδε γὰρ ἡ ἰσοτιμία γίνεσθαι ἀκαταστασίας ὑπόθεσις, διὰ τοῦτο μίαν ἀρχὴν εἶναι κελεύει, τὴν τοῦ ἀνδρός. Τί δήποτε δὲ περὶ τῆς ἀγάπης πολλὰ διαλεχθείς, περὶ τοῦ φόβου χὲ οὕτως ἐποίησεν; ὅτι πεπηγυμένως τὴν ἀγάπην εἶναι δεῖ. οὕτω γὰρ καὶ ὁ φόβος ἕψεται. τὸ δὲ φοβεῖσθαι νόει, ὡς πρέπει γυναῖκα φο-
» βεῖσθαι, μὴ δουλοπρεπῶς. Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν
6 » ἐν κυρίῳ. τοῦτο γάρ ἐστι δίκαιον. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἥτις
» ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος
» ἐπὶ τῆς γῆς. καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφε-
» τε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου.

Εἶπε περὶ τῆς πρώτης ἀρχῆς τῆς κατὰ τὸν ἄνδρα, νῦν περὶ τῆς δευτέρας λέγει τῆς κατὰ τοὺς γονεῖς. ἡ μὲν γὰρ γυνὴ, τῷ ἀνδρὶ, τὰ δὲ τέκνα, καὶ τῇ γυναικὶ ὑπόκειται. ἐν κυρίῳ. τρυτέσι κατὰ κύριον, ἐν οἷς μὴ βλάπτεται ἡ εὐσέβεια. Τί γάρ ὅτι πρεσβῦσαι βούλεται ὁ πατὴρ τὴν θυγατέρα; ἢ αἰσχρὰν διδάξαι τέχνην τὸν υἱόν; ἢ πρὸς ἑλληνισμὸν ἀγαγεῖν; τὰ γὰρ τοιαῦτα, χὴ ἐν κυρίῳ ἐστίν. ἥτις ἐστὶν ἐντολὴ πρώτη. καίτοι χὲ ἔστιν αὕτη πρώτη. ἔστι γὰρ πρώτη ὑ φονέυσεις, ὑ μοιχεύσεις. ἀλλ' ὅρα τί προστέθεικεν, ἐν ἐπαγγελίᾳ. ἐκεῖναι γὰρ αἱ πρῶται, χὲ ἔχουσιν ἐπαγγελίας. ἀναχωρήσας γάρ ἐστι πάντων, οὐκ ἀγαθοῦ ἐργασία. αὕτη τοιγαροῦν, καθὸ τὴν τῆς ἐπαγγελίας λόγον ἔχει πρώτη.

ἀγαθοῦ

ἀγαθοῦ γάρ ἐστιν ἐργασία. καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. ὅρα σοφίαν. ἐπειδὴ πρὸς νηπίους ὁ λόγος αὐτῷ, (πρὸς γὰρ τὰ τέκνα λαλεῖ,) αὐτίκα τὰ κειμήλια ἀμοιβὴν εἴρηκε, καὶ χάριν ὑψηλόν, ἃ περὶ βασιλείας χαρακῶν, οὐ περὶ μιμήσεως Χριστοῦ, ὅπερ ἐπὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς εἴρηκεν. Τί γὰρ ἀδύνατον ἦσαν τῆς μακροχρονίας; καὶ γὰρ καὶ τοῖς Ἰουδαίοις, ὡς νηπίοις τὰς φρένας ταῦτα νομοθετήθη. ἃ γὰρ ἰσχυνον τελείων ἀκούειν. οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν. χὲ ἔστιν, ἀγαπᾶτε. τοῦτο γὰρ αὐτοῖς φύσει καὶ ἄκοντας ἀναπείθει. ὁπὰ μὴ παροργίζετε. τρυτέσι μὴ ἀπροκληρονόμους, μὴ ἀπροκρύκτους ποιεῖτε, μὴ φορτικὰ καὶ δούλοις πρέποντα αὐτοῖς ἐπιτάττετε, ἐπὶ πᾶσιν αὐτοῖς ἀεὶ δυσχεραίνετε. ἐν παιδείᾳ ἐ νουθεσίᾳ κυρίου. τοῦτο τῆς παραινέσεως τὸ κεφάλαιον. ὧν πνευματικῶν γὰρ ὄντων, καὶ τὰ σαρκικὰ ἀκολουθήσει. τοῦτο γὰρ αὐτοῖς μάλιστα πειθηνίους ποιεῖ.

» Οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις καθὰ σάρκα, μετὰ φόβου καὶ τρόμου ἐν
» ἁπλότητι τῆς καρδίας ὑμῶν ὡς τῷ Χριστῷ, μὴ κατ' ὀφθαλμοδουλίαν ὡς ἀν-
» θρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ, ἐκ ψυχῆς
» μετ' εὐνοίας δουλεύοντες τῷ κυρίῳ καὶ ἐκ ἀνθρώποις, εἰδότες ὅτι ὃ ἐάντις ἕκα-
» στος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερος.

Τοὺς δούλους ἐσχάτης τέθεικεν, ἐπειδὴ καὶ ἧσσι τῷ ἀξιώματι. χὲ ἔτι δὲ τρύτοις ὡς παιδίοις διαλέγεται, ἀλλὰ τελείως, καθὰ σάρκα δέ, τρυτέσι τοῖς πρόσκαιροις. ἐκ τρύτου δὲ καὶ παραμυθεῖται αὐτούς. μετὰ φόβου καὶ τρόμου. ἦ γὰρ τις ἐλευθέρους ἀνθρώπους ὑποτάσσει, πόσῳ μᾶλλον τρύτοις; τὴν δὲ τοιαύτην χὲ ἀπαιτεῖ παρὰ γυναικῶν φόβον, ἐπειδὴ μήτε ἧσσι δοῦλοι, ἀλλ' οἰκέται. καλῶς δὲ τὸ ἐν ἁπλότητι καρδίας. ζῆλος γὰρ καὶ μετὰ φόβου καὶ τρόμου δουλεύειν, ἀλλὰ χὲ ἐξ εὐνοίας, ἀλλὰ κακούργως. μὴ κατ' ὀφθαλμοδουλείαν μὴ ὅταν πάρεισιν οἱ δεσπόται καὶ ὁρῶσιν, ἀλλὰ καὶ ἀπόντων αὐτῶν, ἵνα τὰ δέοντα ποιῶσιν. ἀλλὰ ὡς δοῦλοι τοῦ Χριστοῦ. ἆρα οὖν ὁ ἀνθρωπάρεσκος χὲ ἔστι δοῦλος Χριστοῦ. ἐκ ψυχῆς μετ' εὐνοίας. ζῆλος γὰρ καὶ τὸ ἀπολέσθαι τι κακούργως ἐργάζεσθαι, μὰ μὴν ὅσα δύναμις πάρεστιν, ἀλλὰ τὸ ὡρισμένον μόνον. τῷ κυρίῳ, καὶ χὲ ἀνθρώποις. μὴ καθ' ἡδονὴν, ἀλλ' ἐκ προαιρέσεως. τοῦτο κομιεῖται παρὰ τοῦ κυρίου. ἐπειδὴ ἦκός ἐστι πολλοὺς ὧν δεσποτῶν, μὴ ἀμείβεσθαι τῆς εὐνοίας τοὺς δούλους,
» ἐκεῖ αὐτοῖς ὑπισχνεῖται τὴν ἀμοιβήν. Καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖ-
» τε πρὸς αὐτοὺς, ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν
» ἐν οὐρανοῖς. καὶ προσωπολημψία χὲ ἔστι παρ' αὐτῷ.

Τὰ αὐτὰ. ποία; μετ' εὐνοίας δουλεύετε, μὴ ὡς ἀνθρωπάρεσκοι. ἀλλὰ ταῦτα χὲ λέγει φανερῶς, καίτοι τὰ αὐτὰ διανοηθείς. καὶ γὰρ καὶ οἱ κύριοι δουλεύουσι τοῖς δούλοις. ὅταν γὰρ ἐκείνου κοιμωμένου καὶ ῥέγχοντος, ὁ δεσπότης περὶ τροφῶν, περὶ ῥυπαρμάτων μιμνῶν χὲ καθεύδει ἆρα χὲ δουλεύει; ἔστι δὲ καὶ ἐπὶ τῶν κυρίων, τὸ, μετὰ φόβου καὶ τρόμου ἁρμόσαι, τῷ πρὸς θεὸν δηλονότι.

ἀνιέντες

ἀνιέντες τὴν ἀπειλήν. μὴ φορτικοί, φησι, μὴ ἐπαχθεῖς. ἴδετε ὅτι καὶ ὑμῶν ὁ κύριος. ᾧ γὰρ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν, φησι. μὴ ἀκούσῃς καὶ σὺ, δοῦλε πονηρέ, πᾶσαν ἐκείνην τὴν ὀφειλὴν ἀφῆκα σοι, καὶ τὸ τρύτων ἐξῆς. καὶ προσωπολημψία οὐκ ἔστι παρ' αὐτῷ. μὴ νομίσῃς ὅτι τῶν Εἰς τὸν δοῦλον γνωμῶν κακῶν καταφρονεῖ διὰ τὸ τοῦ προσώπου εὐτελές. οὐκ ἔνι παρὰ Θεῷ
» δοῦλος καὶ ἐλεύθερος. Τὸ λοιπὸν ἀδελφοί μου, τῷ δυναμοῦσθε ἐν
» κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. τῷ δύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ,
» πρὸς τὸ δύνασθαι ὑμᾶς σῆναι πρὸς τὰς μεθοδείας τοῦ Διαβόλου. ὅτι οὐκ ἔστι
» ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας,
» πρὸς τὴν κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας
» ἐν τοῖς ἐπουρανίοις. διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε,
» ἀντισῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι σῆναι.

Μετὰ τὸ διατάξαι, φησὶ, τὰ ἡκότα, τοῦτο ἀκόλουθον καὶ ὑπόλοιπον, τὸ τῷ δυναμοῦσθαι ὑμᾶς ἐν κυρίῳ, τουτέστι τῇ εἰς αὐτὸν ἐλπίδι, καὶ τῷ τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. διὰ γὰρ τῆς αὐτοῦ βοηθείας ἐστὶν ἡμῖν τὸ ἐλπίζειν εἰς αὐτόν. ἰσχυρὸς γάρ ἐστι, φησὶ, καὶ ἱκανὸς πάντα κατορθῶσαι. ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ. μετὰ τὸ διοικῆσαι πάντας κατὰ τάξιν, λοιπὸν καὶ ὁπλίζει αὐτοὺς ὡς πρὸς πόλεμον. πρὸς τὰς μεθοδείας τοῦ Διαβόλου. οὐκ εἶπε μάχας, ἀλλὰ μεθοδείας, ὅπερ ἐστὶ χαλεπώτερον, οἷον πρὸς τὰς ἐπιβουλὰς, πρὸς τὰς ὑπάδρας, πρὸς τοὺς δόλους. οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. τοῦτό φησι δηλονότι ὅτι νήψεως χρεία καὶ ἐγρηγόρσεως πρὸς τὸν πόλεμον, ὃ βοῦλονται βουλόμενος. ὁ γὰρ Διάβολος τὸ ἐχθρὸν τῶν δυνάμεων, ἀσφαλεστέρους τοὺς τοὺς οἰκείους. πρὸς τὰς ἀρχάς. περὶ Δαιμόνων λέγει, οὓς ἡμεῖς ἑαυτῶν πεπιπλάμεθα ἄρχοντας, ἐκόντες αὐτοῖς ὑποκλινόμενοι. οὐ γὰρ ἔλαχον τὴν ἀρχὴν ἡμῶν, ἀλλὰ πατεῖται ὑφ' ἡμῶν. ἰδοὺ γὰρ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας. ἐξουσίαι λέγονται, ὡς δηλονότι μόνων τῶν παθῶν κατεξουσιάζοντες ἡμῶν. κοσμοκράτορες δὲ, ὡς κατακρατοῦντες τῶν τὰ κοσμικὰ φρονούντων. οὐ γὰρ ἔξει περαιτέρω τοῦ κόσμου χώραν. κόσμον οἶδεν ἡ γραφὴ, τὰς πονηρὰς πράξεις καλοῦσα. οὕτω καὶ ὁ Χριστὸς πρὸς τοὺς μαθητάς. ὑμεῖς οὐκ ἐστέ, φησι, τοῦ κόσμου τούτου, καίτοι ὄντες. ἀλλὰ τὰς πονηρὰς πράξεις λέγων, οὕτως εἶπε. κοσμοκράτορας οὖν φησι τοὺς Δαίμονας, ὡς τῶν πονηρῶν πράξεων καθηγεμόνας. Τοῦ σκότους τοῦ αἰῶνος τούτου. ἵνα μὴ φοβηθῇς ἀκούων κοσμοκράτορας, ἐπήγαγε τίνος ἄρχουσι. τῆς πονηρίας, φησί. σκότος γὰρ τὰ αἰῶνος τούτου, τὰς πονηρὰς λέγει πράξεις. πρὸς τὰ πνευματικά. τουτέστι τὰ Δαιμόνια τὰ ὄντα ἢ τῆς πονηρίας, οἷον τοῦ Διαβόλου, (ταὐτὸν γὰρ τελοῦσιν.) ἢ τῶν πονηρῶν πράξεων καθηγηταί. ἐν τοῖς ἐπουρανίοις. ὡσεὶ ἔλεγε. ἔστι δὲ καὶ ἡμῖν ἡ πρὸς τοὺς τοῦτο πάλιν.

τοῦτο πάλιν, ὑπὲρ μικρῶν πινῶν, ἀλλ' ὑπὲρ ὧν οἱ τοῖς ἐπουρανίοις πραγμάτων, οἷον βασιλείας χρεῶν, καὶ ὑποστάσεως. διὸ νήφειν χρή. ἡ δὲ ἀγωνίλεξις, ἰδικῶς. διὰ τὰ ἐπουράνια φησί. τὸ γὰρ ἐν, διὰ, ἐστιν. διὰ τοῦτο ἀναλάβετε. ἐπειδή, φησι, χαλεποὶ οἱ ἐχθροί. ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ. ἡμέραν πονηρὰν τὸν παρόντα καλεῖ βίον, διὰ τὸ ἐν αὐτῷ πονηρὰ πράγματα, δεικνὺς βραχὺν τὸν τοῦ πολέμου καιρόν, καὶ ταύτῃ προθυμίαν αὐτοῖς διδούς. καὶ ἅπαντα κατεργασάμενοι σῆναι. ἅπαντα, οἷον τὰ πάθη, τὰς ἐπιθυμίας. κατεργασάμενοι, οἷον καταπολεμήσαντες σῶσαι, νικηφόροι τινὲς καὶ λαμπροὶ τῷ προσώπῳ. πολλοὶ γὰρ μετὰ τὸ νικῆσαι, πάλιν ἔπεσον. ἀλλ' ἵνα
» ἐν σῆτε τῇ νίκῃ. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς Δικαιοσύνης, καὶ ὑποδυσάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης. ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ, διὰ πάσης προσευχῆς καὶ δεήσεως.

Ἐπὶ πόλεμον παρατέτακται τὸ πρᾶγμα, ἐν οἷς τακτικοῖς παραινεῖ τὸ σῆναι εὐτάκτως. εἶτα λοιπὸν καθοπλίζει, καὶ πρῶτον ζώννυσι τὸν διαῤῥέοντα, καὶ διακεχυμένον τὰς ἐπιθυμίας καὶ χαμαὶ ῥιπτοῦντας λογισμοὺς συρομένους ἔχοντα πρατιώτην, καὶ ἀνατέλλει τῇ νοητῇ ταύτῃ ζώσει. τὴν ὀσφῦν ὑμῶν. ὥσπερ ἐπὶ τῶν νοητῶν ἡ τροπὴ τὸ πᾶν σωέχει, θεμέλιός τις οὖσα, οὕτως ἐφ' ὑμῶν ἡ ὀσφῦς. οἱ γοῦν ἀπολαμβάνοντες πολλάκις ὥσπερ εἴς τινα θεμέλιον, ἐκεῖ τὰς χεῖρας ἐπιτιθέντες, ἐπαναπαύονται. τὴν τοίνυν ἀρχὴν ἡμῶν, πρῶτον συσφίγγει, οἷον τὸν τοῦ ἡμῖν τόνον τῆς ψυχῆς, ὃν τροπικῶς, ὀσφῦν ἐκάλεσε. τοῦτον τὴν ἀληθείᾳ πορίζωννυσιν. ἡ δὲ ἀλήθεια ἡ πολλὰ νοεῖται. ἀλήθεια δογμάτων. ἀλήθεια βίου χρηστοῦ, ὑποκρίσεως κεχωρισμένου. ἀλήθεια λόγων, τὸ δολεροὺ ἀρνουμένων. ἀλήθεια ἐνθυμήσεως, χρῆν ἐχούσης τὸ νόητον καὶ κιβδήλου ὧν Δαιμόνων ἄπορον. δυνὴ δὲ ὡς πρὸς τὸν Χριστὸν νοῆσαι, τὸν ὄντως ἀλήθειαν. ἐγὼ γάρ ἡμι, φησὶν, ἡ ἀλήθεια. ὃν καὶ τοῦ δεδύσθαι, χρὴ μόνον περιεζῶσθαι τοῖς ἀνθρώποις δεδώρηται. ὅσοι γάρ, φησιν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. τὸν θώρακα τῆς δικαιοσύνης. τὸν καθόλου φησὶν ἐνάρετον βίον. θώραξ δέ ἐστιν, ὁ σιδηροῦς χιτών. καὶ ὑποδυσάμενοι τοὺς πόδας. ἢ τὸν φησὶν, ὅτι χρὴ τοὺς πόδας ἡμῶν ἑτοίμους εἶναι πρὸς τὸ εὐαγγελίζεσθαι. ὡς ὡραῖοι γάρ, φησιν, οἱ πόδες ὧν εὐαγγελιζομένων ἀκούω. ἢ ὅτι εὐέτοιμα ὀφείλομεν εἶναι καὶ βίον ἔχειν, ὡς τὸ εὐαγγέλιον ὑφυγεῖται. τὴν γὰρ ἑτοιμασίαν τῆς καρδίας αὐτῶν, φησὶν ὁ προφήτης, πεσόσχε τὸ οἷς ὄν. τῷ εὐαγγελίου τῆς εἰρήνης. τὸ γὰρ εὐαγγέλιον, εἰρήνην μὲν πρὸς τὸν θεὸν ποιεῖ, πόλεμον δὲ πρὸς τοὺς Δαίμονας. ἐπὶ πᾶσιν ἀναλαβόντες. δεῖ γὰρ ἐκεῖνα προηγεῖσθαι.

πίστιν

πίστιν δέφισι, τὴν ἀλικρινῆ καὶ διάπυρον, περὶ ἧς ὁ κύριος φησὶν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι, καὶ μεταβήσεται. τὰ βέλη τὰ πονηρά. βέλη φησὶ, τὰς ἐπιθυμίας, τοὺς λογισμοὺς, τοὺς πειρασμούς. καλῶς δὲ τὸ, πεπυρωμένα. φλογοῦται γὰρ αἱ ἄτοπαι ἐπιθυμίαι. καὶ τὴν περικεφαλαίαν τὸ σωτήριον. τῆς σωτηρίας ὑμῶν, φησὶ τῆς ἐλπίδος. τὸ δὲ, δέξασθαι, οἷον φορέσαι καὶ δέξασθαι τὴν κεφαλήν. καὶ τὴν μάχαιραν τὸ πνεύματος. εἶπε τὸ πνεῦμα περιφρασικῶς εἰπὼν, δηλονότι τὸ ῥημα καὶ μαρτυρικὴν ζωὴν φανερὰν ἔχειν, εἴτε τὴν πνευματικὴν ζωὴν καὶ πολιτείαν, ἥτις ὡς μάχαιρα φοβερὰ γίνεται, φησὶ, καθ' ὧν νοημάτων ἐχθρῶν. εἴτε ὅτι τὰ πνευματικὰ φησι χαρίσματα, ἅπερ ἐστὶ διὰ ῥήματος καὶ προστάγματος θεοῦ. εἴτε, ὅπερ ἐστὶ ῥῆμα θεοῦ, τοῦτο κατὰ συζευκτέον, ἵνα ᾖ οὕτως, ὅπερ ἐστὶ ῥῆμα θεοῦ καὶ πρόσταγμα, τοῦτο, φησὶ, ποιεῖτε. ποῖον; διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἵνα εἴπητε, φησὶν. εἴτε καθ' ὃ τὸ φοβερὸν καὶ τέμνειν τὰ πνευματικὰ χαρίσματα, ῥῆμά ἐστι θεοῦ. τομικὸν γὰρ τὸ ῥῆμα τοῦ θεοῦ. οὕτως μᾶλλον καὶ ὁ μακάριος Ἰωάννης. διὰ γὰρ ῥήματος θεοῦ ἐπιτελεῖτο τὰ χαρίσματα. πᾶν γὰρ ὃ ἐὰν αἰτήσητε, φησὶν, ὡς τῷ ὀνόματί μου, δώσει ὑμῖν, φησὶν, ὁ Χριστός.

Οἰκουμ.

» Προσευχόμενοι ὡς παντὶ καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦν-
» τες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων καὶ ὑπὲρ ἐμοῦ,
» ἵνα μοι δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ὡς παῤῥησίας γνωρίσαι τὸ μυστή-
» ριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ὡς αὐτῷ παῤῥησιά-
» σωμαι ὡς δεῖ με λαλῆσαι. Μετὰ τὸ καθοπλίσαι, τὸν βασιλέα λοι-
πὸν καλεῖ ἵνα δῶ χεῖρα. ἐν πνεύματι. μὴ ἐν βαττολογίαις. καὶ εἰς αὐτὸ ἀ-
γρυπνοῦντες. μηδὲν, φησὶ, ῥᾳθύμον ἢ ἀμελημόρμ. καὶ ὑπὲρ ἐμοῦ.
καὶ γὰρ καὶ τὸν Πέτρον, φησὶν, ἡ εὐχὴ τῆς ἐκκλησίας ἔλυσε τῶν δεσμῶν. ὡς
ἀνοίξῃ τὸ στόμα τοῦς μου. καλῶς τὸ, ἀνοίξῃ. ᾔδει γὰρ προειμένα τὰ λαλή-
σῃ, Χριστῷ πειθόμενος, ἀλλ' ἐξ ὑπογύου καὶ ἐν αὐτῷ τῷ ἀνοῖξαι τὸ στόμα,
ὁ λόγος πρᾴει. ὡς παῤῥησίας γνωρίσαι. ἢ ἵνα ἐν παῤῥησίᾳ ἀπολογήσωμαι, ἢ
ἵνα εὐαγγελίζωμαι. ὑπὲρ οὗ πρεσβεύω. ὑπὲρ οὗ εὐαγγελίου πρεσβεύω
πρὸς τοὺς ἀνθρώπους, ἵνα, φησὶν, αὐτῷ καὶ οἱ ἐν αὐτῷ καταλλαγῶσιν. ὑπὲρ
Χριστοῦ γάρ, φησὶ, πρεσβεύομεν. ἵνα ὡς αὐτῷ παῤῥησιάσωμαι. ὡς δεσμοῖς
ὢν, καὶ ἀπολογεῖσθαι ἐμελλον. ἵνα οὖν, φησὶ, μετὰ παῤῥησίας, καὶ οὕτως ὡς
χρὴ τὸν ὑπὲρ τηλικούτων ἀπολογούμενον, ἀπολογήσωμαι.

» Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ τί πράττω, πάντα ὑμῖν γνωρίσῃ Τυχικὸς
» ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ
» τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.

Ἅπερ ἐν παραινέσεως καὶ δογμάτων, ἔγραψε, τὰ δὲ κατ' αὐτὸν, τῷ φέροντι τὴν ἐπιστολὴν λαλῆσαι ἐπέτρεψε. καὶ πιστὸς διάκονος. ἢ πιστὸς, οὐκεῖ καὶ ἀληθεύσῃ.

ἵνα γνῶτε τὰ περὶ ἡμῶν. τοῦτο καὶ τῆς Παύλου ἀγάπης καὶ τῆς ἐκείνων, σκοπεῖον ἴσως, τὸ, ἐθέλειν παντὶ τρόπῳ γνωσθῆναι αὐτοῖς, ὡς οἷς ἴσω. καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. ἐπειδὴ γὰρ ἐν ἁλύσεσιν ἦν ὁ διδάσκαλος, ἐχρῆζον οἱ μαθηταὶ παρακλήσεως, τοῦ μὴ καταπεσεῖν.

» Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ
» Χριστοῦ. ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χρι-
» στὸν ἐν ἀφθαρσίᾳ, ἀμήν. Εὐχεται αὐτοῖς ἡρῴως, καὶ τὴν μετὰ πί-
στεως ἀγάπην, ἵνα μὴ πρὸς ἑτεροδόξοις ᾖ, ἀλλὰ μόνοις τοῖς πιστοῖς.
ἢ ὅτι ἡδὺ ἐστὶ τῆς ἀγάπης κέρδος, μὴ καὶ μετὰ πίστεως οὔσης.
τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν
ἀφθαρσίᾳ. ἡ γὰρ εἰς τὸν Χριστὸν ἀγάπη,
ἄφθαρτος καὶ ἀμείωτος, μᾶλλον δὲ
καθεκάστην ἐπιδιδοῦσα τὴν
ἡμέραν ὤφειλεν εἶναι.

Τέλος ἐπὶ τῷ, τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Ῥώμης διὰ Τυχικοῦ.

Ὑπόθεσις τῆς πρὸς Φιλιππησίους ἐπιστολῆς.

Αὕτη ἐπιστέλλει ἀπὸ Ρώμης, ἐφ' ἃ κἀκεῖσε αὐτὸν ἅμα καὶ διδάξας. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. πεμψάντων Φιλιππησίων Ἐπαφρόδιτον τῷ Παύλῳ, καὶ τινων πορισμῶν καὶ διαφθειρόντων τὰς ἀκτὰς ὧν ἀκεραίων πρόφασιν τῆς σωτηρίας τοῦ νόμου καὶ τῆς περιτομῆς, καὶ λεγόντων χωρὶς ταύτης μὴ δύνασθαι δικαιωθῆναι, μαθὼν ὁ ἀπόστολος, γράφει Φιλιππησίοις. καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῶν τὴν πίστιν καὶ σημαίνει μνημονεύειν αὐτῶν. ἔπειτα διηγεῖται ὡς ἀπελογήσατο ἐν Ρώμῃ, καὶ ὅτι τινὲς αὐτῷ βαρεῖς γεγόνασιν ἐν τοῖς δεσμοῖς, φθόνον αὐτῷ κινοῦντες. ἔπειτα αὐτοὺς προτρέπεται ἀγγέλοις ἀγαπᾶν, ἡγούμενος τὴν τοῦ Χριστοῦ φιλανθρωπίαν, ὅτι θεὸς ὢν, ἄνθρωπος γέγονε δι' ἡμᾶς. εἶτα περὶ τῆς περιτομῆς καὶ τοῦ παλαιοῦ νόμου διαλαβών, ἀποδείκνυσιν ἀργὸν γεγονέναι λοιπὸν τὴν περιτομήν, λαμβάνων ἀφ' ἑαυτοῦ τὸ παράδειγμα καὶ λέγων, ὅτι ταῦτα πάντα ἤγημαι διὰ τὸν χριστοῦ ζημίαν. διὸ καὶ τοῖς μὲν διδάσκουσί τι περιτομὴν καὶ θέλουσι αὐτοῖς ἁπτῆσαι μεμψάμενος καὶ ψευδῶν ἐλέγχοις αὐτοῖς εἶναι τοῦ χριστοῦ, ἀποδέχεται Φιλιππησίους διὰ τὴν πρὸς αὐτὸν τῆς κοινωνίας δόσιν. καὶ προτρεψάμενος πάλιν ἐφ' οἷς ἔπαθεν αὐτὸς, τελειοῖ τὴν ἐπιστολήν.

Θεοδωρήτου.

Ι Φιλιππήσιοι τῆς Μακεδονίας ἦσαν, ἣν μητρόπολιν Θεσσαλονίκην. πολλαὶ δὲ αὐτῆς ὁ Παῦλος χρηταὶ μαρτυρεῖ. τῷ δεσμοῖς δὲ ὢν ἔγραψε τὴν ἐπιστολήν. μετὰ γὰρ τὴν πρώτην ἀπολογίαν ἧς ἐμνήσθη ἐν τῇ πρὸς Τιμόθεον, αὖθις ἐδέθη. ἦσαν δὲ οἱ Φιλιππήσιοι δι' Ἐπαφροδίτου τοῦ πρὸς τὴν χρείαν πεμψάντες αὐτῷ, ἐν ταυτῷ, καὶ γνωσόμενοι τὰ κατ' αὐτόν. ἐπειδὴ δὲ ἐθορυβοῦντο λέγοντες τῷ δεσμοῖς εἶναι τὸν διδάσκαλον, αὐτὸ τοῦτο γράφει αὐτοῖς, ὡς τὰ δεσμά γε θορύβου πρόξενα, χαρᾶς δὲ μᾶλλον ὠφέλειαν εἶναι, διὰ τὸ ὑπὲρ Χριστοῦ εἶναι. καθάπτεται δὲ καὶ τῶν Ιουδαίων, οἵτινες ἐν σχήματι Χριστιανισμοῦ, διέφθειρον τὸ κήρυγμα. μετὰ τιμῆς δὲ φαίνεται γράφων τοῖς Φιλιππησίοις. ἐναρέτοι γὰρ ἦσαν. ἐνταῦθα ἦν ἡ Πορφυρόπωλις. ἐνταῦθα ὁ Ἀρχισυνάγωγος ἐπίστευσεν. ἐνταῦθα ἐτυπτήθη μετὰ τοῦ Σίλα ὁ Παῦλος ὑπὲρ ὧν φρατηγῶν, οἱ ἐκσωστραπαγῆς αὐτὸν τυπτήσαντες, τέλος ἀπελογήσαντο. ἐνταῦθα ὁ δεσμοφύλαξ πιστεύσας, ζῶν τῷ οἴκῳ αὐτοῦ ἐβαπτίσθη. ταῦτα πάντα αἱ πράξεις φασί. μαρτυρεῖ δὲ αὐτοῖς πίστιν, καὶ κεκλιμένους ὑπὲρ αὐτῆς, καὶ πρὸς εὐσεβείαν ἐπιρρέπως ἔχειν. διὰ πάντα σφόδρα φιλῶν αὐτοὺς φαίνεται.

Κεφάλαια, τῆς πρὸς Φιλιππησίους ἐπιστολῆς.

α΄ Εὐχαριστία ὑπὲρ τῆς Φιλιππησίων ἀρετῆς, καὶ εὐχὴ τελειώσεως.

β΄ Διήγησις τῆς ἑαυτοῦ διαγωγῆς ἀγωνιστικῆς, καὶ τῆς προθυμίας.

γ΄ Παραίνεσις τῆς καθ' θεὸν πολιτείας, καὶ τῆς ἐνθέου ζωῆς.

δ΄ Περὶ Τιμοθέου καὶ Ἐπαφροδίτου οὓς ἀπέστειλε πρὸς αὐτούς.

ε΄ Περὶ πνευματικοῦ βίου τὸ μὴ ὡς ἐν σαρκὶ, ὅ ἐστι μίμησις θανάτου χριστοῦ.

ς΄ Παραινέσεις ἴδιαι τινῶν καὶ κοιναὶ πάντων.

ζ Ἀποδοχὴ τῆς ἀποσταλείσης αὐτῷ διακονίας.

ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ.

ΠΑΥΛΟΣ καὶ Τιμόθεος δοῦλοι Ἰῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χρι- 1
στῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις σὺν ἐπισκόποις καὶ διακόνοις. χάρις ὑμῖν καὶ
εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐνταῦθα ὡς πρὸς ὁμοτίμους ἀπέστειλεν, ἀφ' ὑψηλοτέρου αὐτὸ τὸ ἀξίωμα, οὐ τούτοις τὴν ἀπόστολον, ἀλλὰ τῷ κοινῷ πάντων ὀνόματι κέχρηται. δοῦλος φησὶν, Ἰησοῦ Χριστοῦ. τοῖς ἁγίοις ἐν χριστῷ Ἰησοῦ. ἦσαν γὰρ καὶ Ἰουδαῖοι λέγοντες ἑαυτοὺς ἁγίους, ἀλλὰ τοῖς ἐν χριστῷ Ἰησοῦ, φησί. σὺν ἐπισκόποις καὶ διακόνοις. τί δήποτε ὧδε τῷ κλήρῳ γράφει, καὶ ἔχων ἔθος; ὅτι αὐτοῖ οἱ κληρικοὶ ἦσαν τὸν Ἐπαφρόδιτον πέμψαντες σὺν τοῖς ἀναλώμασι. σὺν ἐπισκόποις. καὶ ἐπειδὴ ἐν μιᾷ πόλει, πολλοὶ ἦσαν ἐπίσκοποι, ἀλλ' ἐπισκόπους τοὺς πρεσβυτέρους καλεῖ. Οὕτε γὰρ ἔτι ἐκοινώνουν τοῖς ὀνόμασι, καὶ οἱ ἐπίσκοποι, διάκονοι, καὶ πρεσβύτεροι ἐκαλοῦντο, καὶ τὸ ἔμπαλιν, οἱ πρεσβύτεροι ἐπίσκοποι.

Εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν πάντοτε ἐν πάσῃ δεήσει μου ὑ- Κεφ. ά.
πὲρ πάντων ὑμῶν, μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς
τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν.

Ἐπειδὴ ἦσαν εἰς ἀρετὴν πεκόψαντες, μετὰ εὐχαριστίας τῆς εἰς θεὸν ἐμέμνητο αὐτῶν. ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν. καθὼς ἀν μνημονῶ, φησιν, εὐχαριστῶ. πάντοτε δὲ μέμνημαι. μετὰ χαρᾶς. θλῖψις γὰρ καὶ μετὰ λύπης μεμνῆσθαι ἐπὶ ὧν μὴ ἐναρέτων. ἐκ γὰρ θλίψεως, φησὶν ἀμαχοῦ, καὶ συνοχῆς καρδίας, ἔγραψα ὑμῖν. τὸ μνήμη μετὰ χαρᾶς μεμνῆσθαι, σημεῖον ἦν τῆς ἐκείνων ἀρετῆς. τὴν δέησιν προσ-
φερόμενος. καὶ τὴν δέησιν προσφερόμενος ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, ἤγουν τῇ ἐλεημοσύνῃ. τί εὐχαριστῶ, φησι, τῷ θεῷ; ἐπὶ τῇ κοινωνείᾳ ὑμῶν. μέγιστα καὶ ἀποστολικὸν αὐτοῖς μαρτυρεῖ. ὅτι, φησὶν, ἐξ οὗ ἐπιστεύσατε μέχρι καὶ νῦν, πάντα πράττετε πρὸς τὸ κοινωνοὶ γενέσθαι τοῦ εὐαγγελίου. συμπαρόντες ἀεὶμοι, φησὶ, τῷ ἀποστέλλειν τὰ πρὸς τὴν χρείαν. κοινωνίαν. ποίαν; τὴν ἀπὸ πρώτης ἡμέρας ἐξ ἧς ἐπιστεύσατε, φησὶν, ἄχρι τοῦ νῦν. Ἐπὶ τῇ ἧς τὸ εὐαγγέλιον κοινωνίᾳ ὑμῶν. τὸ δὲ ἀπὸ πρώτης ἡμέρας, ἢ ὅτι ἀπὸ πρώτης ἡμέρας ἀφ' οὗ ἐπιστεύσατε μέχρι τοῦ νῦν, εὐχαριστῶ τῷ θεῷμου, ὑπὲρ πάντων ὑμῶν, μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος. ἢ ἐπὶ τῇ ἧς τὸ εὐαγγέλιον κοινωνίᾳ ὑμῶν, τῇ ἀπὸ πρώτης ἡμέρας μέχρι τοῦ νῦν διακονου μένῃ. ἔοικε δὲ τὸ ἐφεξῆς μᾶλλον τῇ πρωτέρᾳ ἐκδοχῇ συμφωνεῖν. πῶς γὰρ ἀπ' ἀρχῆς ηὐχαρίστει, μήπω βεβαιωθέντας ἐπὶ τῇ κοινωνίᾳ ἰδών; πεποιθὼς, φησὶν, ὅτι ὁ ποιήσας πρόθυμον καὶ θέρμης γέμουσαν ἀρχὴν ἐνθεὶς, αὐτὸς καὶ εἰς τὸ τέλος τοῦτο τὸ ἔργου παύσῃ προαγάγοι. Πεποιθὼς δὲ αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ, καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ὄντε τοῖς δεσμοῖς Φωτ.

» τῆς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τὸ εὐαγγελίου, συγκοι-
» νωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας.

Εὐχαριστῶ δὲ τῷ θεῷ ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, πεποιθὼς τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ποιεῖν, τοῦτο καὶ ἐπιτελέσει καὶ πληρώσει ἄχρι τῆς σωτελείας. ὅρα δὲ πῶς πάντα ἐπὶ τὸν θεὸν ἀνέθηκεν, ἵνα μὴ φρονῶσι μέγα, ὅμως καὶ οὕτως ἐγκώμιον μέγα τὸ ὅλως ἰσχύσαι ἐπαγάσασθαι τὸν θεὸν εἰς τὸ ὑπὲρ ἡμῶν εἶναι εἰς αὐτούς. τοῦτο γὰρ ἄνευ μεγίστης ἀρετῆς οὐκ ἂν ἐγένετο. ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ. ὑπὲρ ὑμῶν γάρ, φησι, μόνον θαρρῶ, ἀλλὰ καὶ ὑπὲρ ἐμοῦ ἐξ ὑμῶν. καθώς ἐστι δίκαιον. πεποιθὼς αὐτὸ τοῦτο καθώς ἐστι δίκαιον, φυτεύειν ἐπειδὴ δίκαιόν ἐστιν ἐμοὶ τῷ ἀκριβῶς εἰδότι τὰ καθ' ὑμᾶς, τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν. τοῦτο; ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει αὐτὸ ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ. τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν. φρονεῖ γὰρ καὶ λογίζεται ἀγαθὰ καὶ μεγάλα δίκαιον εἶναι τοῖς μαθηταῖς, ὁ μεγάλως σπουδὴν καὶ ἐπιμέλειαν εἰς αὐτοὺς καταβεβλημένος. ἐν δίκαιον ἐμοὶ τοῦτο λογίζεσθαι, τῷ τοιοῦτον ἔχοντι διάθεσιν ὑπὲρ ὑμᾶς, ὥστε μὴ δὲ ἐν τοῖς δεσμοῖς μου ἐπλανᾶσθαι ἡμῶν, ἀλλ' ἐγκαρδίους ἀεὶ περιφέρειν. τί δὲ τὸ αἴτιον τὸ ἐγκαρδίους αὐτοὺς καὶ ἀνεπιλήστους ἔχειν; ὅτι συγκοινωνούς μου, φησὶ, τῆς χάριτός ἐστιν. ἢ τῆς διὰ πίστεως ἐπιχορηγουμένης αὐτοῖς πνευματικῆς δωρεᾶς, πικίλως αὐτοῖς ἐνεργουμένης τότε. ἢ ἁπλῶς χάριτος, τῆς διὰ τὸ βαπτίσματος παλιγγενεσίας καὶ ὑοθεσίας. ἢ ἐν τῇ καρδίᾳ εἶπεν ἔχειν, φησὶ, συγκοινωνούς μου ὄντας ὑμᾶς ὄντε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει. τὸ δὲ τῆς χάριτος, ἀντὶ τοῦ διὰ τῆς χάριτος. ἄνευ γὰρ θείας χάριτος, οὐδεὶς ἀξιοῦται τῆς τοιαύτης κοινωνίας. διὰ τὸ ἔχειν με. εἴτουν τοιαύτην, καθ' ἣν δίκαιον ἐμοὶ αὐτὸ τοῦτο φρονεῖν, ὅτι ὁ ἐναρξάμενος θεὸς καὶ πληρώσει, διὰ τὸ ἔχειν με, φησὶν ἐν τῇ καρδίᾳ ὑμᾶς. ἐν τῇ καρδίᾳ ὑμᾶς. ὡς ἐγκώμιον, τὸ εἶναι ἐν τῇ καρδίᾳ Παύλου. οὐ γὰρ ἁπλῶς τοῦτο ἐμοί. τὸ δὲ καὶ, ἐν τοῖς δεσμοῖς, καὶ τῇ ἀπολογίᾳ, μεῖζον. καὶ βεβαιώσει τὸ εὐαγγελίου. βεβαίωσιν τὸ εὐαγγελίου, τοὺς πειρασμοὺς λέγει, καὶ τοὺς θλίψεις, καὶ τὰ δεσμά. πῶς; ὅτι οὐκ ἐρεῖ τοῦτο. καὶ τοιοῦτον αὐτῷ μὴ ὑπομένειν, ἐβεβαίου τὸν ἀνάστασιν, καὶ τὸν ἀντάρδοσιν. οὐ γὰρ ἂν, φησι, τοῦτο ὑπομένειν ἐνεχόμην, μὴ ὄντων ἀληθῶν ἐμῶν κηρυσσομένων παρ' ἐμοῦ. Οὐ γὰρ μόνον ἀνιστάμενοι νεκροὶ, οὐδὲ λεπροὶ καθαιρόμενοι, ἀλλὰ καὶ ἡμεῖς δεσμούμενοι, βεβαιοῦμεν τὸ εὐαγγέλιον. πῶς καὶ τίνι τρόπῳ; ὅτι μυρία πάσχοντες καὶ μὴ ἐνδιδόντες, ἀλλὰ πρόθυμότεροι γινόμενοι, ἱκανὴν παρέχομεν ἀπόδειξιν, τὸ ἀληθείας εἶναι κήρυκες, καὶ θείαν τινὰ δύναμιν ἐν ἡμῖν εἶναι, καὶ ταῦτα πάντα ὀξυμαρίζουσαν, καὶ οὐκ ἐῶσαν τῶν πρασμῶν τὸ πλῆθος περιλυέσθαι τῶν κηρυττόντων. οὐ γάρ ἐστιν ἀνθρωπίνης δυνάμεως, διαρρύτων κρατῆσαι κωλυμάτων. οὐ τοῖς ἄλλοις δὲ μόνον τοῦτο βεβαίωσις τὸ εὐαγγελίου, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς. δοκιμωτέρους γὰρ ἡμᾶς ἐργάζεται, καὶ ἰσχυροτέρους μᾶλλον καταφρονεῖν ὧν ἐπβουλῶν. συγκοινωνούσμου τῆς χάριτος. διὰ τί δὲ μαρτυρῶ

Χρυσ.

ὑμῖν ταῦτα,

ὑμῖν ταῦτα, καὶ διὰ τί ὑμᾶς ἔχω ἐν τῇ καρδίᾳ μου; ἐπειδὴ, φησὶ, συγκοινωνοί μου τῆς χάριτός ἐστε, ἢ τῆς ἀπολῆς λέγων, ἢ ὧν θλίψεων. ἡ γὰρ δύναμίς μου, φησὶν, ἐν ἀσθενείᾳ τελειοῦται. ζώνεσθλίβουτο γὰρ αὐτῷ ὡς διδασκάλῳ καὶ πατρὶ πνευματικῷ. ὅρα δὲ πῶς ἐκείνους κοινωνούς, ἀλλὰ συγκοινωνούς, δεικνὺς ὅτι καὶ αὐτὸς κοινωνός ἐστιν. ἀναχοῦ γὰρ φησιν αὐτὸς, ἵνα κοινωνὸς γένωμαι τὸ εὐαγγελίου, φυτέυειν ἵνα κοινωνήσω ὧν ἐπαγγελμένων ἀλαθῶν τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν.

» Μάρτυς γὰρ μου ἐστὶν ὁ θεὸς, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ.
» καὶ τοῦτο προσεύχομαι ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν
» ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρι-
» νεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, πεπληρωμένοι καρπὸν δικαιοσύνης τὸν διὰ
» Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον θεοῦ. Μάρτυς γάρ μου ἐστὶν ὁ θεός. ὡς ἀπιστούμενος μάρτυρα τὸν θεὸν καλεῖ, ἀναφόρα τε ἀληθεύων, καὶ σφόδρα ἀγαπῶν πάντας. πάντες γὰρ ἦσαν ἐναρέτοι. ἐν σπλάγχνοις. τὸ ἐπιτατικὸν τῆς ἀγάπης, διὰ τῶν σπλάγχνων ἐσήμανεν. Ἰησοῦ Χριστοῦ. φυτέυειν ἐν ἀγάπῃ τῇ διὰ Χριστόν, ὅτι πιστοί ἐστε. τοῦτο δὲ φησιν, ἵνα μὴ νομίσωσι διὰ τὸ πέμψαι αὐτῷ τὰ πρὸς χρείαν, φιλεῖσθαι παρ' αὐτοῦ. ἢ ὅτι προθύμως, τοῖς ἐκ τοῦ Χριστοῦ δοθεῖσιμοι σπλάγχνοις. ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ. οἷον οὐκ ἀνθρωπίνοις, οὐδέ τι ἀνθρώπινον πάσχουσιν, ἀλλ' ὅλον καὶ τὸ χριστὸν Ἰησοῦ διακειμένοις. μέγα μὲν, τὸ τοῦ Παύλου προτεῖσθαι. τὸ δὲ ἐν σπλάγχνοις, μεῖζον. τὸ δὲ καὶ ἐν σπλάγχνοις Ἰησοῦ Χῦ, οὐδὲ μίαν ὑποβολὴν ἀπολιμπάνει. ἵνα ἡ ἀγάπη ὑμῶν. οὕτως ἀγαπώμενος παρ' αὐτῶν, εὔχεται ἔτι μᾶλλον καὶ μᾶλλον φιλεῖσθαι. ἐκ ὄψει γὰρ τῆς καὶ τὸ Χριστὸν ἀγάπης τοῦτο, ἢ καὶ περὶ ὧν ἄλλων φησὶν, ἵνα κἀκείνοις ἀγαπῶτιν. ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει. τοῦτό ἐστιν ἵνα μὴ ἁπλῶς πάντας ἀγαπᾶτε, ἀλλὰ μετὰ δοκιμασίας καὶ γνώσεως. μήτως, φησὶν, ἐπὶ πρὸς αἱρετικοὺς φιλία βλάψῃ ὑμᾶς. ἐὰν γὰρ, φησιν, οὕτως ἀγαπᾶτε, δείκνυτε τὸ συμφέρον δοκιμάσαι, τίνας χρὴ φιλεῖν, ὅτι τοὺς πιστοὺς, ἐ τίνας μὴ, ὅτι τοὺς ἀπίστους καὶ αἱρετικούς. πῶς οὖν ἀλλαχοῦ φησιν, ἢ δύνασθον τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε; καὶ φαμέν. ὅτι ἕτερόν ἐστιν εἰρηνεύειν, καὶ ἕτερον ἀγαπᾶν. Διαφέροντα δὲ, τὰ συμφέροντα φησίν. ἵνα ἦτε εἰλικρινεῖς. ἵνα μηδὲν, φησι, νόθον δόγμα τῷ τῆς ἀγάπης πρόσχημα πεφυρῇ ἐς ὑμᾶς. εἰλικρινεῖς μὲν, ὡς πρὸς θεὸν, ἀπρόσκοποι δὲ, ὡς πρὸς ἀνθρώπους. πολλοὺς γὰρ σκανδαλίζει τὸ ἰδεῖν πιστὸν μετὰ ἀπίστου ἢ αἱρετικοῦ φιλίαν ἔχοντα. τὸ δὲ σκανδαλίζειν τινὰ, ὑπὸ τιμωρίαν ἐστίν. πεπληρωμένοι καρπὸν Δικαιοσύνης. μετὰ γὰρ τῶν δογμάτων ὀρθότητα, καὶ βίου ἐπιμελητέον. ὑπὲρ ἁπλῶς δὲ εἶπεν, ἵνα ἐσὲ δίκαιοι, ἀλλ' ἵνα πεπληρωμένοι ἐν τούτῳ. καρπὸν δέ φησι, τὸν διὰ Χριστοῦ Ἰησοῦ. ἔστι γὰρ δῆτον Δικαιοσύνη, ἀλλ' οὐ καὶ τὸ χριστὸν, ὅια μὴ ὧν Ἑλλήνων, οἳ διὰ κενοδοξίαν καὶ ἀνθρωπαρεσκίαν, τὸ δικαίου δῆτον ἐπιμελοῦνται. τοιοῦτοι δὲ ἡ ἐστὲ, εἰς δόξαν θεοῦ τὸ πρᾶγμα ἔσαι, ὑκ εἰς δόξαν ἐμήν. οὐ γὰρ διὰ τὸ ἐμὲ δοξασθῆναι τὸν Διδάσκαλον, ταῦτα παραινῶ, φησι, καὶ εὔχομαι. τὸ γὰρ

γνόμενον, φησὶν, εἰς δόξαν θεοῦ ἐ ἔπαινον περιχωρεῖ, τὸ καὶ συνεργοῦντες πρὸς τοῦτο.

Κεφ. ϛ'. » Γινώσκειν δὲ ὑμᾶς βούλομαι ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ, μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ Πραιτωρίῳ καὶ τοῖς λοιποῖς πᾶσι, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. Εἰκὸς ἴσως αὐτοὺς μαθόντας ὅτι δέδεται, θορυβεῖσθαι ὡς τοῦ κηρύγματος διὰ τοῦτο ἐμποδισμένου. τοῦτο οὖν φησὶ, δεικνὺς ὅτι οὐ μόνον οὐκ ἐμποδισμὸς τὰ δεσμὰ γέγονε τοῦ εὐαγγελίου, ἀλλὰ καὶ προκοπή. καὶ λέγει τὸν αἰτίαν. ὅτι τὰ κατ' ἐμέ. φιλοῦντες ἴσως, τὸ διαλοιδοῦν τὰ κατ' αὐτόν. ὥστε τοὺς δεσμούς μου. οὔτε γὰρ οἱ δεσμοί μου, φησὶν, οἱ κατὰ Χριστὸν ἐκρύβησαν, ἀλλὰ δῆλοι γεγόνασιν ὄντες τῷ Πραιτωρίῳ, τουτέστι τῷ Παλατίῳ, καὶ ἐν τοῖς λοιποῖς. καὶ τί πρὸς τοῦτο; ὅτι, φησὶν, ἐκ τούτου θάρσος γέγονε τοῖς πιστοῖς, καὶ ὁδὸς ἐπιφροφῆς πολλοῖς ὧν ἀπίστων. ἐν Χριστῷ δέδεσθαι. ἢ τοὺς ὑπὲρ Χριστοῦ δεσμοὺς, τουτέστι τοὺς διὰ Χριστόν, ἵνα ᾖ καθ' ὑπερβολὴν ἡ ζήτησις. ἢ τοὺς δεσμοὺς φησι, τοὺς ἐν Χριστῷ φανεροὺς γενομένους. τουτέστιν εὐδοκίας καὶ οἰκονομίας Χριστοῦ φανερωθέντος. καὶ μᾶλλον ὧν ὁ πάσχων καὶ παρρησιαζόμενος Παῦλος ἢ ἐκ ἀνέφερον εἰς Χριστόν. ἢ ἐκείνων ἐν Χριστῷ οἱ δεσμοὶ φανεροῦνται, ὧν μὴ κατ' ἐπίδειξιν τῶν πραττόντων, ἀλλ' οὕτως πραττόντων, ὥστε τοὺς ὁρῶντας ὠφελεῖσθαι, καὶ τὸν ἐν ὑγρανοῖς δοξάζειν θεόν. καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ. ἐπαδὶ εἴτε θάρσος οἱ δεσμοὶ παρέσχον, μέγα δὲ τὸ ῥῆμα ἐδόκει, ἐπάγει, τῷ κυρίῳ, τουτέστι διὰ τὸν κύριον. πεποιθότας τοῖς δεσμοῖς μου. θάρσος γὰρ αὐτοὺς ἔλαβε, βεβαιωθέντας διὰ τῶν Παύλου δεσμῶν πρὸς τὴν πίστιν. ἢ γὰρ μὴ θεῖον ἴσως, φησὶ, τὸ κήρυγμα ἐκ ἂν ὁ Παῦλος ὑπὲρ αὐτοῦ δέδεται. τοῦτο καὶ ἄνω εἶπε. βεβαιώσει, φησὶ, τὸ εὐαγγελίου. βεβαίωσις γὰρ τὸ κηρύγματος, τὰ δεσμὰ τοῦ ἁγίου Παύλου. περισσοτέρως τολμᾶν. καὶ γὰρ καὶ πρότερον ἐλάλουν, νῦν δὲ πλεῖον.

» Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ διὰ εὐδοκίαν τὸν Χριστὸν » κηρύσσουσιν. οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν ἐκ ἁγνῶς, οἰόμενοι » θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου. οἱ δὲ ἐξ εὐδοκίας ἐδότες ὅτι εἰς ἀπολογίαν τοῦ » εὐαγγελίου κεῖμαι. τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ » Χριστὸς καταγγέλεται, καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι.

Ἐπειδὴ γὰρ κατεσχέθη ὁ Παῦλος, πολλοὶ ὧν ἀπίστων βουλόμενοι εἰς ὀργὴν ἀγαγεῖν τὸν Νέρωνα εἰς τὸ πάντως αὐτὸν φονεῦσαι, ἐκήρυσσον τὸν Χριστὸν, ἵνα ἀκούσας ὁ Νέρων τὸ κήρυγμα καταταράξῃ, τὸν τούτου αἴτιον Παῦλον ἀποκτείνῃ. ἢ ὅτι αὐτοὶ τιμᾶσθαι βουλόμενοι, (μεγάλη γὰρ ἴσως ἡ τιμὴ τοῦ Παύλου,) καὶ ταῦτα ἄπιστοι ὄντες, ἐκήρυσσον τὸν Χριστόν. τινὲς δὲ καὶ διὰ εὐδοκίαν. διὰ πίστιν, δι' ἀγάπην, διὰ γνώμην καὶ βουλὴν ἀγαθήν. οἱ μὲν δὲ ἐριθείας. ἐκφιλονεικίας καὶ φθόνου καὶ ἔριδος. οὐχ ἁγνῶς. τουτέστιν ἐκ ἀπὸ καθαρᾶς καρδίας, νομίζοντες ἐκ τούτου εἰς μείζονα κίνδυνον καὶ θλῖψιν καθίσαι, καθὼ τὸ ἄνω παραλέλεγραμμένα.

Οἰόμενοι

Οἰόμενοι θλῖψιν. ἐγὼ γὰρ οὕτως ἀπέβαινεν ὡς ἐνόμιζον. ἐγὼ γὰρ πλέον ἐπὶ τούτοις ἔχαιρον. οἱ δὲ ἐξ ἀληθείας. οἱ δὲ, φησὶν, ἀπ' ἀγάπης τῆς εἰς ἐμὲ καὶ εἰς ἐμὲ, ἐδόντες, φησὶν, ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. ἴσασι, φησὶν, ὅτι ἐλεύσομαι παρὰ θεοῦ, κηρύξαι τὸ εὐαγγέλιον, καὶ ὅτι εὐθυμίας ὑπὲρ τούτου δώσω. ἐπικυφίζει δέμοι, φησὶ, τὸν περὶ τούτου εὐτύχιας, τὸ πλέον κατισχῦσαι καὶ δεδραμηκέναι τὸ κήρυγμα. τοῦτο οὖν ἐδότες, φησὶν, ἐκεῖνοι, ἵνα μοι τὰς πρὸς τὸν θεὸν εὐτύχιας ἐπικουφίσωσι, κατισχύουσι πλλοί, τὸν λόγον κηρύσσοντες. τί γάρ; ἢ τί γὰρ ἄλλο, φησὶν, ἢ μὴ τοῦτο; οἷον τί ἄλλο γέ, ἢ μὴ εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι; τί γάρ, φησι, μακρολογῶ; ἢ τί μοι, φησὶ, μέλει ποίῳ σκοπῷ τις κηρύσσει, ὁ πρότερον ὀρθῶς κηρύσσει; εἴτε προφάσει. διὰ τὸν πρὸς ἐμὲ φθόνον. εἴτε ἀληθείᾳ χρισὸς καταγγέλεται. ἐκ τούτων τινὲς ἄφρονες ὑπολήφασιν, ὅτι πάσας ταῖς Αἱρέσεσι πάροδον ἔδωκεν ὁ ἀπόστολος, τῷ ἢ ποιεῖν, εἴτε προφάσει, εἴτε ἀληθείᾳ χριστὸς καταγγέλεται. ἀλλὰ σὺ πρόσχες. πρῶτον μὲν γὰρ εἴτε, καταγγελλέσθω, ἵνα τοῦτο νομοθετῇ νομοθείᾳ, ἀλλὰ καταγγέλλεται, τὸ γινόμενον ἐξηγούμενος. ἔπειτα ἢ καὶ ὡς νομοθετῶν ἥρκει. (καὶ γὰρ πολλοὶ ὧν Αἱρετικῶν πεποίησαν τὰ γραφῶ, ὡς ἔχουσαν, χριστὸς καταγγελέσθω.) ἀλλὰ οὕτως πάροδον ταῖς αἱρέσεσι δέδωκε, πῶς; ὅτι οὗτοι περὶ ὧν φησιν, ἃ νόθα δόγματα ἐκήρυσσον, ἀλλ' ὀρθῶς μὲν τὸ δόγμα ἐκήρυσσον, διανοίᾳ δὲ πονηρᾷ, ὡς βουλόμενοι ἢ τιμᾶσθαι, ἢ εἰς μείζονα κίνδυνον τὸν ἀπόστολον ἐμβαλεῖν. οἱ δὲ Αἱρετικοὶ, μετὰ τοῦ καὶ διάνοιαν ἔχειν πονηράν, (οἱ γὰρ πλείους καὶ τοῦτο ἔχουσι,) καὶ δόγματα ἡσυχοῦσι νόθα, οἱ μὲν γὰρ ὁμολογοῦντες τὸν σωτῆρα θεὸν, οἱ δὲ δύο λέγοντες ὑποστάσεις μετὰ τὴν ἕνωσιν, οἱ δὲ ὡς ἔκ ἔλαβε σάρκα ὁμοούσιον ἡμῖν, οἱ δὲ ἕνα τοῦ πατρὸς τὸν υἱὸν καθ' ἕξιν καὶ νοεῖται θεὸς, οἱ δὲ σύγχυσιν εἰς τὴν ἁγίαν τριάδος πεπλάσμενοι. καὶ ἐν τούτῳ χαίρω. ἐκεῖνοι μὲν, φησι, περὶ τὸ λυπῆσαί με, ταῦτα πρεσβεύουσιν, ἐγὼ δὲ χαίρω. τί λέγω χαίρω; χαρήσομαι, φησι, τὴν αἰώνιον χαράν.

» Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐ» πιχορηγίας τοῦ πνεύματος Ἰησοῦ χριστοῦ κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδαμου, ὅτι » ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ ὡς πάντοτε καὶ νῦν μεγαλυνθήσεται » Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου.

Τοῦτο. ἢ τὸ δεδέσθαι, ἢ τὸ κηρύσσεσθαι τὸν χριστὸν παῤ αὐτῶν, ἢ καὶ τὸ ἐπιβουλεύεσθαι παῤ αὐτῶν. εἰς σωτηρίαν. σωτηρίαν δέ φησι, τὸ ὄφελον δέδεσθαι μαρτύρησον. διὰ τῆς ὑμῶν δεήσεως. ὅρα πανταχοῦ, ἀπὸ μυρίων κατορθωμάτων ἔχωλ ὀφλομένην τὴν σωτηρίαν, φησὶ διὰ τῆς ὑμῶν δεήσεως. ἢ γὰρ φησὶ ὧν ἐυχῶλ ὑμῶν ἐυπρεπῶ, ἔσαμοι διαφιλεία καὶ οἷον προσθήκη πνεύματος καθὼ τὴν καραδοκίαν. ἀποκαραδοκίαν φησὶ τὴν σφοδρὰν καὶ ἐπιτεταμένην ἐλπίδα, ὡς τίς, καὶ αὐτὴν ἐπικινδυνεύουσαν τὴν κεφαλήν, δοκέυσ καὶ διορισκοπεῖ. καὶ ἐλπίδα μου. ἐκ τούτων διδάσκει μὴ δεῖν ἐπὶ μόνας ταῖς ἑτέρων ἐυχαῖς παρέρχεσθαι, ἢ μὴ καὶ οἰκοθεν συνεισενέγκητις. παραινῶ, φησι, καὶ ἐγὼ συνεισφέρω

πὼ ἐλπίδα, ἧς μεῖζον οὐδέν. ἡ γὰρ ἐλπὶς, φησὶν ἀλλαχοῦ, ϗ καταισχύνει. καὶ γένοιτο κἀγὼ τοῦ ἐλεηθῆναι ὑφ' ἡμῶν καταπορνήσαμεν ἐπὶ σοί. ὅτι οὐδενὶ αἰσχυνθήσομαι. ὅτι, φησὶν, ϗ πορισθήσονται οἱ ἐπίβουλοι. οὐ γὰρ ἀποκτείνωσι, τότε μάλιστα παῤῥησιάζομαι. οὐχὶ πάσῃ παῤῥησίᾳ. οἷον σαφῶς, φανερῶς, ϗ σωτηρίως. μλῶς. καὶ νῦν μεγαλυνθήσεται Χριστὸς. Πάντοτε ἐμεγαλύνετο Χριστὸς ἐν τῷ Παύλῳ, καὶ ὅτε παρεχώρει αὐτὸν τοῖς δεσμοῖς καὶ ταῖς μάστιξιν ὡς βλασφημοῦντα, καὶ ὅτε ἐξεῖλκε καὶ ἐλυτροῦτο αὐτόν. Διὰ μὲν γὰρ ἐκείνου ἐβεβαιοῦτο καὶ ἐκρατύνετο τὸ κήρυγμα, λογιζομένων ὧν ὁρῶντων τὰ Παύλου δεσμὰ καὶ τὰς θλίψεις, ὡς ϗ μὴ θεῖόν τι καὶ πανάληθες αὐτὸ τὸ κήρυγμα, ϗκ ἂν ἑαυτὸν μυρίοις χαίροντα ἐξεδίδου κακοῖς, ἑνὸν, παυσάμενον ἀπαλλάττεσθαι. διὸ ϗκέτως ἐμεγαλύνετο ὁ Χριστὸς, τοῦ κηρύγματος βεβαιουμένου. πάλιν δὲ ὅτε ἐξεῖλκε καὶ ἐξήρπαζεν αὐτὸν ἐκ τῶν κινδύνων, αὖ πάλιν ἐμεγαλύνετο. ϗ μὴ γὰρ θεάτρις καὶ ὑποκρίτης ἀνθρώπων ἐν ἀμφιβόλῳ τὴν Παύλου χάριν, πῶς ἐλύετο τὰ δεσμά; πῶς ἀνεῳγμένη αἱ θύραι; πῶς τὰ μυρία θαύματα ἐκεῖνα ἐλέγοντο; ἐμαρτύρει οὖν ὁ Χριστὸς δι' ὧν ἐῤῥύετο ὧν κινδύνων Παύλῳ, καὶ Παῦλος πάλιν, δι' ὧν ῥύεται πάρεστι τοῖς παῤῥησμοῖς, ἐμαρτύρει τῷ κηρύγματι, καὶ δι' ἀμφοῖν ὁ Χριστὸς ἐμεγαλύνετο. οὕτως οὖν καὶ νῦν, φησὶν, εἴτε ἐξαιρεῖταί με τὸ θανάτου, εἴτε μὴ ὁ Χριστὸς, τῷ ἐμοὶ μεγαλυνθήσεται. ὑμῶ γὰρ καὶ ζῶν, πῆς ὑποκρίσεως τοῦ κηρύγματος παῤῥησίας ϗκ ἀποκρύψομαι, κἂν δέῃμε τεθνάναι, μετὰ ταύτης τεθνήξομαι. ἐν τῷ σώματί μου. ἐκεῖνοι διὰ τοῦ ἐξ ἐριθείας τὸν χριστὸν καταγγέλλειν, ᾠόμην αὐτὸν ἀναιρεῖν. τὸ δὲ ϗχ οὕτως ἔσται, ἀλλὰ μεγαλυνθήσεται ὁ χριστὸς ἐν τῷ σώματί μου, ὡς πάντοτε ἐξαιρούμενός με ὡς ἕτος αὐτῷ καὶ λυτρούμενος. εἶτα ἐπειδὴ πὼ μὲν πρώτων ἀπολογίαν Διαφυγὼν αὖθις ἀνῃρέθη, φησὶ, μεγαλύνεται χριστός. εἴτε διὰ ζωῆς. ἐπειδὴ ἐξήρπασέ με ἐκ τοῦ στόματος τοῦ Νέρωνος. εἴτε διὰ θανάτου. ἐπειδὴ ἐνέργησέ με ὥστε δι' αὐτὸν καταφρονῆσαι θανάτου. τότε δέ φησιν, οὐχ ὡς εὐθέως ἀποθανούμενος, ἀλλ' ἀσφαλιζόμενος αὐτὸς, μὴ θορυβεῖσθαι τοὺς νομίμους.

Φωτ.

» Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος. ϗ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό » μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι ϗ γνωρίζω. συνέχομαι δὲ ἐκ τῶν δύο, πὼ ἐπι» θυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ ζῶ χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον. τὸ δὲ » ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς.

Ἀλλαχοῦ φησιν, ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με. τότε καὶ νῦν λέγει. αὐτὸν ἔχω πὼ ζῶν. ϗδὲ γὰρ ὁ τοῦ κόσμου καταφρονῶν, πὼ κοσμικὼ ἔξη ζωὼ, ἀλλὰ πὼ χριστοῦ, ὧν ὁ Χριστὸς ἠβούλετο. κέρδος δὲ τὸ ἀποθανεῖν φησι, διὰ τὸ ζῶν χριστῷ εἶναι ἐκ τῶν στεφάνων ἐπιτυχεῖν. ϗ δὲ τὸ ζῶν ἐν σαρκὶ. εἴτε τὸ ἀποθανεῖν κέρδος. ἵνα δὲ μή τις νομίσῃ πὼ ζῶν αὐτὸν διαβάλλειν, ὅρα τί φησι. ϗ δὲ τὸ ζῶν. ἐπειδὴ δέ, φησι, τὸ ζῶν ἐν σαρκὶ καρπὸς ἔργου ἐστὶ. (δ' ὡς γὰρ πίστει ζωῇ χρήσασθαι ἧς καρπὸν ἔργων ἀγαθῶν. καρποφοροῦντες γάρ, φησι, ἐ αὐξανόμενοι. ἐπεὶ οὖν ἐ τὸ ζῶν πρὸς τὸ καρποφορῆσαι συντελεῖ, ϗκ οἶδα ϗδὲ γνωρίζω τί αἱρήσομαι

αἱρήσομαι καὶ ἐπιλέξομαι, τὸ ζῶ, φησι, καὶ καρποφορεῖν τῷ θεῷ, ἢ τὸ ἀποθανεῖν καὶ ζῶ χριστῷ εἶναι. ὅρα δὲ, ἐδείξεν ἑαυτὸν κύριον τοῦ ζῶ καὶ μή. σωέχομαι δὲ ἐκ τῶν δύο. ἐπεὶ οὖν τί αἱρήσομαι ϗ γνωρίζω, ἡνίκα σωέχομαι ἐκ τῶν δύο, τότε ἀναλῦσαι, καὶ τὸ συμπεῖναι τῇ ζωῇ. εἶτα ὦ Παῦλε, ὁ τοιοῦτον χριστὸν ἀγαπῶν, ὅλως διαξάγεις καὶ ἀμφιβάλλεις τίσι δεῖ αἱρεῖσθαι; καίτοι ἀναμφιβολόμοι ὠφελὸν εἶναι καλὸν, τὸ ἀναλῦσαι καὶ ζῶ χριστῷ εἶναι. οἶδα, φησὶ, τότε κἀγὼ, ἀμέλει πὼ ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ ζῶ χριστῷ εἶναι, καὶ ταύτῃ πολλῷ μᾶλλον κρείσσονά μοι οὖσαν ἥδως, εἶπεν ὅτι σωέχομαι ἐκ τῶν δύο. διὰ τί δὲ τότε; διὰ πὼ ὑμετέραν σωτηρίαν, φησὶ, καὶ δι' ὑμᾶς, ὅπερ ἀναγκαιότερον ἡγοῦμαι, ἐπειδὴ ϗ τὸ ἐμὸν σῴζω, ἀλλὰ τὸ ὑμῶν συμφέρον. ὁρᾶς ψυχὴν πρωτιμῶσαν τὸ οἰκεῖον συμφέρον τῶν μαθητῶν ὠφέλειαν; ἐπιμενῶν γάρ, τοὺς τε πρωτακτηθέντας ἐβεβαίου καὶ ἄλλοις προσελάμβανε. πολλῷ μᾶλλον κρεῖσσον. τὸ, ἔχων, ἀντὶ κοινοῦ, οἷον πὼ ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ ἔχων πολλῷ μᾶλλον κρεῖσσον, τὸ ζῶ χριστῷ εἶναι. ἀναγκαιότερον δι' ὑμᾶς. καὶ κατ' ἄλλο ἀναγκαιότερον, ὅτι τὸ προσάγειν θεῷ διὰ πίστεως πλείονας, πλείου αὐτὸν οἰκοῖ τῷ Χριστῷ.

» Καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν, εἰς πὼ ὑμῶν » προκοπὼ καὶ χαρὰν πῆς πίστεως, ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ » ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

Καὶ τοῦτο θαῤῥῶν οἶδα, τὸ εἶναι ἀναγκαιότεραν πὼ ἐν σαρκὶ προσμονήν. Καὶ τοῦτο πεποιθὼς οἶδα, ἀντὶ τοῦ καὶ τοῦτο πεθαῤῥηκὼς καὶ οὐ διαζάζων οἶδα. τί δέ ἐστιν ὁ θαῤῥῶν καὶ ϗ διαζάζων οἶδεν; ὅτι ἀναγκαιότερον τὸ δι' αὐτοὺς ἐπιμένειν τῇ σαρκί. εἶτα οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ. ἀπὸ κοινοῦ γὰρ τὸ, οἶδα. ἢ καὶ τὸ, ὅλον ἀπὸ κοινοῦ. οἷον ὅτι θαῤῥῶν οἶδα, οὐ μόνον ὅτι ἀναγκαιότερον τὸ ἐπιμένειν με τῇ σαρκὶ, ἀλλ' ὅτι καὶ ἐπιμενῶ καὶ συμπαραμενῶ. ὁ γὰρ ὧν ἀπορρήτων καὶ ὑπερουρανίων μύστης, ϗδὲ πὼ ἑαυτοῦ ζωὼ ἐν διαγωμῷ ἥδεται, καὶ ὅτι ἔτι νῦν ἐπιβιώσεται. δυνάται δέτις καὶ ἑτέρως τὸ ῥητὸν σωτάξας, οὕτως ἐκλαβεῖν ἐρωμώτερον. τὸ ἐπιμένειν, φησὶν, ἀναγκαιότερον δι' ὑμᾶς. εἶτα καὶ ἧς τοῦ θαῤῥῶν ὅτι ἀναγκαιότερόν ἐστι, φησὶν, οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ καὶ ἐξῆς. καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. οἶδα, φησὶν, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. ἐπειδὴ γὰρ θαῤῥῶ ἀναγκαιότερον εἶναι τὸ μενῶν, οἶδα ὅτι μενῶ, οὐ μόνον ὑποδρομῆς, ἀλλὰ καὶ σὺν ὑμῖν, καὶ ὄψομαι ὑμᾶς. μενῶ δέ, φησιν, ἧς πὼ ὑμῶν προκοπὼ καὶ χαρὰν πῆς πίστεως. θῦμι γὰρ ἐν πίστει προκόψαι, τὸ μᾶλλον ἧς αὐτὼ βεβαιωθῆναι καὶ χαίρειν πὼ πνευματικὼ χαρὰν. τότε δὲ ῥῆμα καὶ φοβοῦμαι ὡς ἐστιν. ϗ γὰρ δι' ὑμᾶς μενῶ, ὁρᾶται μὴ καταισχύνητέ μου πὼ ἐπιμονὼ. ἵνα τὸ καύχημα ὑμῶν. πῶς δ' ἂν αὐτῶν περισσεύσοι τὸ καύχημα; διὰ τοῦ ἐσῆρχθαι ἐν τῇ πίστει, καὶ ὀρθῶς βιοῦν διλονότι, ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοί. ἐπειδὴ εἴτε πὼ ἐπιμονὼ αὐτοῦ ἧς πὼ ἐκείνων χλεύαθαι προσκοπὼ, νῦν θέλει δεῖξαι ὅτι οὐ προσκοπὴ αὐτῶν, καὶ ἧς πὼ αὐτοῦ ὠφέλειαν συντείνει, ἵνα μὴ δόξῃ βαρεῖν αὐτὸς, ὡς δι' αὐτοὺς

τὰ τοῦ οἰκείου συμφέροντας, ὅτι, φησί, τὸ ὑμῶν κοίνημα, καὶ ἐν ἐμοὶ στηριεῖ. αὐτὸ γὰρ ὑμεῖς ἦτε δόκιμοι, ἡ κοίνησις καὶ εἰς ἐμὲ ἀναπέχει τὸν διδάσκαλον. δηλοῖ τῆς ἐμῆς παρουσίας. ἡ γὰρ Παύλου παρουσία, ὠφέλεια ἦν τῶν ἁπάντων. ἔδειξε δέ, ὅτι ἀπελεύσεται.

Κεφ. γ'. » Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χοῦ πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, » εἴτε ἀπὼν, ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦν- » τες τῇ πίστει τοῦ εὐαγγελίου, καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις » αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας. ἐκ τοῦτο ἀπὸ θεοῦ, ὅτι ὑμῖν ἐχα- » ρίσθη τὸ ὑπὲρ Χοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν.

Μόνον ἀξίως. ὁμοῦ μὲν οὖν συμπαραμυθεῖται πρὸς τὸν προκοπὴν ὑμῶν, μόνον, φησί, τοῦτο ποιήσατε, ἀξίως τοῦ εὐαγγελίου πολιτεύεσθε, τουτέστι πρὸς ἀρετὴν ἐπίδοτε. καὶ ἰδὼν ὑμᾶς, εὐφρανθῶ, φησιν. εἴτε ἀπών. οὐ τοῦτο εἶπεν ὡς μεταθέμενος τὸ ἀπελθεῖν, ἀλλὰ τὸ συμβαῖνον εἶπεν. ἐὰν γάρ, φησιν, ἀξίως τοῦ εὐαγγελίου πολιτεύησθε, ἐλθὼν καὶ ὁρῶν ὑμᾶς, εὐφρανθήσομαι, (τοῦτο γὰρ προσυπακουστέον,) εἰ δὲ μὴ ἐλθεῖν, ἀπὼν καὶ ἀκούων, εὐφρανθήσομαι. τῷ ἑνὶ πνεύματι. ἐνὶ ἑνὶ χαρίσματι, ἀγάπῃ καὶ ὁμονοίᾳ. μιᾷ ψυχῇ. τοσοῦτον τῇ ἀγάπῃ συνδεδεμένοι, ὡς μίαν ἔχειν δοκοῦντες ψυχήν, συναναλαμβάνεσθαι ἀλλήλων ἐν τοῖς ὑπὲρ τοῦ εὐαγγελίου ἄθλοις καὶ ἀγῶσι. καὶ μὴ πτυρόμενοι. ὃ λέγω, φησί, μὴ καταπίπτοντες, ἀλλὰ μὴ πτυρόμενοι, τουτέστι θορυβούμενοι τῷ μηδενί, κἂν θάνατον ἀπειλῶσιν οἱ ἀντικείμενοι, κἂν ὀνειδίζωσιν ὑμᾶς τὰ ἐμὰ δεσμά. ἥτις αὐτοῖς μέν ἐστιν. ἐὰν ἦτε, φησί, μὴ πτυρόμενοι ὑπὸ τῶν ἀντικειμένων, ἡ ἐπανάστασις αὐτῶν ἡ κατ' ὑμῶν, πρασσήσεται αὐτοῖς εἰς ὄνδειξιν ἀπωλείας. οἷον, ἡ ὅτι ἐπιδείξεται αὐτοῖς καὶ φανερωθήσεται δηλαδὴ τῆς ὑμῶν στερρότητος τὴν τῆς ἀπωλείας, ἐπ' ἀρχῆς οὖσαν αὐτοῖς καὶ ματαίας δόξης ἐπὶ τὸ ἐπιθύμημα τῶν αὐτῶν, ἐξ ἐκ τούτου ἔσαι ὑμῖν μᾶλλον πολυτρόπως σωτηρίας, ὡς καὶ ἑτέροις προξενήσασι φυγεῖν τὴν ἀπώλειαν, καὶ κερδῆσαι τὴν σωτηρίαν. ἡ οὖν οὕτως νοητέον, ἡ ἀπωλούστερον, ὅτι ἡ ἐπιχείρησις αὐτῶν καὶ ὁ πόλεμος αὐτὸ ὁ κατ' ὑμῶν, ὑμῶν μὴ πτυρομένων, ἐκείνοις μέν, πολλὴ τὴν ἰδίαν ἀπωλείας, οὐδὲν ἄλλο ἐνδείξεται οὐδὲ προξενήσῃ, ὑμῖν δὲ ἀντὶ βλάβης, καὶ σωτηρίας ὑπόθεσις, καὶ ἀφορμὴ τελειοτέρας ἀρετῆς χρηματίσει. τοῦτο ἔνδειξις ἀπωλείας. ἥτις ἐπιχείρησις αὐτῶν, ἔσαι αὐτοῖς δεῖγμα ἀπωλείας, ἡ ὑμεῖς σῴζεσθε ἀθόρυβοι. πῶς; ἡ γὰρ πάντα πρόσφορον ἐπιβουλὴν κινήσαντες οὐ λέγω μὴ καταβάλωσιν ἀλλὰ μήτε θορυβήσωσιν ὑμᾶς, γνώσονται ὅτι ἀληθῆ καὶ θεῖα τὰ ὑμῶν, καὶ σωτηρίας πρόξενα, ψευδῆ δὲ τὰ ἐκείνων, καὶ ἀπωλείας αἴτια. λέγει δὲ περιττῶν ἀπίστων ἀντικειμένων τῷ κηρύγματι. ὅτι ὑμῖν ἐχαρίσθη. ὅρα πῶς γε οἶδε διαφορὰν τῆς τοῦ πατρὸς ἡ τῆς τοῦ υἱοῦ βουλῆς. ἴσων γὰρ ὅτι καὶ τοῦ ἀπὸ θεοῦ, ἐπάγει, ὅτι ὑμῖν ἐχαρίσθη ὑπὲρ Χριστοῦ, κοινὴ δωρεὰν πατρὸς καὶ υἱοῦ πρόκειται τὸ πρᾶγμα. τὸ ὑπὲρ Χριστοῦ. μεῖζον καὶ ἀξιολογώτερον ποιῶν τὸ ὑπὲρ τῶν ἀντικειμένων τῷ κηρύγματι διενοχλεῖσθαι, ὑπὲρ θεοῦ λέγει αὐτοῖς τοῦτο

τοῦτο δεδωρῆσθαι, τὸ πιστεῦσαι Χριστῷ, καὶ τὸ πάσχειν ὑπὲρ αὐτοῦ τοῖς πειρασμοῖς.

» Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ, καὶ νῦν ἀκούετε ἐν ἐμοί. εἴτις 2
» οὖν παράκλησις ἐν Χριστῷ, εἴτι παραμύθιον ἀγάπης, εἴτις κοινωνία πνεύματος,
» εἴτις σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν
» αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐριθείαν, ἢ κα-
» τὰ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν.
» μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὸ ἑτέρων ἕκαστος.

Βαβαὶ οἷον ἐστὶ τὸν αὐτὸν ἀγῶνα Παύλῳ ἔχειν. τίνος γὰρ αὐτοῖς ὁ Παῦλος ἐλύπησε τὰ Φιλίππους, ὥστε ὑπὲρ τῆς πίστεως ἀγωνίζεσθαι. εἴτις οὖν παράκλησις. εἴτις, φησίν, ὑμῖν ἐμοῦ γίνεται λόγος, καὶ εἴτινά μοι βούλεσθε παράκλησιν ἐν τοῖς πειρασμοῖς δοῦναι, καὶ εἴτινα παραμυθίαν ἐξ ἀγάπης κινούμενοι, πληρώσατέ μου τὴν χαράν. εἴτις κοινωνία πνεύματος. ἦ ἔχετέ, φησι, μετ' ἐμοῦ κοινωνίαν τῷ τῷ ἁγίῳ πνεύματι, καὶ ἦ ἐστιν ἐν ὑμῖν σπλάγχνων καὶ οἰκτιρμῶν τί, πληρώσατέ μου, φησί, τὴν χαρὰν ἐν τῷ ἀλλήλους ἀγαπᾶν, ὡσεὶ ἔλεγε. εἴτινα ἀμοιβὴν μοι δοῦναι ἐπιφέλετε ὑπὲρ ὧν ἐμὰς τέκνων μου, τὴν τοῦτο μοι ἀπόδοτε, τὴν τῷ ἀλλήλους ἀγαπᾶν. ἵνα τὸ αὐτὸ φρονῆτε. καὶ τί ἐστιν ὃ βούλει ἀντὶ πάντων παρασχεθῆναι σοι παρ' ἡμῶν; ἵνα, φησί, τὸ αὐτὸ φρονῆτε, καὶ μηδεὶς πρὸς τὸν ἕτερον στασιάζῃ. ἢ καὶ περὶ τοῦ δόγματος λέγει, ἀντὶ πάντων ζητῶν τὸ ὁμόγνωμον ἐμοὶ εἶναι τὴν πίστιν. τὴν αὐτὴν ἀγάπην ἔχοντες. μὴ εἰς πολλὰ καὶ εἰς ὀλίγα, ἀλλὰ τὴν ἴσην καὶ τὴν αὐτὴν ἅπαντες. ὁμόψυχοι γινόμενοι. τοῦτο γὰρ τὸ σύμψυχοι. πάλιν διαλαμβάνει τὸ ὁμοφρονεῖν. μηδὲν κατ' ἐριθείαν. λοιπὸν καὶ δηλοῦσι, τοῦτο ὁμοψύχους εἶναι. μηδέν, φησι, κατὰ ἐριθείαν, τουτέστι ζῆλον ἢ φιλονεικίαν, ἢ κατὰ κενοδοξίαν ποιοῦντες. ἀλλὰ τῇ ταπεινοφροσύνῃ. βαβαὶ οἷον λέγει, δηλαδὴ τῆς ταπεινοφροσύνης, φησὶν, ἕκαστος ἡγείσθω τὸν ἕτερον ὑπερέχειν, καὶ μείζονα εἶναι κατὰ πάντα αὐτοῦ. μέγα μὲν γὰρ, τὸ κἂν τὸ ἓν μέρος ἡγεῖσθαι, ὅτι ὁ δεῖνα μου πρόκειται. ἦ γὰρ τάχα ἡγήσεται, καὶ τιμήσει, καὶ αἰσχυνθήσεται, καὶ ἀγαπήσει, καὶ χάριν φθονήσει. κρεῖττον γὰρ φθόνου τὸ ὑπερέχον, ἐπεὶ πρὸς τὸν ἀντίπαλον ὁ φθόνος γίνεται φιλεῖ. ἦ δὲ καὶ ἐκ δύο μερῶν ἔσαι αὕτη ἡ οἴησις, ὅρα τὴν ἀριθμὸν ὅση. ὅρα δέ. οὐκ εἶπε μείζονας, ἀλλ', ὃ πολλοῦ ἐστιν, ὑπερέχοντας φησὶν ἑαυτῶν. μὴ τὰ ἑαυτῶν ἕκαστος. ὅταν γὰρ τὸ ἴδιον συμφέρον ἕκαστος ἀφεὶς, τὸ συμφέροντος γίνηται τὸ ἀδελφοῦ, ὡς σὺ μὲν τὸ ἐμὸν συμφέρον σκοπεῖν, ἐμὲ δὲ τὸν σὸν, οὐ πολὺς γε κἂ ἔτι ἀνθρώπινος, ἀλλ' ἀγγελικὸς βίος.

» Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρ-
» χων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λα-
» βών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐτα-
» πείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

Περὶ ταπεινοφροσύνης διαλαμβάνειν μέλλει. τί γὰρ ἐν Χριστῷ καὶ δηλαδὴ Χριστοῦ ἐφρονήθη; ἢ ἄκρα ταπεινοφροσύνη. Βούλεσθε ἴδειναι ὅτι ἡ ταπεινοφροσύνη Φωτ.

ᾠδὴν ὑμᾶς βλάψῃ, ᾠδὲ ζημιοῖ, ᾠδὲ καταβιβάζῃ τῆς προσόντος ὕψους, ἀλλὰ μᾶλλον ἀπόδειξις αὐτὴ γίνεται; τὴν χρισὸν, φησὶν, ὠνοήσατε. μάλιστα γὰρ ὧν τούτῳ δείκνυται φύσει θεὸς εἶναι, ἐν τῷ ταπεινωθῆναι καὶ φορέσαι τὸν ἄνθρωπον. ἢδη γὰρ ὡς ἐκ ταύτης τῆς ταπεινώσεως, ᾠδὲν ζημιωθήσεται τὸ προσόντος αὐτῷ κατὰ φύσιν τῆς θεότητος ὕψους. ἢ δὲ ταύτην ἐπίκτητον εἶχον, ἐδεδοίκει ἀφέωτον ταπεινῶσαι, ἵνα μὴ ἐκπέσῃ τῆς μόλις αὐτῷ ἐπικτηθέντος ἀξιώματος. ἀπόδειξις οὖν ἡ ταπείνωσις, τῆς καθ' φύσιν ὕψους αὐτὸ τῆς θεότητος. εἴπερ οὖν ὑψηλὸς κατ' ἀρετὴν καὶ μέγας ἐφίεται εἶναι, ταπεινοφρονείτω. ἡ γὰρ ταπείνωσις ἐστὶν ἡ δὴ κινοῦσα καὶ μαρτυροῦσα τὸ ὕψος τῆς ἀρετῆς. μιμείσθω τὸν χρισὸν, ᾠδὲν ἀπολέσει ταπεινούμενος, μᾶλλον δὲ μεγάλα κερδανεῖ. ὁ πένης τὴν ἀρετὴν, ᾧ δύναται θαφνωθῆναι. φοβεῖται γὰρ μὴ ἐκπέσῃ τῆς ἐπιπλάσου καὶ κατεσχηματισμένου ὕψους. ὁ πλούσιος δὲ ὑψηλὸς τὴν ἀρετὴν, ταπεινούσθω. ἐν τούτῳ γὰρ μᾶλλον ἑαυτὸν δείκνυσιν ὡς ἀληθῶς ὑψηλὸν, ὅτι γε δέδοικε ταπεινωθῆναι, ἐ οἶδεν ὅτι ὕδρασαι. ὡς ἐν μορφῇ θεοῦ ὑπάρχων. ὅρα πῶς ἐκ ὧν ὀλίγων ῥημάτων τῆς πνεύματος, πᾶσαι καταλύονται αἱ αἱρέσεις. πρῶτον μὲν γὰρ ὑπάρχων ἦτων, τῷ σωαΐδιον τῷ πατρὶ δεδήλωκε, καὶ καταβέβληκεν Ἄρειον, εἶτα καὶ Μαρκίωνα τὸν Ποντικόν. ἢ γὰρ ἰῶ ἐν μορφῇ θεοῦ, πῶς σὺ λέγεις ὅτι ἀπὸ Μαρίας ἤρξατο; ζῶ τούτῳ καὶ Παῦλος ὁ Σαμοσατεὺς καταλύεται, ὃς ἔφη, ψιλὸν εἶναι τὸν κύριον ἄνθρωπον, ἐνεργούμενον ὑπὸ θεοῦ. καὶ γὰρ ἑτοιμῶ πρὸς αὐτόν. ὥσπερ μορφὴ δούλου, φύσις δούλου, οὐχ ὑπάρχει ἐστὶ, οὕτω καὶ μορφὴ θεοῦ φύσις θεοῦ, οὐχ ὑπάρχει ἐστί. καὶ Νεστόριος τὰ αὐτὰ φρονῶν, συγκαταλύεται. ζῶ τούτῳ καὶ Μάρκελλος ὁ Γαλάτης, καὶ Σωφρόνιος καὶ Φωτεινὸς ἀνετράπησαν. ὅρα δὲ καὶ Σαβέλλιον πεσόντα. οὐχ ἁρπαγμὸν, φησὶν, ἡγήσατο τὸ εἶναι ἴσα θεῷ. ἴσον γάρ, ἐπὶ ἑνὸς λέγεται προσώπου, οὐχ ἐπὶ δύο καὶ πλειόνων. πῶς οὖν σὺ φίλε φὴς ὀνόματα ἐπὶ μιᾶς ὑποστάσεως λεγόμενα τὸ, πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος; ὅρα ἐκδυτέρου τὸν Ἄρειον πολιτόμενον. εἰποιμι γὰρ αὐτῷ. τί ἐστὶ, μορφὴ δούλου ἔλαβεν; εὔδηλον ὅτι ἄνθρωπος ἐλήλυθε. γκοῦν καὶ μορφὴ θεοῦ λεγόμενος ἔχειν, θεὸς ἰῶ. ἐπὶ γὰρ ὧν δύο, μορφὴ κεῖται. ἀλλὰ τί Ἄρειος; οὕτως, φησὶν, ὑποδεέστερος ἐστὶν ὁ υἱὸς, ὅτι οὐχ ἥρπασε τὸ εἶναι ἴσα, φησὶ, θεῷ τῷ μεγάλῳ. ἐκεῖνο γὰρ ἁρπάζῃ τις, ὃ οὐκ ἔχει, φησὶ. ἀλλὰ τί ἡμεῖς πρὸς αὐτὸν; πρῶτον μὲν οὐδαμοῦ αἱ γραφαὶ μέγαν ἡμῖν ἢ μικρὸν ἡγησῶνται θεόν. ἔπειτα ὁ μικρὸς, καὶ τὸν ὑμῶν λόγον, πῶς οὐχ ἥρπασε τὸ εἶναι μέγας; οὐ γὰρ ἠδυνάτο κἂν ἤθου λάβῃ. ἔστατα ὁ Παῦλος ταπεινοφροσύνης ἡγήσατο παράδειγμα. οὐκ ἀν οὖν εἶπεν, ἐπειδὴ ὁ μικρὸς τῷ μεγάλῳ οὐκ ἐπανέσῃ θεῷ, ὀφείλετε ὑποκαταβαίνειν ἀλλήλοις. ἀλλὰ δείξας τὸ ἴσον πατρὸς καὶ υἱοῦ, εἶπεν ὅτι ἀπὸ ταπεινοφροσύνης σάρκα ἐφόρεσε. τὸ γὰρ μὴ ἐπαναβῆναι τῷ μείζονι, ποία ταπεινοφροσύνη; ἀθενείας μᾶλλον τὸ οὖν καὶ ἀδυναμίας. ἀλλὰ τὸ μὲν ἴσον καὶ ὁμοούσιον ἑαυτὸν ταπεινωθῆναι καὶ ἄνθρωπον γενέσθαι, τὸ ταπεινοφροσύνης. ὅρα δὲ αὐτὸν τὴν βίβλον,

τὴν βίβλον. ὧδε γὰρ ὡς ἐν αἰνίγματι γέγραπται. οὐχ ἁρπαγμὸν ἡγήσατο. τουτέστι καθ' ἁρπαγήν. τὸ εἶναι ἴσα θεῷ. ὅταν τις ἁρπάσῃ τι, ᾠδὲ ἀπρεθέσθαι αὐτὸ βούλεται, φοβούμενος τὴν ἀπώλειαν αὐτοῦ. ὅταν δέ τις ἔχῃ φυσικὴν καὶ ἴδιον, εὐχερῶς αὐτὸ ἀποτίθεται. οἶδε γὰρ ὅτι ὅταν θέλῃ, πάλιν λαμβάνῃ αὐτό. τί οὖν φησίν; ὁ υἱὸς τοῦ θεοῦ οὐκ ἐφοβήθη καταβῆναι τὸ ἀξίωματος. οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὴν θεότητα αὐτοῦ. τουτέστιν οὐ γὰρ ἥδη τινὶ ἁρπαγὴν ἔχων τὸ εἶναι ἴσος τῷ πατρὶ, ἀλλὰ καθ' φυσικὴν ἀξίωμα, φησί. διὰ τοῦτο ἑαυτὸν ἐκένωσεν ἄχρι τῆς δούλου μορφῆς ὢν ὁμοιώματι ἀνθρώπων γινόμενος. τί δέ ἐστιν ὁμοίωμα ἀνθρώπου; διὰ τί δὲ εἶπεν ὁμοίωμα ἀνθρώπου; ὅτι εἶχε τινὰ ὑποῤῥὰ ἄνθρωπον; τὸ εἶναι καὶ θεὸς, τὸ ἄνευ σωμούσιας τετυχθῶναι. τὸ, σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, φασὶν οἱ Εὐτυχιανισταί, ἰδοὺ οὐκ ἰῶ φύσει ἄνθρωπος. ἀλλὰ φαμὲν τοῦτο ῥηθῆναι, ἵνα μὴ νομισθῇ τῆς ἀνθρωπότητα τετραφθαι ἡ θεότης. σχήματι δέ, φησιν, οἷον ἐν σαρκί. σαρκὸς γὰρ ἴδιον, τὸ ἐσχηματίσθαι ὡς ἄνθρωπος. οὐ γὰρ ἰῶ ἐξ ὧν πολλῶν, ἀλλὰ ἐ παρειλλαμένα εἶχεν. ἢ τὸ, ὡς ἄνθρωπος, διὰ ἀνθρωπος φησί. καὶ γὰρ καὶ ὡσὶ βασιλέως μὴ δόξης περιελθόντος φαμὲν, ὀξὴ λθεν ὡς βασιλεύς. λέγῃ δὲ καὶ ὁ εὐαγγελιστής. καὶ ἴδομεν τὴν δόξαν αὐτοῦ δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, τουτέστιν, οἷα μονογενοῦς. Ὁ γὰρ χρισὸς καὶ θεὸς ἡμῶν, ᾧ τὸ ἑαυτοῦ ἐσπούδασεν, ἀλλὰ τὸ πάντων συμφέρον καὶ σωτήριον. Φωτ.
διὰ τοῦτο ταπεινοῖ ἑαυτὸν διὰ σαρκώσεως, καὶ ὑψοῖ πάντας ἡμᾶς διὰ τῆς οἰκείας ταπεινώσεως. ὁ οὕτω ἑαυτὸν ταπεινῶν, χρισοῦ γίνεται μιμητής. καίτοι αὐτὸς θεὸς ὢν φύσει, καὶ ὑψηλὸς κατ' οὐσίαν. οἱ δὲ παρὰ ἀνθρώποις ὑψηλοὶ, ὃς ἁρπαγῆς, ἕκ πλεονεξίας, προσεποίησαντο τὸ ἐναὐτοῖς ὑψηλόν. ἐπεὶ ἦλε φύσις κοινὴ καὶ ἴση καὶ ὁμότιμος ἀνθρώπων ἁπάντων. ἢ οὕτω ὁ φύσει θεὸς καὶ φύσει ὑψηλὸς ἐταπείνωσεν ἑαυτὸν δι' ἡμᾶς, οἱ φύσει ὁμότιμοι καὶ ὁμοίως ταπεινοὶ οὐκ ὀφείλομεν ἀλλήλοις καταπεινοῦσθαι, καὶ τὰ οἰκεῖα σωτηρίσασθαι μόνα; ἐὰν δὲ καταπεινωθῶμεν, ὑπερυψοῖ καὶ ἡμᾶς ὁ θεὸς, χαριζόμενος ἡμῖν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. μακάριοι, φησὶν, οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. καίτοι καὶ ἡ μὴ τοῦ ἰῶ, αὐτόθεον ἐστὶν ὑψηλὸν ἐ μέγα τὸ ἀξιωθῆναι μιμητὰς γενέσθαι Χρισοῦ. ἀλλ' ἑαυτόν. τοῦτ' ἔστιν οἱ λέγοντες ὅτι κατὰ ἀνάγκην καὶ ἐπιταγὴν τοῦ πατρὸς ἄκων ἐνηνθρώπησεν; ἐκένωσεν. ἔπειδὴ γὰρ μὴ κατὰ ἁρπαγὴν ἦδη ἔχων τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἀπὸ φύσεως καὶ σωαΐδιον ἀξιώματος, διὰ τοῦτο θαῤῥῶν ἐκένωσεν ἑαυτὸν, τουτέστιν ἐταπείνωσε καὶ γέγονεν ἄνθρωπος, τὸ εἶναι θεὸς μὴ ἀπωβαλών. ὡς εἶπε ἦδη καθ' ἁρπαγὴν ἔχων τὸ εἶναι ἴσα θεῷ, οὐκ ἄν ποτε ἐνηνθρώπησε, σπουδυλος, μὴ καταβιβασθῇ. μορφὴν δούλου λαβών. ὅρα ἀσφάλειαν τοῦ Παύλου. ἐπὶ μὲν γὰρ τῆς θεότητος, τὸ ὑπάρχων τέθεικε, τὸ σωαΐδιον δηλῶν. ἐπὶ δὲ τῆς ἀνθρωπότητος, τὸ λαβὼν, καὶ τὸ, γενόμενος, δηλονότι ταύτην ἐπίκτητον. εὑρεθεὶς ὡς ἄνθρωπος. οἷα ἄνθρωποι. ὅρα δὲ πάλιν τὸ κάτω παραγραφήν. ἐταπείνωσεν ἑαυτόν. ἢ οὕτω ἄνθρωπος ἰῶ φιλος ὃ δοκεῖ τοῖς αἱρετικοῖς, πῶς ἐταπεινοῦτο γενόμενος ὁ ἰῶ; πάλιν δὲ τὸ, ἑαυτὸν,

τὸ ἑκούσιον ὑμῖν δείκνυσιν. χωόμενος ὑπήκοος. ὡς υἱός, οὐχ ὡς δοῦλος. διὰ τοῦτο μάλιστα ἔδειξεν ὅτι ἔστι γνήσιος υἱός, ᾧ ὑπήκουσε. διὰ τοῦτο γάρ φησιν, ἐταπείνωσεν ἑαυτὸν, ἵνα μὴ δουλοπρεπώς τι φθυμηθῇς. διὰ τοῦτο δὲ ὑπήκοος ἦτων, ἵνα τὴν πρὸς τὸν πατέρα ὡς αἴτιον δείξῃ τιμήν. μέχρι θανάτου. πολλαὶ ὑπερβολαὶ ταπεινώσεως, τὸ ἄνθρωπον γενέσθαι, τὸ ἀποθανεῖν, τὸ δὲ σταυροῦ.

» Διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν
» ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ, πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ
» καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κς Ἰησοῦς χς, εἰς δόξαν θυ πρς.

Ὅταν τις ἀνθρωπίνως ἐπιλάβηται ὁ ἀπόστολος, πάντα λοιπὸν τὰ παρὰ ἀξίως φθέγγεται, τῆς σαρκὸς τὰ ταπεινὰ διεκμηλῆς. καὶ ἐχαρίσατο αὐτῷ ὄνομα. περὶ τῆς σαρκὸς παῦτα δέξαι, μηδαμοῦ διαιρῶν. ποῖον δὲ τὸ χαριστὲν ὄνομα; τὸ χριστὸς, τὸ υἱὸς, τὸ θεὸς. ταῦτα γάρ καὶ μετὰ σαρκὸς καλεῖται.

Βασιλείῳ. Εἰ μετὰ τὴν ἀνθρώπησιν διὰ τὴν ὑπακοὴν τὸ ὑπὲρ πᾶν ὄνομα τῷ υἱῷ θεῷ ὅτι ὁ πατὴρ ἐχαρίσατο, καὶ πᾶσα γλῶσσα ἐξομολογήσατο κύριον, πρὸ τῆς ἀνθρωπήσεως δέ, οὔτε τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα εἶχεν, οὔτε παρὰ πάντων τὴν ὁμολογίαν τὸ εἶναι κύριος, μείζων οὖν ἐλύετο μετὰ τὴν ἀνθρώπησιν τοῦ πρὸ τῆς ἀνθρωπήσεως. ὥστε ἄρτιον. τριοῦτον δέ ἐστι καὶ τὸ, ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. ἀπὸ τὴν ἀνθρώπησιν οὖν καὶ ἀπὸ τὴν θεότητα ταῦτα δεῖ ἐννοεῖν. πᾶν γόνυ κάμψῃ. ἀπὸ προσκυνήσιν διλονότι. ἐπουρανίων καὶ ἐπιγείων. ἀγγέλων, καὶ ἀνθρώπων, καὶ δαιμόνων. καὶ γάρ καὶ δαίμονες ἐπέγνωσαν. (διό φασιν. οἶδαμέν σε τίς εἶ, ὅτι ὁ ἅγιος τοῦ θεοῦ.) καὶ ἐπιγνώσονται, ὅταν ὡς κριτὴς καθίσῃ. ἢ ὅτι καὶ οἱ δίκαιοι καὶ οἱ ἁμαρτωλοί. καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται. τί ἐξομολογήσεται; ὅτι κύριος Ἰησοῦς Χριστός. εἰς δόξαν θεοῦ πατρός. δόξα γάρ πατρὸς, τὸ ἔχειν τριοῦτον υἱὸν, πάντων δεσπότην, καὶ προπάτωρ καὶ θεὸν, καὶ ᾧ κλίνει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται.

» Ὥστε ἀγαπητοί μου καθὼς πάντοτε ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου
» μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρό-
» μου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε.

Ταῖς γάρ μετ' ἐγκωμίων παραινέσεις, εὐχερῶς ἕκαστος δέχεται. καθὼς πάντοτε ὑπηκούσατε, ὡσεὶ ἔλεγε. ἑαυτοὺς καὶ νῦν μιμήσασθε, καὶ ἃ ἐπριεῖτε, πάλιν ποιήσατε. μὴ ὡς πρὸ τῆς παρουσίας μου μόνον. ὅτε μὲν γάρ ἴσως ἐδοκεῖτε, διὰ τὸν πρὸς ἐμὲ αἰδῶ πάντα πράττειν, νῦν δὲ ἐὰν ἐπιτείνητε τὴν ἀρετὴν διὰ τὸν θεὸν δόξετε μᾶλλον ποιεῖν. μετὰ φόβου καὶ τρόμου. ἀγαθὸν γάρ ἐστιν ἄνευ εὐλαβείας εἰς τὸ διαλοικέναι εἰς τρέμειν, ἀγαθόν τι πρᾶξαι. πῶς δέ ἐστι τὸ τρέμειν; ἐὰν ἐνθυμώμεθα ὅτι πάντα χοῦ πάρεσιν ὁ θεὸς, καὶ πάντα ὁρᾷ καὶ ἀκούει. καὶ ὅτι χαλεπαὶ αἱ ἐνθῦναι. δουλεύσατέ, φησι, τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ
Φωτ. ἐν τρόμῳ. μετὰ φόβου καὶ τρόμου. Καλῶς. δεῖ γάρ φοβεῖσθαι καὶ τρέμειν τὸν τῷ ἐργάζεσθαι τὴν ἰδίαν σωτηρίαν ἕκαστον, μήτε ὑπερπελιθεὶς ἐκπέσῃ ταύ-

τῆς. πολλοὶ γάρ εἰσιν οἱ πειρασμοὶ, καὶ πολλοὶ οἱ ἐπιβουλεύοντες, ὅπου καὶ αὐτὸν τὸν ἀρετὴν ἀναπῆσαι ἐνίοις εἰς ὑπεναντίον ἐκβέβηκεν, ἀπονοίας καὶ ὑπερηφανίας ὑπόθεσις γιγνόμενον. δεῖ οὖν διὰ ταῦτα διεγειρόντας καὶ τρέμοντας, τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθαι. ἵνα μὴ γάρ ὁ θεὸς τὸν ἀγῶνα καὶ τὸν μετὰ φόβου ἀπουσιν βλέπων σωπῇ παρέλθῃ, καὶ τὸ θέλειν αὐτὸ ἐκ εἰς ἀγαθὸν ἀποβήσεται τέλος, καὶ τὸ ἐνεργεῖν ἐκ αὐ κριθείη πρᾶξις ἀγαθή. ἠθέλησε γάρ ὁ Κάϊν θυσίαν θεῷ προσαγαγεῖν, πρᾶγμα θελήσας τότε μάλιστα ἐπαινετὸν, καὶ ἐνήργησεν. ἔθυσε γάρ· ἀλλ' ἐχθέστερον ἀπεδέχθη παρὰ θεοῦ. ἐγγὺς γάρ ἦν μετὰ φόβου καὶ τρόμου. διὸ ἐχθὲς σωπῇ τελάβετο τὸ θεῖον, ἐχθὲς τέλος αὐτῷ ταῦτα ἔρεθι χρηστόν. αὐτὸς δὲ ἐνεργεῖν φησι τὸν θεὸν ἑκάστως. καὶ γάρ σωπῇ παλαμβανόμενος ἡμῶν, αὐτός ἐστιν ὁ τελειῶν καὶ οἱονεὶ μορφοποιῶν τὴν ἡμετέραν καὶ θέλησιν καὶ ἐνέργειαν. δικαίως δὲ τὸ, ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν καὶ ἔξης, καὶ ὡς αἴτια ἥρηται τοῦ χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. τί γάρ γογγύζῃς, φησὶν, ὡς κοπιῶν; ὁ θεός ἐστιν ὁ πάντα ἐνεργῶν, καὶ τί διαλογίζῃ τὸ ἐπίπονον τῆς ἀρετῆς, θεὸν ἔχων συνεργόν;

» Ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν, καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.
» πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι,
» τέκνα θεοῦ ἀμώμητα, ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε ὡς
» φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ, εἰς ἡμέραν χριστοῦ,
» ὅτι οὐκ εἰς κενὸν ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα.

Ἐπειδὴ εἶπεν ἐν φόβῳ καὶ τρόμῳ, φησὶν, ἀλλὰ μὴ φοβεῖσθε διὰ τοῦτο. ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν, τουτέστι τὸ πρόθυμον τὸ ἀγαθόν. ὥστε ὑμᾶς χρὴ μόνον γνώμην εὐλαβῆ προσενεγκεῖν, καὶ τὸ θέλειν τὰ ἀγαθὰ μετὰ φόβου καὶ τρόμου. ὅταν γάρ ᾖ τοῦτο, λοιπὸν ὁ θεὸς καὶ τὸ θέλειν αὐτὸ αὔξει. καὶ τὸ κατεργάζεσθαι τὰ ἀγαθὰ ἐνεργήσει. ἢ ὅτι διὰ πολλὴν εὐγνωμοσύνην ὁ Παῦλος ἐκ αὐτὸ τὸ θέλειν λέγει ἐκ τοῦ θυ ἐνεργεῖσθαι, ὡς ὅταν τὰ κατορθώματα αὐτοῦ, πολλάκις χαρίσματα καλεῖ, ὑκ ἀναιρῶν τὸ αὐτεξούσιον, ἄπαγε, ἀλλὰ σφόδρα ὢν εὐχάριστος καὶ πάντα ἀνατιθεὶς τῷ θεῷ, ἵνα καὶ ὑπὲρ ὧν ἡμεῖς κατορθοῦμεν, χάριν ἔχωμεν τῷ θεῷ. ἐν ὑμῖν. ἐν ὑμῖν τοῖς μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργαζομένοις. τοῖς γάρ τοιούτοις συνεργεῖ. ὑπὲρ τῆς εὐδοκίας. ὑπὲρ τοῦ πληρωθῆναι εἰς ὑμᾶς τὴν εὐδοκίαν καὶ τὴν βουλὴν αὐτοῦ. χωρὶς γογγυσμῶν. ὁ γάρ γογγύζων, ἀχαριστεῖ τῷ θεῷ. ὁ δὲ ἀχαριστῶν, δυσφημεῖ. διαλογισμοὺς δέ φησι τοὺς ἀμφιβολίας. ἐνταῦθα γάρ θεοῦ προκειμένου, ἃ δεῖ ἀμφιβάλλειν ἄρα δεῖ πρᾶξαι ἢ μὴ ποιῆσαι, ἀλλὰ πάντα ποιεῖν. ἵνα γένησθε ἄμεμπτοι. ἵνα γένησθε, φησὶν, ἀληθινοὶ καὶ ἀπρόσκοποι καὶ ἄψεκτοι. ἐν μέσῳ γενεᾶς σκολιᾶς. δείκνυσιν ὅτι πολλοὶ ἦσαν οἱ πολεμοῦντες, καὶ πρὸς γογγυσμὸν ἄγοντες. ἀλλὰ τοῦτο φυάρειζόν, φησὶ, τὸ παρακινούμενον μήτε γογγύσαι, μήτε εἰς ἀμφιβολίαν πεσεῖν ἢ διαγμόν. ἐν οἷς φαίνεσθε. ἐν οἷς σκολιοῖς καὶ διεστραμμένοις, ὡς φωστῆρες φαίνεσθε. καὶ γάρ ὥσπερ οἱ φωστῆρες ἐν σκότει λάμπουσι, καὶ ὑμεῖς ἐν μέσῳ τῷ σκότει ὢν

ἁμαρτιῶν

ἁμαρτιῶν αὐτῶν λάμψετε. λόγον ζωῆς ἐπέχοντες. τουτέστι σπέρματα ζωῆς καὶ ἐφόδια ἔχοντες, ὡστε ἔλεγε, γινωσκόμενοι ὅτι ὑμεῖς ὧν ζηλωτὴς ἐστὲ τοῦ ἀθανάτου ζωήν. ἐκεῖνοι γάρ, ὧν τεθνηξόμενοι ἦσαν θάνατον θάνατον. ὁρᾶς καὶ πολιτεύεσθαι εὐθὺς τὰς ἀμοιβὰς τῆς ἀρετῆς; ἡ καύχημα ἐμοί. τοῦτο γὰρ ἡ μόνον ὑμῖν, ἀλλὰ καὶ ἐμοὶ φέρει καύχημα, ὅτι τοιούτοις ἐπαύσασα. ὅτι γὰρ ἧς κενὸν ἔδραμον. τοῦτον καύχημα ἔχεις ὦ μακαρία ψυχή; ὅτι γὰρ ἧς κενόν, φησιν, ἔδραμον, γὰρ ἐκοπίασα. τουτέστιν ὅτι γὰρ ματαία καὶ ἀνωφελὴς γέγονέ μοι ἡ ἧς ὑμᾶς διδασκαλία. ἀλλὰ, ἡ ἀπένδομαι, τουτέστιν ἡ καὶ ἀπροθυμήσω, φησὶ, καὶ οἷον θυσίαν μέλλω καὶ σπονδὴν ἐμαυτὸν προσφέρειν Χριστῷ, (τὸ γὰρ ὑπὲρ Χριστοῦ ἀποθανεῖν, θυσίαν ἐστιν ἑαυτὸν προσενέγκαι Χριστῷ,) χαίρω, φησίν. γὰρ δεῖσεν, ὡς νῦν ἀποθυήσκειν μέλλων, ἀλλὰ τὸ ὕστερον ἐσόμενον προεξηγεῖται, καὶ προπαραμυθεῖται τοὺς μαθητὰς, δεικνὺς ὡς χρὴ λυπεῖσθαι ἐπὶ τῇ τελευτῇ αὐτοῦ, ἥτις ὡς σπονδὴ καὶ θυσία προσάγεται Χριστῷ, ἀλλὰ καὶ χαίρειν.

» Αλλ' ἡ καὶ ἀπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ
» συγχαίρω πᾶσιν ὑμῖν. τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι.

Φωτ. Τὸ χωρίον τοῦτο, ἢ ὡς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο ἐκληπτέον, ἢ καὶ οὕτως. ἀνῆ καὶ θύομαι δηλονότι τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, ἵνα ἱερούργησα τῷ θεῷ, χαίρω μὲν ὡς ἀληθῶς. χαρὰ γὰρ διδασκάλου, ἐπὶ οἷς μαθητευθέντων τελειότης. συγχαίρω δὲ, ὅτι καὶ αὐτοὶ τελειούμενοι χαρᾶς ἀπολαύετε μεγίστης. ὥστε ἐγὼ μὲν διὰ τοῦτο χαίρω καὶ συγχαίρω ὑμῖν, καὶ ὑμεῖς δὲ ὀφείλετε χαίρειν, ὅτι γένεσθε τῷ τελειότητι, καὶ συγχαίρειν ἐμοί, ὅτι ὑπεφάνατε τὸν διδάσκαλον. δοκεῖ δὲ ἴδιος τὸ, ἀνῆ καὶ ἀπένδομαι, ξυνοίαν παρασάγειν, ὅτι ἡ μὲν ἐπὶ τῇ θυσίᾳ αὐτῶν ἐπένδετο, ἐλυπεῖτο ἄν. τοῦτο γὰρ ὑποφαίνει ὁ τοῦ λόγου σχηματισμὸς, καὶ φαμὲν, ὅτι γὰρ τοῦτο ἄρτιον. ἡ γὰρ αὐτὸς προέφη ἀναγκαιότερον ἡγεῖσθαι τὸ ἐπιμένειν αὐτὸν τῇ σαρκὶ διὰ τοὺς προκοπὴν καὶ τοὺς τελείωσιν ὧν μαθητῶν, πάντως ἂν ἐλυπήθη θυόμενος, ἐκείνους μήπω τελειώσας, μὴ δὲ τὸν πίστιν αὐτῶν ὡς θυσίαν ἔχων καὶ λειτουργίαν προσαγαγεῖν τῷ Χριστῷ. καὶ ἄλλως δὲ, γὰρ ἀπλῶς ἂν ἠρεύσαρο θύεσθαι, ἡ μὴ ἐφ' ᾧ ἀπουσιῶσι καὶ θερμὸς κῆρυξ τῆς πίστεως γέγονε, καὶ ἐφ' ᾧ τοὺς μαθητὰς οὕτως κατήρτισεν, ὥστε δύνασθαι αὐτῶν ὡς θυσίαν καὶ λειτουργίαν τὸν πίστιν προσάγειν τῷ θεῷ. ὁ γὰρ διὰ πάντα θυόμενος, οὗτος ὡς ἀληθῶς χαίρει καὶ ἀγάλλεται θυόμενος. γὰρ εἷς γὰρ μάτην αἱρεῖται σφάττεσθαι. δοκεῖ δὲ καὶ οὕτως. ἀπένδομαι νῦν τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσι. καὶ γὰρ ἀμαχοῦ φησι, καθ' ἡμέραν ἀποθνήσκω. ἀλλ' ἡ καὶ θύομαι, φησὶ, τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσι, (δεσμὰ γὰρ περιέκειτο αὐτῷ,) ἀνῆ οὖν ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν χαίρω καὶ ἔξωθεν. ἡ καὶ οὕτως. ἀνῆ οὖν ὅτι ἐπὶ τῇ θυσίᾳ, τουτέστιν ἕνεκεν ὑμῶν καὶ τοῦ ἐξ ὑμᾶς κηρύγματος, χαίρω καὶ ἔξωθεν. ἐπὶ τῇ θυσίᾳ. ἡ καὶ τελευτῶ, φησι, καὶ ἀπένδομαι, χαίρω καὶ συγχαίρω ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, τουτέστι χαίρω ὅτι καὶ ὑμᾶς ὡς θυσίαν καὶ λειτουργίαν προσφέρω

προσφέρω χριστῷ μᾶλλον δὲ χ' ὑμᾶς, ἀνῆ τὴν πίστιν ὑμῶν, ὡς θυσίαν καὶ λειτουργίαν προσφέρω. χαίρω οὖν, ὅτι ἐγὼ ἀπένδομαι. συγχαίρω δὲ καὶ ὑμῖν, ὅτι τὴν πίστιν ὑμῶν ὡς θυσίαν καὶ λειτουργίαν προσφέρειν μέλλω χριστῷ. χαίρετε καὶ συγχαίρετέ μοι. Ἐπὶ μὲν τῇ πίστει ὑμῶν χαίρετε, ἐφ' οἷς δὲ ἀπένδεσθαι
» μέλλω, συγχαίρετέ μοι. Ἐλπίζω δὲ ἐν κυρίῳ Ἰησοῦ, Τιμόθεον ταχέως πέμψαι Κεφ. δ'.
» ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. γὰρ ἔχω ἰσόψυχον, ὅς τις γνη-
» σίως τὰ περὶ ὑμῶν μεριμνήσει. οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν γὰρ τὰ Χριστοῦ Ἰησοῦ.
» τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγ-
» γέλιον. τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι ὡς ἂν ἀπίδω τὰ περὶ ἐμὲ ἐξαυτῆς.
» πέποιθα δὲ ἐν κυρίῳ ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι.

Καὶ τὸν πέμψαι Τιμόθεον, τὴν γνώμην τοῦ Ἰησοῦ Χριστοῦ ἀναπαύσησιν. ἵνα κἀγὼ εὐψυχῶ. καθὼς, φησιν, ὑμεῖς εὐψυχεῖτε μαθόντες τὰ καθ' ἐμὲ, ὅτι τε εἰς προκοπὴν ἦλθε τὸ εὐαγγέλιον, καὶ ὅτι οἱ ἐχθροί κατησχύνθησαν, ὧν κατασκευασμάτων αὐτῶν ἦ ἀγαθὸν ἐμοὶ περιτραπέντων. ἵνα κἀγὼ εὐψυχῶ, καὶ εὐθυμῶ, γνοὺς τὰ καθ' ὑμᾶς. γὰρ ἕνα γὰρ ἔχω ἰσόψυχον. ἀλωμαίνην μέν, φησι, καὶ ἄλλον πέμψαι, πλὴν οὕτως ὑμῶν ἀντιλαμβανόμενον ἢ μεριμνῶντα τὰ καθ' ἡμᾶς, δ' ἕναὲ χω ἕτερον. ἰσοψυχίας γὰρ τὸ ὁμοίως Παύλου κήδεσθαι αὐτῶν καὶ τὸν Τιμόθεον. οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσι. τουτέστι πρὸς ἰδίαν ἀνάπαυσιν. οὐδεὶς γάρ, φησιν, ἐνχερῶς πρόσεται τὸ τῷ χριστῷ δοκοῦν καὶ τὸ ὑμῶν συμφέρον, ἕλοιτο τοσαύτην ἀποδημίαν στείλασθαι πρὸς ὑμῶν. τοῦτο δέφησιν, ἡ τοὺς ἄλλους λοιδορῶν, ἀνῆ τὸν Τιμόθεον ἐγκωμιάζων, καὶ ἡμᾶς διδάσκων μὴ τοῖς ἴσοις περιπίπτειν. πλὴν ὅρα, ὅτι ὁ ἄνεσιν ζητῶν, ἢ τὸ οἰκεῖον μόνον συμφέρον, ἡ τὰ Χριστοῦ ζητεῖ. ὅτι ὡς πατρὶ τέκνον. ἡ δεῖδε, φησὶ, παρ' ἐμοῦ μαθεῖν, ὅτι μετὰ τὸ ἐμοὶ ὑπερτεθῆναι, ἐδούλευσεν εἰς τὸ κήρυγμα. παρατίθεται δὲ αὐτὸν ἠθικῶς, καὶ τὸν διὰ τὸ ἐκείνων συμφέρον, ἵνα εὔτιμον ἔχοντες αὐτὸν, πλέον ἀκούσωσι καὶ πλέον ὠφεληθῶσιν. ὡς ἂν ἐλπίδω τὰ περὶ ἐμέ. ὅταν ἴδω, φησὶν, εἰς πρῶτον ἥξει τὰ κατ' ἐμὲ πράγματα. ἑξαυτῆς. εὐθέως. πέποιθα δὲ τῷ κυρίῳ. οὐχ ὡς μὴ ἐρχόμενος, φησὶ, τὸν Τιμόθεον πέμπω, ἀνῆ ἵνα ὂν τῷ μέσῳ χρόνῳ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. ὅρα δὲ πάντα τῷ θεῷ ἀναπέμπει, καὶ οὐδὲν ἀφ' ἑαυτοῦ λαλεῖ.

» Αναγκαῖον δὲ ἡγησάμην Επαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρα-
» τιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου πέμψαι πρὸς ὑμᾶς.
» ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς καὶ ἀδημονῶν διότι ἠκούσατε ὅτι ἠσθένησε. καὶ
» γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀνῆ ὁ θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ
» μόνον, ἀνῆ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπην σχῶ.

Μετὰ ἐπαίνων καὶ τοῦτον ἀποστέλλει ὡς τὸν Τιμόθεον, διὰ τὴν ἐκεῖ γεγραμμένην αἰτίαν. καὶ συστρατιώτην μου. τοῦτο μεῖζον τοῦ συνεργοῦ. δεῖ γὰρ καὶ ὁν φιλοῖς συνεργεῖν. ὁ δὲ συστρατιώτης, ἐν κινδύνοις καὶ πειρασμοῖς συνεργεῖ. ὑμῶν δὲ ἀπόστολος, καὶ λειτουργὸς τῆς χρείας μου. Διὰ αὐτοῦ γὰρ ἦσαν αὐτῷ τὰ πρὸς χρείαν πέμψαντες.

πέμψαντες. διὸ ἀπόσολον ἐκείνων, καὶ τᾶς οἰκείας χρείας λειτουργὸν αὐτὸν καλεῖ. ἐπειδὴ ἔπαθεν ὑπὲρ αὐτᾶς, ἃς σύσασιν πεποίηται. καὶ ἀδιαμονᾶν. ἀδιαμένει ἁδονᾶς ὅτι φιλεῖται παρ' ὑμῶν, καὶ διὰ τᾶτο γινώσκων ὅτι λυπηθήσεσθε ἐπὶ τᾷ ἀῤῥωστίᾳ αὐτᾶ. καὶ γὰρ ἠσθένησε. δείκνυσιν ὅτι γὰρ ἀμελήσας ἤργησε πέμψαι τινὰ πὰς αὐτᾶς, ἀλλ' ἠναγκάσθη. ὁ γὰρ Ἐπαφρόδιτος ἠῤῥώσθη. Τιμάσεον δὲ τὸν καὶ ἐλθεῖν δυνάμενον, μόνον εἶχε. πῶς ὦν ἀπεστειλεν ἂν αὐτόν; ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησε. τί ἐροῦσιν οἱ αἱρετικοί, οἱ λέγοντες καὶ τὸν κόσμον; ἰδοὺ γὰρ ὁ ἀπόσολος ἔλεον θεοῦ καλεῖ, τὸ ἐαθῆναι τὸν Ἐπαφρόδιτον ἀπὸ τᾶς ζωᾶς. ἀλλά τί δὲ ὅλως, (τοῦτο γὰρ ὡς πὰς Χριστιανοὺς ζητητέον, ἢ τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι καλὸν,) ἔλεον λέγει τὰν ἀπὸ ταῦθα ζωάν; καὶ φαμεν, ὅτι δι' ἣν αἰτίαν ἄνω ἔστιν, ἀναγκαιότερον δὲ τὸ ἐπιμεῖναι τᾷ σαρκὶ Διὰ ὑμᾶς, διὰ τᾶτο καὶ νῦν τοῦτο φησίν. ἀμὰ καὶ ἐμέ. ὅρα πῶς ἀσφαλέστερον αὐτὸν πρεῖ, ὡς τᾷ ἐκείνου ὑγείᾳ ἑαυτὸν ἠλεῆσθαι λέγειν. ἵνα μὴ λύπωμαι ἐπὶ λύπῃ σχῶ. πὰς τᾷ αὐτὰ τᾶς ἀῤῥωστίας αὐτοῦ, καὶ τὰν αὐτὰ τοῦ θανάτου, φυτέσιν, ἵνα μὴ λύπωμαι τὰν τᾶς ἀῤῥωστίας αὐτᾶ, ἐπὶ λύπῃ τὰν τοῦ θανάτου, κρατήσω.

» Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν πάλιν χαρῆτε, κἀγὼ » ἀλυπότερος ὦ. προσδέχεσθε οὖν αὐτὸν ἐν κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιού- » τους ἐντίμους ἔχετε. ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ, μέχρι θανάτου ἤγγισε, παρα- » βουλευσάμενος τᾷ ψυχᾷ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα, τᾶς πρός με λειτουργίας.

Πάλιν χαρῆτε. μὴ μόνον ἐκ τᾶς ἀκοᾶς ὅτι ὑγιαίνων ἀμὰ καὶ ἐκ τᾶς θέας. κἀγὼ ἀλυπότερος ὦ. ἐὰν γὰρ ὑμεῖς χαρῆτε, καὶ ἐγὼ χαίρω, ἀλλ' ἂν εἴπω, χαίρω, ἀλλ' οὐδὲ ἄλυπος ἔσομαι, ἀμὰ ἀλυπότερος, δείκνυς ὅτι χαίρητε ἐὰν χωρὶς λύπας τᾶς ὑπὲρ ἐμᾶν μαθητᾶν, καὶ τᾶς ὑπὲρ τοῦ πολέμου τᾶς πίστεως. ὑπὲρ γὰρ τᾶς ἐλπίδος ἀεὶ ἔχαιρε. προσδέχεσθε οὖν αὐτὸν, ἤ διὰ τὸν κύριον, ἢ θεοῦ θέλοντος. ἐπὶ τοιούτοις ἐντίμους ἔχετε, καὶ δι' αὐτᾶ ἐκείνους, ἀμὰ δι' ὑμᾶς τοὺς δεχομένους, ἵνα πλεονάσῃ ὑμῶν ὁ μισθός. ὅτι διὰ τὸ ἔργον τοῦ χριστοῦ. οὗτος ἀπελθὼν ἐν τᾷ Ρώμᾳ ἐν τῷ ἀπροσμίζην τὰ πὰς τὰν χρείαν τῷ Παύλῳ, ἤκουσ ὅτι ἔρχεται αὐτὸν ἐν πολλῷ κινδύνῳ, ὡς μὴ δὲ τὸ ἐγγίζειν αὐτῷ, ἐφίεσθαί τινι, ἀμὰ καὶ κίνδυνον εἶναι τοῖς ἐντυγχάνουσιν. ὁ οὖν Ἐπαφρόδιτος τοιοῦτου κινδύνου καταφρονήσας, καὶ ζωᾶς ἔτυχε, καὶ τὰ πὰς τὰν χρείαν ἔδωκε, καὶ δικόνει αὐτῷ. ἔργον δὲ κυρίου καλεῖ τὸ τοιοῦτον. ὁ γὰρ ἐμέ, φησιν, ἀναπαύων, ἢ δι' ἐμὲ τοῦτο πρεῖ, ἀμὰ διὰ τὸν κύριον.

Φωτ. Διὰ τὸ ἔργον τοῦ χριστοῦ. καλῶς ἔργον αὐτὸ χριστοῦ καλεῖ. ἢ γὰρ ὁ δεχόμενος τοιαῦτα μαθητᾶς, αὐτὸν δέχεται τὸν χριστὸν, (ὁ γὰρ δεχόμενος ὑμᾶς, φησιν, ἐμὲ δέχεται,) καὶ ὁ ὑπηρετῶν τινι τοῖς μαθηταῖς, χριστῷ ὑπηρετεῖ. καὶ ἄλλως δὲ ἔργον ἐστὶ χριστοῦ ὅτι πολλᾶς ἐστι Χριστοῦ, τὸ πιθέναι ὑπὲρ τῶν φίλων τὰν ἰδίαν ψυχάν. ἢ δὲ ὑπὲρ φίλων, πόσῳ μᾶλλον ὑπὲρ διδασκάλων; Παραβουλευσάμενος τᾷ ψυχᾷ. τί γὰρ ἢ ὁ θεὸς αὐτὸν, φησιν, ἔσωσεν ἐκ παραδόξου; πλὴν αὐτὸς παρεβουλεύσατο, καὶ ἐς κίνδυνον ἔῤῥιψεν ἑαυτόν. ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα.

ἀπεστείλατέ μοι,

ἀπεστείλατέ μοι, φησὶ, τὰ πὰς τὰν χρείαν, καὶ ἐμνήσθητέ μου ἀπόντος, καὶ τὰν ἀγάπαν ἐδείξατε. ἐλέησεν γὰρ τὸν παντὶ ἔργῳ, καὶ τὸ ἀπολαβεῖν μὲ τὰ ἀπολέντα, καὶ τὸν ὑστερῆσε μόνον. οὗτος πληροῖ τὸ περιλιμπανόμενον ὑστέρημα ἐς τὰν ἐμὰν λῃτουργίαν ἐπλήρωσε παραβουλευσάμενος τᾷ ψυχᾷ. δείκνυσι δὲ ὅτι ὑπὲρ τούτου καὶ τοῖς ἀπεστείλασιν ἔσται μισθός, εἴγε τὸ ἐλλεῖπον τᾶ ἀπαρτισθῆναι τὸ καθ' ἑαυτὸν ἔργον οὗτος περισσευπλήρωσεν ὁ Ἐπαφρόδιτος. ἤτων δὲ, τὸ ὑμῶν ὑστέρημα καὶ λειτουργίας, ἔδειξεν ὀφθαλμόμενον τὸ ἀπεστάλλεσθαι παρὰ ὦν ἐν ἀσφαλείᾳ ὄντων, τοῖς ἐν κινδυνίοις οὖσι. τᾶτο δέφησι, καταγέλλων αὐτοῖς καὶ δεικνὺς χρέος πεπληρωκέναι.

» Τὸ λοιπὸν, ἀδελφοίμου, χαίρετε ἐν κυρίῳ, τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν Κεφ. έ.
» γὰρ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. βλέπετε τὴν κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, 3
» βλέπετε τὰν κατατομήν. ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ, οἱ πνεύματι θεῷ λατρεύον-
» τες, καὶ καυχώμενοι τῷ Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες, καίπερ ἐγὼ
» ἔχων πεποίθησιν καὶ σαρκί. Εἴ τις ἐγὼ, φησιν, δοκεῖ πεποίθησιν ἔχειν, καὶ τὸ εὐαγ-
γέλιον ἐς ἐπίδοσιν ἐλήλυθε καὶ οἱ ἐχθροὶ κατασχύνονται, χαίρειν ὀφείλετε τῷ κυ- Φωτ.
ρίῳ. τὰ γὰρ συμβάντα, ἐς δόξαν σωτείᾳ τοῦ κυρίου. Καὶ ἐπ. ἃ ὁ ἀπόσολος ὑμᾶς ἀνέῤῥωσε, καὶ ἀπέσταλκα πάλιν πὰς ὑμᾶς, καὶ ἐγὼ τᾶς ἐπ' αὐτῷ λύπας ἀπήλλαγμαι, καὶ τὸ ὑμῶν ὑστέρημα ἀναπεπλήρωται, χαίρειν ὀφείλετε χαρὰν πνευματικὰν καὶ ἀξίαν κυρίου. βλέπετε. ἦσαν δυσδιάγνωστοι. Διόφησι, βλέπετε, φυτέσι τηρεῖτε ἑαυτοὺς καὶ φυλάττεσθε. τοὺς κύνας. ἦσαν ἀπὸ Ἰουδαίων τινὲς δοκοῦντες πιστοί, οἳ μετὰ τᾶς πίστεως καὶ τὸν Ἰουδαϊσμὸν ἀνεμίγνυον, καὶ διέφθειρον τὸ κήρυγμα, οὓς κύνας καλεῖ. κύνες δέκονται οἱ ἐθνικοὶ ἐλέγοντο διὰ τὸ ἀγνοεῖν τὸν θεόν. καὶ γὰρ καὶ οἱ κύνες καὶ τὸν διδόντα ὑλακτοῦσι. νῦν δὲ οὐχὶ κύνες, (οἱ γὰρ τὸν ὕδωρ ἀρνούμενοι, δῆλοι τὸν πατέρα ἴσασιν.) ἀλλὰ διὰ τὸ ἀναίσχυντον, ἢ ὡσπερ ἐπιφέροντες ἐς τὸ Ἅγιον ἔθεραμα, ἢ διὰ τὸ λαθραιόδικτον. τᾶ κακοὺς ἐργάτας. ἐργάζονται μὲν γὰρ, οὐ πὰ τῷ κακῷ. τὰ γὰρ καλῶς φυτευθέντα ἀναπαύσει. πὰν κατατομήν. τοὺς περιτεμνομένους φησίν. οὐ γὰρ ἐπειδὴ ἔκ τινος νόμιμος ἐλήνετο πρὸς Ἰουδαίους ἡ περιτομὴ, (ἦν γὰρ νόμιμη νῦν ἐστὶ τὸ πνεύματι περιτέμνεσθαι πὰν ψυχὰν,) καταγνώμην αὐτὰν ἐκάλεσε, δηλῶν ὅτι χάριν ἕτερόν ἐστιν ἡ περιτομὴ, ἢ σώματος κατατομή. τᾶς γὰρ ἀληθείας ἐλπούσης, ἀνάγκη τὰς τύπους ἀργεῖν. ἢ ὅτι πὰν περιτομὰν κυρίπουτες, κατατέμνειν πειρῶνται τὸ σῶμα τᾶς ἐκκλησίας. οἱ πνεύματι θεῷ λατρεύοντες. οἱ πνευματικῶς τῷ θεῷ λατρεύοντες, καὶ πνευματικῶς περιτεμνόμενοι. ἄλλως γὰρ οὔτε λατρεύειν δύνανται τινες. καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ. ὅρα πῶς πὰν διαφορὰν ἔδειξε. ποῖον γὰρ ἄμεινον, Χριστῷ πεποιθέναι, ἢ σαρκί; δηλονότι τῷ Χριστῷ. οὐκοῦν ἀληθὴς ἐστιν ἡμῶν ἡ περιτομὴ, οἳ ἐν Χριστῷ καυχώμενοι, καὶ οὐκ ἐν σαρκί. καίπερ ἐγώ. ἢ ἐβουλόμην, φησὶ, καυχήσασθαι ὥσπερ ἐκεῖνοι, ἔχω μᾶλλον πεπίθησιν κἀγὼ ἐν σαρκί. οἷον ἠδυνάμην κἀγὼ ὡς ἐκεῖνοι ἐπὶ τᾷ τᾶς σαρκὸς περιτομῇ καυχήσασθαι μᾶλλον ἐκείνων.

ἐκείνων. ἔχων πεποίθησιν. ἡ ἰδοὺ δὲ ἐγὼ ὁ ἀπόστολος, εἰ καὶ ἄλλος δοκεῖ πέρ, δίκαιος ἐλπίζειν αὐτὸν πρὸ ἐμοῦ τῶν Ἰουδαίων, ὡς ἀπεσταλμένον τῆς αὐτῶν εὐγλωττίας. καὶ δέφησι, καὶ σαρκὶ ἔχων πεποίθησιν ἐν σαρκί, ταῦτα λέγω, οὐκ ἐπειδὴ καὶ χρῆσίς ἐστιν αὐτῷ αὕτη, (τοῦτο γὰρ ἡ πεποίθησις,) ἀλλὰ διὰ ἐκείνους οὕτως εἶπε. ἐν σαρκί. ἔχω μὲν, φησὶν, ἐν χριστῷ, ἀλλὰ καὶ τὴν δοκοῦσαν ἐν σαρκὶ ἔχω. Διὸ δέ φέγω αὐτὴν ὡς ἀπεσταλμένος τῆς κατὰ σάρκα εὐγλωττίας.

» Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον, περιτομῇ ὀκταήμερος,
» ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος,
» κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, τὴν δικαιοσύνην τὴν ἐν νόμῳ, γενόμενος ἄμεμπτος.

Καλῶς τὸ δοκεῖ. ἢ ὡς γὰρ ἐχόντων τοσαύτην πεποίθησιν ἐκείνων, ὅσην αὐτὸς ἔχει, ἢ ὡς τῆς ἐν σαρκὶ πεποιθήσεως, μὴ δὲ οὔσης κυρίως πεποιθήσεως. εἶτα δὲ, ἄλλος, δείκνυς ὡς γὰρ ἀπὸ τοιούτων λόγους τινὰς ἐλήλυθεν, ἢ μὴ ἄλλοι ἐκ τῶν σάρκα πεποιθότες, ἐκ τούτων αὐτὸν ἤγαγον. ὅρα δὲ πῶς ἀνωνύμως αὐτῶν κατηγόρηται, φοβούμενος μὴ ἀναισχυντέρους ποιήσῃ. περιτομῇ ὀκταήμερος. τὸ ἄμεμπτον παρ' αὐτοῖς τέθηκε πρῶτον, πρὸ περιτομῆς. ὅρα δὲ πόσην σωματικὴν εὐγλωττίαν λέγει, ἵνα μὴ νομίσωσιν οἱ Ἰουδαῖοι, ὡς τούτων αὐτὸν ἀπεστερημένον, λέγειν ἄπορ εἴρηκεν. ἄλλως γὰρ κατισχύουτο, ἐκείνου φέγοντος τὰ παρ' αὐτοῖς, τῷ μάλιστα πάντα ἔχοντος, καὶ φησι, περιτομῇ ὀκταήμερος. τέως δείκνυσιν ὅτι γνήσιος προσήλυτος. ἐκ γένους Ἰσραήλ. δείκνυσιν ὅτι γνήσιος ἐκ προσηλύτων γονέων. φυλῆς Βενιαμίν. τῆς εὐδοκιμούσης, φησὶ, παρὰ Ἰουδαίοις. Ἑβραῖος ἐξ Ἑβραίων. ἀνωθέν, φησι, ὢν εὐδοκίμων Ἰουδαίων ἦμι, (τοῦτο γὰρ εἶναι ἐκ γένους Ἰσραήλ, καὶ μὴ Ἑβραῖον,) τὸ, Ἑβραῖον, ὡς πρὸς τὴν ἐπίθεσιν τῆς Ἑβραΐδος γλώττης δέξαμενος. μετὰ γὰρ τὸ καταπαρεῖναι ἐν τῇσδε τῇσι, πολλῇ τῇ ἀγνοίᾳ τῆς πατρίου γλώττης, ἐκ ἀκριβῶν τὰς παρὰ Ἰουδαίοις γραφὰς, γνοὺς τὸν νόμον αὐτῶν. κατὰ νόμον Φαρισαῖος. ἡ εὐδόκιμος παρὰ Ἰουδαίοις αἵρεσις αὕτη. λοιπὸν γὰρ καὶ τὴν ἐκ προαιρέσεως ἀρετὴν λέγει. τὸ γὰρ πρῶτον, ἀπὸ προαίρετα ἦν. ἐκ προαιρέσεως ὁ ζῆλος, ἀπὸ προαίρετα δὲ ἡ περιτομή, ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, καὶ τὸ ἑξῆς. κατὰ ζῆλον. ἔστι γὰρ εἶναι μὲν Φαρισαῖον, γνήσιον μὴν ζηλωτήν. κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ· ἐπεὶ δὲ ἐν Ἰουδαίοι ἐδόγμασιν τὴν ἐκκλησίαν, γνήσιον δὲ ζῆλον θεοῦ, ἀλλὰ δὲ φιλαρχίαν, ἐτέρως ἀσφαλίζεται. ὁ γὰρ κατὰ τὴν ἐν νόμῳ δικαιοσύνην ἄμεμπτος ὤν, πῶς ἂν δὲ φιλαρχίαν ἔμελλε διώκειν, καὶ γνήσιος κατὰ ζῆλον θεοῦ;

» Ἀλλ' ἅτινά μοι ἦν κέρδη, ταῦτα ἡγημαι δὲ τὸν χριστὸν ζημίαν. ἀλλὰ μὲν δὴ
» καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι, δὲ τὸ ὑπερέχον τῆς γνώσεως χριστοῦ Ἰησοῦ τοῦ κυ-
» ρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα χριστὸν κερ-
» δήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν
» διὰ πίστεως χριστοῦ. Κέρδος λέγει, τὰ ἀπὸ τοῦ νόμου συλλεγόμενα αὐτῷ.
Φωτ. ὥς τε γὰρ κακίζει τὸν νόμον, ὡς οἱ ἀπὸ Μαρκίωνος λυροῦσιν. ἡ δὲ καὶ ἡγεῖται αὐτὰ ζημίαν, οὐχ ἁπλῶς λέγει τοῦτο, ὅπερ οἱ τὸν κακίζοντες τὸν νόμον, ἀλλὰ ζημίαν αὐτὰ καλεῖ,

καλεῖ, τὴν πρὸς χριστὸν συγκρίσει καὶ παραθέσει, ὅπερ μᾶλλον ἐγκώμιον τοῦ νόμου τελεῖ, τὸ μὴ ἁπλῶς ζημίαν αὐτὸν καλεῖν, ἀλλὰ μὴ τὴν πρὸς χριστὸν παραθέσει καὶ συγκρίσει. Ταῦτα ἡγημαι. ἡγοῦμαι πάντα ζημίαν ὦ Παῦλε, καὶ αὐτὰ τὰ σωματικῶς φυλαττόμενα τοῦ νόμου, διὰ τὸ ὑπερβάλλον τῆς γνώσεως χριστοῦ, πῶς λέγεις ἐνταῦθα, διὰ οὗ πάντα ἐζημιώθην; τὸ γὰρ λέγειν, ἐζημιώθην, οὐκ ἔστι ζημίαν ἀπορραλεῖν, (πέρ γὰρ μᾶλλον κερδῆσαι ἐστὶ, τὸ ἐλευθερωθῆναι ζημίας,) ἀλλὰ μᾶλλον πραγμάτων λυσιτελῶν τινῶν σημαίνει ἀπορολήν. πῶς οὖν ἃ ἡγήσατο ζημίαν, ταῦτα ἀπιθέμενος λέγεις, ὅτι ἐζημιώθην; καὶ φαμὲν, ὅτι οὐκ ἀπλῶς ταῦτα ἡγεῖτο ζημίαν, ἀλλὰ πρὸς σύγκρισιν τελειοτέρας τοῦ καθ' Χριστὸν γνώσεως, ἐπεὶ καθ' αὑτὰ, κέρδος αὐτὰ νομίζων. διὸ τὸ μὲν, ἡγοῦμαι ζημίαν, πρὸς σύγκρισιν ὧν βελτίονων, τὸ δὲ, ἐζημιώθην, καθ' αὑτὸ πρὸς τὴν φύσιν τοῦ νόμου. ἢ καὶ πέρ δεῖ ἡμᾶς, ὡς γέμει τῷ θεαστρίῳ Παύλῳ περὶ ἐκλογῆς Ἑλληνικῶν ὀνομάτων. μόνον τὸ ὑποκείμενον δηλῶσαι σπουδῇ. ὥσπερ γὰρ ἀπὸ τοῦ πλούσιον τὸν ἔξουσίαν τοῦ θανάτου τῶν ἡμῶν δηλῶσαι θέλων, ὁδὸν περὶ τῶν λέξιν ἀκριβώσατο, ἀπ' ἀντὶ τοῦ ἡττᾶν, ἐτυράννησεν ἢ ἐβιάσατο, εἴτουν, ἐβασίλευσεν, ὀνόματι ἐυφήμῳ τὸν δύσφημον αὐτῆς τυραννίδα σημαίνων, οὕτω καὶ νῦν, τὸν ἀπορολὴν ὧν ἡζημίων εὔφημον οὖσαν, λέξει παρεδήλωσεν ὀκ εὐφήμῳ, ἤτοι ἐζημιώθην. ζημίαν. φασί τινες τῶν αἱρετικῶν, ἰδοὺ ὁ νόμος ζημία ἐστὶ καὶ σκύβαλα. πῶς οὖν φατὲ, ὑπὸ θεοῦ αὐτὸν δεδόσθαι; ἀπ' ὄρα. ὀκ εἴτε ζημία ἐστὶν, ἀπ' ἡγοῦμαι αὐτὸν ζημίαν. καὶ γὰρ τῆς τῷ γράμματι παρακαθημένους καὶ ἀφισαμένους χριστοῦ, ζημίας γίνεται πρόξενος, ὀ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀπόφασιν τῶν κακῶς αὐτῷ χρωμένων. καὶ γὰρ καὶ χρυσοῦ καὶ μολίβδου κειμένων, καὶ ἀνάγκης οὔσης ἐν τῶν δύο λαβεῖν, ἡ ἁπλέξεταί τις τὸν μόλιβδον, ζημίαν τοῦτον ἡγήσεται, ὀ τῆς μολίβδου φύσει ζημίας οὔσης, ἀλλὰ τῇ τοῦ βελτίονος ἀπορρίσει. τοίνυν καὶ ὁ νόμος, ἡ μή τις αὐτῷ χρήσαιτο ὡς δεῖ, κέρδος ἐστί. χριστῷ γὰρ παραπέμπει. ὁ γὰρ νομοθέτης Μωσῆς περὶ τοῦ χριστοῦ ἤτων ὅτι προφήτην ὑμῖν ἀναστήσει ὡς ἐμέ, ὡς ἐμὲ δὲ, διά τε τὴν σάρκα καὶ τὴν μεσιτείαν, εἶπεν αὐτοῦ δεῖν ἀκούειν. ἡ δὲ τῷ γράμματι παρακαθίσει, ζημίας ἐστὶ πρόφασις. ταῦτα καὶ περὶ τοῦ, ἡγοῦμαι σκύβαλα εἶναι, νοεῖν ἔχεις. καὶ πρῶτον μὲν ἡγεῖται ὄντι, ὅτι γε περὶ τοῦ νόμου τὸ, σκύβαλα, εἶπεν, ἀλλὰ καὶ περὶ ὧν κοσμικῶν πραγμάτων. ἡ δὲ καὶ περὶ τοῦ νόμου, καὶ τὴν τῆς ζημίας διάνοιαν νοήσεις καὶ τὸν καλόν. σκύβαλα γὰρ εἴρηται ἡ καλάμη τοῦ σίτου. ἀπ' ἄχρι μὲν μήπω φανῇ ὁ σῖτος, ἀναγκαία ἡ καλάμη ὡς σωτηρικὴ οὖσα, τοῦ ἐσομένου σίτου, φανέντος δὲ, ἄχρηστος ἀνθρώποις ἡ καλάμη. οὕτω καὶ ὁ νόμος. ἄχρι μὲν μὴ ὤφθη ἀνθρωπίνῃ ὁ χριστὸς, χρήσιμος ἦν. αὐτῷ γὰρ παρέπεμπε. φανέντος δὲ, περιττὸς ὅσον πρὸς τὸ σωματικῶς φυλάττεσθαι τὰ ὑπ' αὐτῷ. ἦν δὲ καὶ ἄλλῳ πρόσωπῳ χρειώδης ὁ νόμος πρὸ χριστοῦ. φιλοσοφώτερος μὲν γὰρ ἦν τῶν Ἑλληνικῶν δογμάτων, παχύτερος δὲ τῆς ἐν χῷ φιλοσοφίας. μέσος οὖν τῆς ἀθωλατρείας ἐ τῆς χῦ πίστεως παρεντεθεὶς ὠφέλησε, καὶ μικρὸν ὑπεξαγαγὼν τ' ἀθωλατρείας,

καὶ τὸ

Τοῦ αὐτ

καὶ τὸ ἐκεῖθεν πάχους, καὶ ἁπτικωτέρους ποιῶν, χρισῷ φανέντι πιστεῦσαι. ἐπεὶ οὖν τὸ οἰκεῖον πεπλήρωκε καὶ χρισῷ παρέπεμψε, φησὶ πρὸς λοιπὸν ἡς τὸ σωματικῶς φυλάττεσθαι, ὥσπερ καὶ παιδὶ ἡς ἀνδρας τελέσαντι λοιπὸν παιδικὴ ἐφ' ἡς καὶ ἀγωγή. Οἰκουμ. Δῶμεν δὲ καὶ καθ' ἄλλο σύμβαλα νοῆσαι τὸν νόμον. τὸ γὰρ σύμβαλον, κτηνώδης ἐστὶ τροφή. καὶ ὁ νόμος γέγονε μετὰ τὴν πίστιν, ἀλογωτέροις ἀνθρώποις ἐστὶν ὁ παραφυλακή. δηλοῖ δὲ ὅλως ἤγνοει αὐτὸν ξυμβαλα καὶ σύμβαλα ὦ Παῦλε; ὅτι ἦλθε πολὺ χρόνον ἐξεμισώσεμε χριστοῦ, τῷ γράμματι παρακαθήμενον, ὃν ὅτι νῦν ἐξεμισοῦν ἐξ αὐτοῦ. ἤδει γὰρ αὐτῷ πνευματικῶς χρήσασθαι, ἀλλὰ περὶ τῆς ξυμβας ἐκείνης φησὶ, τῆς πρὸ τῆς πίστεως αὐτοῦ. καὶ γὰρ μετὰ τὸ παρελθεῖν τὴν ξυμβαν ξυμβασαν ἡμᾶς, ἔτι αὐτῆς μεμνημένοι, ξυμβαν αὐτὴν καλοῦμεν. ὅρα γὰρ πῶς ἀσφαλῶς εἶπεν, ἡγοῦμαι αὐτὸν ξυμβαν, δηλῶν τὸ ὑπερβάλλον τῆς γνώσεως τοῦ χριστοῦ, ὡσεὶ εἶπε, φύσει μὲν γὰρ ἔστι ξυμβα, ἀλλ' ἐπειδὴ δι' ἡμᾶς φυλάττων αὐτὸν γὰρ ἐπεγίνωσκον τὸν χριστὸν, ἡς ξυμβαν μοι ἐλύετο. ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι. ἐπειδὴ τὸ, ἤγημαι, παρελήλυθε χρόνου ἐμφασιν εἶχε, φησὶν ὅτι καὶ νῦν ἡγοῦμαι. καὶ γὰρ, φησι, πολὺ με χρόνου ἐξεμίωσε τοῦ χριστοῦ, ὁ παρὰ τὴν οἰκείαν, ὡς αὐτὸς ἔπρι, θέλησιν, ἀλλὰ παρὰ τὴν ἐμὴν πρὸς αὐτὸν ὁ κατ' ἐπίγνωσιν σχέσιν. πάντα ξυμίαν εἶναι. ἡ γὰρ, φησιν, ἀντιπαράθεσίς τις τῶν τοῦ νόμου θρησκικὴν παραφυλακὴν πρὸς τὸν τοῦ χριστοῦ γνῶσιν, ξυμικὴν εὑρήσει τὸν νόμον. ταύτη διαφορὰ τῆς χριστοῦ, φησι, γνώσεως. δι' ὃν τὰ πάντα ἐξεμιώθη. ὁ μόνον νόμον ἐακὼς ἡς τὸ μὴ σωματικῶς αὐτὸν καὶ τὰ ὧν αὐτῷ τηρεῖν, ἀλλὰ καὶ πάντα τὰ ὧν τῷ κόσμῳ. τὸ γὰρ ἐξεμιώθη, οἷον ἔπασα καὶ ἀπεστερήθη αὐτῶν, μὴ ἔχων ἐμὴν δικαιοζύνιν, ἐμὴν, φησι, τὴν οἷον δὴ ἔργων ἐμῶν καὶ πόνων ὧν κατὰ νόμον. ἣ γὰρ τοιαύτη, φησὶν, οὐδέ ἐστι κυρίως δικαιοζύνη. (εἰ γὰρ καὶ πρὸ σοῦ ἄνθρωπος;) ἀλλὰ διὰ χάριτος καὶ πίστεως Χριστοῦ, ἔστι κυρίως δικαιοζύνη. ἡ οὖν ὁ ἔχων δι' ἔργων δικαιοζύνην, πρόσθραμε τῇ ἐκ πίστεως ἵνα ᾖ τῇ, ὁ μὴ δὲ ἔχων καὶ μὴ πρόσθρέχων, τί πείσεται;

Τὴν ἐκ θεοῦ δικαιοζύνην ἐπὶ τῇ πίστει τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν ὧν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν ὧν νεκρῶν.

Τὴν ἐκ θεοῦ δικαιοζύνην. ἡ γὰρ διὰ πίστεως Χριστοῦ, ἐκ θεοῦ ἐστιν ὅτε ἐκ νόμου. ἐπὶ τῇ πίστει. ἤτις ἐκ θεοῦ, φησι, δικαιοζύνη, ἐπὶ τῇ πίστει καὶ ἐρρήθη τοῦ γνῶναι αὐτόν. ὁ γὰρ τὸν υἱὸν γινώσκων, γινώσκει τὸν πατέρα, καὶ ἀμπαλιν. καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. ἡ γὰρ μὴ πίστις ἡμῖν δηλώσει τὴν δύναμιν τῆς ἀναστάσεως, πρὸς παρασήσει λόγος; καὶ τὴν κοινωνίαν ὧν παθημάτων αὐτοῦ. καὶ γὰρ καὶ τὸ δεῖν κοινωνεῖν ὧν παθημάτων τοῦ Χριστοῦ, διὰ πίστεως ἐγνωμεν τε καὶ ἐπιτελοῦμεν. ὁ γὰρ μὴ πιστεύων ὅτι συμπάσχων καὶ συμβασιλεύσει, οὐδέποτε συμπάθοι. συμμορφούμενος. τουτέστιν ὁμοιούμενος. ὥσπερ γὰρ αὐτὸς, φησιν, ὑπὲρ ἀνθρώπων ἀπέθανεν, οὕτως κἀγὼ ὑπὲρ ὠφελείας ἀνθρώπων ἀποθνήσκω. τὸ δέ ἐστι, καὶ ὑπὲρ Χριστοῦ ἀποθανεῖν. εἴπως καταντήσω. εἴπως, φησίν. ὁρᾷς αὐτὸν μὴ ῥᾳθυμοῦντα ἐπὶ ἀμφιβάλλοντι; ἡς τὴν ἐξανάστασιν ὧν νεκρῶν. τὴν ἀνάστασιν ἐκείνην τὴν ὧδον, τὴν πρὸς αὐτὸν ἄγουσαν, πρὸ ἧς ἀγαχοῦ φησι, καὶ πάντες ζῶν κωρίως ἐσόμεθα. Οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι. διώκω δὲ ἡ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ. ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι. ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ. Ἐπειδὴ εἴτε συμμορφούμενος τῷ θανάτῳ τοῦ χριστοῦ, μέγα δὲ ἦν τὸ ῥῆμα, ὃ μόνον ἱκανὸν ἦν τῷ ἔπεσθαι, εἴτως καταντήσω εἰς τὴν ἐξανάστασιν, ἀλλὰ καὶ σαφέστερον ἡμῖν ἐν δεικνύμενος, ὅτι καὶ συμμορφούμενος τῷ θανάτῳ τοῦ χριστοῦ, οὐπω τι ἄξιον πρεῖ τοῦ σωροῦ τοῦ χριστοῦ, ἐπάγει. ὃ οὐχ ὅτι ἤδη ἔλαβον, φησὶ, τὸ βραβεῖον δηλονότι τοῦ συμμορφωθῆναι τῷ θανάτῳ τοῦ χριστοῦ, ἢ ἤδη ἐκ τούτου τετελείωμαι. διώκω δὲ ἡ καὶ καταλάβω. διώκω δὲ, φησι, τὸ βραβεῖον, ἡ ἄρα καταλάβω αὐτό. ὅρα δὲ πόσην ἐμφασιν ἔχει ὁ λόγος τοῦ, διώκω, καὶ, ἡ καταλάβω. οὐ γὰρ διώκων ἐξ ἀμφιβόλως ἔχων ἡ ἄρα καταλάβοι, οὐδὲν ἄλλο ὁρᾷ, οὐδὲν ἄλλο λογίζεται, ἢ ἐπιτυχεῖν τοῦ διωκομένου. ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ Ἰησοῦ. τουτέστιν ὧν ὥραγματι ὑπ' ἐκατελήφθην ὑπὸ χριστοῦ. ἤδη γὰρ με, φησὶ, φεύγοντα κατέλαβε, καὶ πιστεῦσαι πεποίηκεν. ἐφ' οἷς οὖν κατελήφθην, οἷον ἐπὶ τῷ κηρύξαι, ἐπὶ τῷ βασάσαι τὸ ὄνομα αὐτοῦ ἐμπροσθεν ἐθνῶν καὶ βασιλέων, ἐπὶ τούτοις ἐγὼ τρέχω, ἡ καταλάβω τούτοις γένεσθαι οἷος ἐτελέχθην. ἢ τὸ, ἐφ' ᾧ, ἐπειδὴ νόει, ἵνα οὕτως ᾖ. διώκω δὲ ἡ καταλάβω, ἐπειδὴ κἀγὼ κατελήφθην, ὀφείλω τὸ ὥραγμα λέγων. ἐγὼ ἐμαυτόν. ἅμα δὲ τὸ παθεῖν ἑαυτὸν ὑπόδειγματος κἀκείνους διδάσκων μετριοφρονεῖν, ἐὰ μὴ φιστοῦσθαι ὡς κατειληφότες. οὕτω λογίζομαι. ὡς ἐπὶ δρομέως τὰ πάντα λέγει. τί δὲ οὐ λογίζη κατειληφέναι; τὸν σκοπὸν, φησιν, ἐφ' ᾧ ἀπέσαλμαι, τὸ βραβεῖον, τὸ εἶναι ἄξιος τῆς ἀποστολῆς. ἡ δὲ Παῦλος ὁ ποσοῦτος μὴ κατειληφε, τί μὴ μεῖς ἐροῦμεν; πῶς οὖν ἀγαχοῦ φησι, τὸν ἀγῶνα ἠγώνισμαι καὶ τὸν δρόμον τετέλεκα; ἐπειδὴ πρὸς τὴν ἀναλύσει ἐὼν τότε. ἓν δέ. ἓν δὲ πρῶ, φησι, καὶ ἑνὸς γίνομαι μόνου. Τὸ, ἓν δέ, ἢ κατ' ἔλλειψιν ἐρῆσθαι νομιστέον, ὡς οἱ πρὸ ἡμῶν ἐξέλιφασι. καὶ γὰρ καὶ ἐν τούτῳ σχήματι πλεονάζει, ἵνα λείπῃ, ἓν δὲ φρονοῦίζω, ἓν μελετῶ καὶ δαμερισμῶ. τί τοῦτο; τὰ μὲν ὀπίσω, φησὶ, καὶ ἐξῆς. ἢ οὖν οὕτως ἐκλητέον, ἢ ἑτέρῳ μᾶλλον ὑποπτεῦσαι σχήματι τῷ αὐτὸ κοινοῦ. πολὺς γάρ ἐστι καὶ ἐν τούτῳ ὁ θεῖος Παῦλος. ἵνα ᾖ τὸ, λογίζομαι κατειληφέναι αὐτὸ κοινοῦ. οἷον οὐδὲν λογίζομαι κατειληφέναι, ἀλλ' ἢ ἕν. τοῖον δέ ἐστιν ὃ λογίζομαι κατειληφέναι; ὅτι τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω καὶ ἐξῆς. ἐδεῖ γὰρ αὐτὸν κατειληφέναι ὅτι καὶ σκοπὸν διώκει, καὶ οὐκ ἔστιν αὐτῷ μάταιος ὁ δρόμος. διὸ καὶ ἀγαχοῦ φησιν. οὕτως τρέχω, ὡς οὐκ ἀδήλως, οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. καὶ πάλιν. οὕτως τρέχετε, ἵνα καταλάβητε. τὰ μὲν ὀπίσω, ἐπιλανθανόμενος. τοῦτο γὰρ αὐτὸν ἐποίει τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι, τὸ

νεσθαι, τὸ ὧν ὀπίσω ἐπιλανθάνεσθαι καταδρομάτων. ἔμπροσθεν δέ φησιν, ὡς πρὸς τὸ ἀποκείμενον βραβεῖον. ἀεὶ γὰρ ἔμπροσθέν μου νομίζων αὐτὸ καὶ σπουδαίου ἀντέχον, τρέχω ἐπ' αὐτό. τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. τὸν ζώντων διαῦλον δρόμον τὸ, ἐπεκτεινόμενος, ὡσεὶ εἶπεν. ἔπι ἔχομαι τοῦ δρόμου, ὡς ἔμπροσθεν καὶ σπουδαίου ἀντέχοντος τοῦ βραβείου. ἐκεῖνος γὰρ ἐπεκτείνεται, ὅς τις καὶ ὧν ποδῶν τρεχόντων, τὸ λοιπὸν ἐπινένευκε σῶμα πρὸς τὸν σκοπόν, καὶ μικροῦ τοῖς πόδας παραλαμβάνων ῥῦ τῇ ἐπικλίσει τοῦ λοιποῦ σώματος. τοῦτο δὲ ἀπὸ πολλῆς γίνεται προθυμίας καὶ θερμότητος. κατὰ σκοπὸν διώκω. τίς δὲ τοῦ δρόμου αὐτῷ σκοπός; ἡ βασιλεία τῶν οὐρανῶν, ἣν καὶ βραβεῖον καλεῖ. ἑφερμηνεύων γὰρ ἑαυτὸν φησι. τίς δὲ ὁ σκοπός; τὸ βραβεῖον, φησὶ, τῆς ἄνω κλήσεως. ἐν χριστῷ Ἰησοῦ. ὅλα τῷ χριστῷ ἀναθήσειν. ἐν χριστῷ γάρ, φησι, τρέχω. ἄνευ γὰρ χριστοῦ καὶ τῆς ἐκείνου ῥοπῆς οὐκ ἦν τὸν δρόμον, καὶ βουληθῆναι.

» Ὅσοι οὖν τέλειοι τοῦτο φρονοῦμεν, καὶ εἴ τι ἕτερος φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑ-
» μῖν ἀποκαλύψει. πλὴν ἐφ' ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.

Τοῦτο φρονοῦμεν. τὸ τίνος; ὅτι δεῖ ὧν μὲν ὀπίσω ἐπιλανθάνεσθαι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτείνεσθαι. τοῦτο γὰρ ποιεῖ τελείους, τὸ νομίζειν ἀπολείπεσθαι τοῦ βραβείου. καὶ εἴ τι ἕτερος. εἴ τι ἕτερος, φησί, κατορθώσατε, ὅτι οὐκ ἀπολείπεσθε τοῦ βραβείου, ἀλλ' ἤδη ἐφθάσατε αὐτό, ὁ θεὸς ὑμῖν ἀποκαλύψει, ὅτι, φησὶν, οὐ καλῶς οὕτω φρονεῖτε. ὁ γὰρ οὕτως φρονῶν, ῥαθυμότερος γίνεται. τὸ δὲ, καὶ τοῦτο, ὡς καὶ τὰ ἄλλα πάντα, φησί. πλὴν διὰ οἰκείαν διδασκαλίαν τῷ θεῷ ἀναθήσει. πλὴν ἐφ' ὃ ἐφθάσαμεν. τέως δέ, φησιν, ἐν ὅσῳ ἐκεῖνο ἀποκαλύπτει ὁ θεὸς, ἐφ' ὃ ἐφθάσαμεν μέτρον καὶ κανόνα, ἐφ' οὗτον τὸν τρόπον, τουτέστι τὸ μὴ ἀπολείπεσθαι τῶν προειλημμένων. τὸ δὲ, στοιχεῖν, οἷον ἀρκεῖσθαι, πείθεσθαι, ἐφαρμόσαι. ἢ κανόνα πρὸς πίστιν φησὶν. ὥσπερ γὰρ ἐπὶ τοῦ κανόνος, καὶ ἀφέλης, καὶ προσθῇς, ἐλυμήνω τὸ πᾶν, οὕτω καὶ ἐπὶ τῆς πίστεως. Τέως, φησὶν, ἕως ἂν ὑμῖν ἀποκαλύψῃ τὸ ἀληθές, ὃ κατελάβομεν, μὴ ἀπολέσωμεν. ἀπόλλυται δὲ πῶς; ἂν μὴ νήφωμεν τῆς πρώτης ἀπουδῆς καὶ τοῦ δρόμου παρατραπῶμεν. οἰηθῆναι δεῖ τῷ αὐτῷ κανόνι στοιχεῖν, τουτέστι τὸν αὐτὸν ἀγῶνα σωτηρεῖν. τὸν αὐτὸν ἐπιδεικνυσθαι τρόπον, τὸ αὐτὸ φρονεῖν, πρίτε τῆς πολιτείας, πρίτε τῶν δογμάτων. ὥσπερ γὰρ ὅ, τι τῶν δογμάτων ἀμοιώσας, ἅπαντα κατέλυσε καὶ τὸ ἔμπροσθεν, οὕτω καὶ τῆς πολιτείας ὅ, τι μεταθέμενος καὶ καθυφεὶς καὶ μὴ τῷ αὐτῷ φυλάττων ἀκριβείᾳ, καὶ τὸ προλαβόντα ἐλυμήνατο. εἶτα ἵνα μὴ δόξῃ δυσκατόρθωτον καὶ δύσκολον ἐπιτάττειν, τὸ δι' ὅλου τοῦ βίου ἀρετᾶς καὶ εὐσεβείας σωσασκεῖσθαι, ἐπάγει. μιμηταί μου γίνεσθε. ῥᾷον, φησὶν, ἐθέλειν ἀδωάτων ἀνθρώπῳ, ἀνθρωπος κἀγὼ ὁμοίου πάθους, ὡς ὁρᾶτε μὲ, οὕτω καὶ αὐτοὶ ἀγωνίζεσθε. τῷ αὐτῷ στοιχεῖν κανόνι. τὸ χωρίον τοῦτο, ἢ προτροπῆς ἐστιν, ἢ εὐχῆς. οἰηθῆναι μὲν προτροπῆς, λέγει τὸ, δεῖ. δεῖ ὑμᾶς στοιχεῖν τῷ αὐτῷ κανόνι, τὸ αὐτὸ φρονεῖν. ἢ ὀφείλετε στοιχεῖν τῷ αὐτῷ κανόνι, ὀφείλετε τὸ αὐτὸ φρονεῖν. ἢ δὲ εὐχή,

φωτ.

Τοῦ αὐτοῦ.

ἢ δὲ εὐχή, ἀπὸ κοινοῦ ληφθήσεται τὸ, ἀποκαλύψει. δίον ἀποκαλύψει ὑμῖν τῷ αὐτῷ κανόνι στοιχεῖν, καὶ ἑξῆς. οὐδὲ γὰρ ἄνευ τῆς θείας ῥοπῆς, μηδὲν κατορθούμενον. τὸ αὐτὸ φρονεῖν, φησιν, ἃς ὁ ἐφθάσαμεν ἐν τῇ πίστει, μὴ πλέον, μὴ ἔλαττον.

» Συμμιμηταί μου γίνεσθε ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτως περιπατοῦντας, καθὼς
» ἔχετε τύπον ἡμᾶς. πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν. νῦν δὲ καὶ
» κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοι-
» λία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες.

Συμμιμηταί μου γίνεσθε. γέγραπται μόνον ἐδίδασκεν ὁ μακάριος οὗτος, ἀλλὰ καὶ ἐν ἔργοις τύπος αὐτῶν ἐγένετο. καὶ σκοπεῖτε. ἄνω μὲν ἔλεγε, βλέπετε τοὺς κύνας καὶ τοὺς κακοὺς ἐργάτας, τοὺς ἔτι καὶ μετὰ τὸν πίστιν ἰουδαΐζοντας. νῦν δὲ, κοινὸν αὐτοῖς δίδωσι παρατήρησιν, ἵνα τύπους, φησὶν, ἀναμίγνυσθε, οἷον τύπον φέρουσι τῆς ἐμῆς πρὸς ὑμᾶς ἀναφορᾶς. τοὺς οὕτως περιπατοῦντας. Περιπατεῖν ἐνταῦθα, τὸ βιοῦν καὶ πολιτεύεσθαι λαμβάνει ἁπλῶς. ἐπεδή, φησι, πολλοὶ περιπατοῦσιν, ἧς διάκρισιν ὧν ὀρθῶς περιπατούντων καὶ μή, σκοπεῖτε τίνες περιπατοῦσι κατὰ τὸν τύπον, ὃν πεποιήκαμεν ἡμεῖς, καὶ τύπους ἔσεσθε. πολλοὶ γὰρ περιπατοῦσι. κακῶς, φησὶν, ἅπερ ἐγώ. νῦν δὲ καὶ κλαίων λέγω. ὅρα δὲ παλάγχνα Παύλου, ἐπὶ τοῖς ἑτέρων κλαίοντα κακοῖς. ἐπεδὴ γὰρ αὐτοῖς ἐφύτευνε τὸ νόσημα, πενθεῖ αὐτούς. τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ χριστοῦ. ποίους τύπους κελεύει ἡμᾶς παραφυλάττεσθαι; τοὺς ἐχθροὺς, φησι, τοῦ σταυροῦ τοῦ χριστοῦ. ἦσαν γάρ τινες Χριστιανοὶ μὲν δοκοῦντες, ἐν τρυφῇ δὲ καὶ ἀνέσει ζῶντες, οὓς ἐχθροὺς τοῦ σταυροῦ φησιν. ἦσαν δὲ αὐτῷ πράττουσιν. ὁ μὲν γὰρ ψυχῆς δεῖται γυναίας, παρατεταγμένης εἰς κινδύνους, καὶ μιμουμένης τὸν ἴδιον διδάσκαλον, οἱ δὲ γαστρὶ δουλεύουσιν. ὧν τὸ τέλος ἀπώλεια. καλῶς τὸ τέλος εἶπεν ἀπώλειαν, ἐὰν ἄχρι τέλους μείνωσι τοιοῦτοι. ἦκούς γὰρ ὧν καὶ μεταβληθῶσι. ὧν ὁ θεὸς ἡ κοιλία. ὡς διάνοιαν γὰρ, μᾶλλον δὲ ὡς θεῷ δουλεύουσιν αὐτῇ. περὶ ὧν ἀμαχοῦ φησι, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. καὶ γὰρ κἀκεῖ περὶ γαστρὸς ἔλεγε. καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. πολλοί φασι, τὴν περιτομὴν αὐτὴν δόξαν τούτων ἡγήσεσθαι, ἀλλ' οὐκ ἔστιν. ἀνὴ ὅτι, φησὶν, ἐφ' οἷς ἐγκαλύπτεσθαι καὶ αἰσχύνεσθαι ἔδει, ἐπὶ τούτοις καυχῶνται. οἱ τὰ ἐπίγεια φρονοῦντες. οἱ γάρ εἰσιν καὶ πτυφλοῦ πεξηρωμένοι τὰ ἐπίγεια φρονοῦσιν.

» Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα
» κύριον Ἰησοῦν χριστὸν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ
» γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν τοῦ δύνα-
» σθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. Δεῖ οὖν τὸ ἐν οὐρανῷ ζητεῖν, οὗ θα ἡμῶν τὸ πολίτευμά ἐστιν. ἐκεῖ γὰρ στρατευόμεθα, ἐκεῖ πολιτευόμεθα. ἐξ οὗ καὶ σῴζ. ἐξ οὐρανοῦ τὸν κύριον ἡμῶν καὶ σωτῆρα ἀπεκδεχόμεθα, οὐ τὴν πατρῴαν φανησόμενον δόξαν, οὐ τὴν δευτέραν παρουσίαν μετὰ ὧν ἁγίων αὐτοῦ ἀγγέλων, ὅς, φησι, καὶ μετασχηματίσει καὶ μεταβαλεῖ τὸ νῦν σῶμα. τὸ ταπεινώσεως δὲ αὐτὸ ἐκάλεσε, διὰ τὸ ὑπόκεῖ

θαι φθορᾶς καὶ πάθεσι καὶ ὀδυνίαις. καὶ ποιήσει, φησίν, ὅμοιον ἐκείνῳ τῷ σώματι αὐτοῦ, τῷ ἐκ δεξιῶν τοῦ πατρὸς καθημένῳ, τῷ προσκυνουμένῳ παρὰ πάντων ἀγγέλων. καὶ γὰρ εἰς ἀφθαρσίαν καὶ τὸ ἡμῶν μεταβληθήσεται σῶμα, χάριτι τοῦ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ καὶ τῆς ἐκπωμούσης πάντας τῆς δόξης, καὶ μετὰ δαιμόνων παρομοίως. ὃς μετασχηματίσει. πολλοὶ νομίζουσιν ἕτερον σῶμα πνευματικὸν ἐγείρεσθαι τῇ ἀναστάσει, καὶ γὰρ οὗ νῦν προσκείμεθα, διὰ τὸ ἡρῆσθαι μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ σῶμα τῆς δόξης αὐτοῦ. ἀκούσατε τί φησι Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ. καὶ γὰρ πρὸ τελείων τὸ σῶμα, σῶμα δόξης ἐστὶ πρὸ τῆς παραβάσεως, καὶ οὕτως ἔνδοξον ἦν, ὅτι γυμνὸς μετὰ τὴν παράβασιν, σῶμα ταπεινώσεως λέγεται. ὁ γὰρ ἀνὴρ ἡ μὴ ἔνδοξον ἦν, ταπεινώσεως γυμνὸς ἐκλήθη. ταπεινοῦται γὰρ ἀπὸ σφάλματος τὸ ἔνδοξον. τὸ γὰρ ἀεὶ ταπεινὸν γνῶτε ἄντις ἔστοι ὅτι διὰ τὴν παράβασιν ἐταπεινώθη. καὶ γὰρ καὶ περὶ τοῦ ἰσραὴλ φησί, λέγομεν ὅτι ἔστοσε, περὶ δὲ τοῦ ἀεὶ κλαίοντος, οὐκ ἄντις ἔστοι ὅτι ἁμαρτήσας ἔστοσεν. ὥστε τὸ σῶμα ἄφθαρτον καὶ ἔνδοξον γινόμενον, ἀνίσταται, καὶ γὰρ ἕτερον. εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον. ἰσχυρὰν καὶ ἀναμφίλεκτον πᾶσιν τίθησι τὸ πάντως μετασχηματισθῆναι τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν οὐ μόνον βουλώμεθα, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῆς δόξης αὐτοῦ. ἢ γάρ, φησίν, ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ χριστὸς ἐπὶ γῆς παραγίνεται, τίς ἀμφισβητήσει ὅτι γε πάντως ἔσται τότε; εἶτα ἕτερα καὶ ἕτερα ἀπόδειξιν ὑποτάξαι ἑαυτῷ βούλεται πάντα. δεῖ γὰρ αὐτὸν, φησι, βασιλεύειν ἄχρις οὗ ὑποταγῇ αὐτῷ τὰ πάντα. καὶ ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα. ἢ ὅταν αὐτὸς ὁ υἱὸς βασιλεύσει, ἵνα ὑποτάξῃ αὐτῷ τὰ πάντα, καὶ πάντα ὑποταγήσεται αὐτῷ πάντως, δηλονότι καὶ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν ἄνθρωπον ἡμεῖς τελείσωμεν, ὑποταγήσεται αὐτῷ. ὑποτάσσεται δὲ, ὅτε μηδὲν φασιδὲς καὶ πολέμιον πρὸς τὸν ὑποτάξαντα αὐτῷ ἑαυτῷ φέρῃ, ἀλλὰ πάντα σύμφωνα καὶ σωάδοντα, ὥστε πίστει καὶ ἐν πολιτείᾳ. ὅτε δὲ οὕτως ὑποταγῇ αὐτῷ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, μεταχηματίσεται δηλονότι ἀπὸ τῆς ταπεινώσεως τῆς κατὰ τὴν ἁμαρτίαν καὶ τὴν φθοράν, καὶ γίνεται σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. μάταιος ὁ φόβος. ᾧ δεῖ δὲ λέγειν ὅτι τῷ σώματι τοῦ υἱοῦ, ὁ υἱὸς ὑποτάξῃ τὰ πάντα, διὰ ὅτι αὐτὸς ἑαυτῷ, ὁ πατὴρ ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. ὡς καὶ ὁ Παῦλος ἀλαχοῦ φησι. δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. καὶ ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα. ὧν ὅσων θείων λογίων πρὸς ταῦτα λεγόντων, πῶς γὰρ δεῖ λέγειν ὅτι ὁ κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς ὁ χριστὸς αὐτός ἐστιν ὁ καὶ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν μετασχηματίζων, καὶ ὁ ἐνεργῶν τοῦ εἰς αὐτὸν τῶν πάντων ὑποταγήν; τοῦ δὲ υἱοῦ ὑποτάσσοντος, καὶ ὁ πατὴρ ὑποτάσσει. κοινὰ γὰρ τὰ τοῦ πατρὸς καὶ υἱοῦ. καὶ τοῦ τοῦ ἐνεργείας. εἶτα λοιπὸν, καὶ λογισμὸν δίδωσι τοῦ οὕτω παραδόξου πράγματος. ἔστι γὰρ παράδοξον, τὸ γίνεσθαι σύμμορφον τὸ ἡμῶν σῶμα, τοῦ θείου ἐκείνου σώματος.

τοῦτο

τοῦτο γάρ, φησιν, ὁ θεὸς καὶ πατὴρ ποιήσῃ, ἀπὸ τῆς ἐνεργείας, τουτέστι καθὼς τὴν ἐνέργειαν ἐκείνου, ἐξ ἧς δύναται καὶ ἐδυνήθη ὑποτάξαι τῷ υἱῷ αὐτοῦ τὰ πάντα. τοῦτο γὰρ οὖν, φησι, δουλώσεται αὐτῷ, εἰς τὸ ἐξαφθαρσίαν μεταβαλεῖν. ὅρα δὲ πρόσην οἶδεν ὁμογωμοζύγιον τῆς ἁγίας τριάδος, ὅτι ἄνω τὸν υἱὸν ἐφθέμενος τὴν ἀναγκὴν τοῦ σώματος ἡμῶν βοηθεῖσθαι, νῦν τὸν πατέρα τοῦτο ποιεῖν λέγει. ἆρα δὴ ἐὰν οὕτω νοήσωμεν, μὴ γλυκερόν ἐστιν ὅτι ὁ υἱὸς τοῦτο ποιήσῃ κατὰ τὴν δύναμιν αὐτοῦ ἐκείνου, ἐν ᾗ ὑπέταξε τῷ ἰδίῳ σώματι τὰ πάντα; ἀλλ' ἡ οὕτω νοήσομεν, δέος ἐστὶ μὴ δόξωμεν διαιρεῖν μετὰ τὴν ἕνωσιν, τὴν μίαν συναρκοῦσαν τοῦ θεοῦ λόγου φύσιν.

Κεφ. δ'. 4

» Ὥστε ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτως στήκετε ἐν
» κυρίῳ ἀγαπητοί. εὐοδίαν παρακαλῶ, καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ. ναὶ
» ἐρωτῶ καὶ σέ σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς. αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλη-
» σάν μοι μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

Μεγάλα τοῦ ἐγκώμια, τὸ εἶναι Παύλου ἀδελφούς. καὶ γὰρ μόνον, ἀλλὰ καὶ ἀγαπητούς, καὶ ἐπιπόθητους, καὶ γὰρ μόνον, ἀλλὰ καὶ χαρὰν αὐτοῦ καὶ στέφανον. οὕτως στήκετε. οὕτως. πῶς; ὡς νῦν, φησίν, ἀκλινεῖς καὶ ἑδραῖοι ἐν τῇ πίστει Χριστοῦ. Εὐοδίαν παρακαλῶ καὶ Συντύχην. αὗται αἱ γυναῖκες, αἳ ἐν εὐδοκίμων ἦσαν σφόδρα. τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ. ὅπερ νῦν φρονοῦσιν. ἐρωτῶ καὶ σέ. παρακαλῶ καὶ σὲ, ὥσπερ ἐκείνας, φησίν. σύζυγε γνήσιε. ἐκ τούτου τινὲς ὑπενόησαν, γυναῖκα ἔχειν τὸν Παῦλον, καὶ αὐτὴν γράφειν. ἀγαθὸν τὸ τοιοῦτον. δίον γὰρ ἴσως, ἡ ἐν Φιλίπποις ἡ ξένιον καὶ ἀγοστρίαν καθελεῖσθαι αὐτῷ, καὶ οὔτε ἐν Ταρσῷ, οὔθ' ἑκάστοτε, οὔτε ἐν Ἱερουσαλήμ, οὔθ' ἑτέρᾳ πόλει ἀνήρομεν, ἢ ὅτι ἀνὴρ μιᾶς ἦν ὧν δύο ὧν ἐμνήσθη, ἢ ὄνομα κύριον, εὐδόκιμος δέτις, ᾧ καὶ πραπίδεται τοὺς ἀριθμοὺς γυναῖκας. συλλαμβάνου αὐταῖς. σύμβραβε εἰς τὰ πρὸς τὸν θεόν. συνήθλησάν μοι. κινδύνοις ἀνίπεται, οἷς καὶ αὐταὶ συνυπέμειναν. καὶ ὧν λοιπῶν συνεργῶν μου. ἦσαν μὲν, φησι, καὶ ἕτεροι πρὸς τὸ κήρυγμα συνεργοί, πολλοὶ καὶ αἱ γυναῖκες αὗται συνήθλησαν. ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. ὅσον μέγιστον ὧν εἶπεν ὁ θεὸς τῆς ἑαυτοῦ μαθητάς, τοῦτο δὲ ὁ Παῦλος περὶ ἐκείνων λέγει. τί γὰρ ὁ χς; μὴ χαίρετε, φησίν, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν βίβλῳ ζωῆς.

» Χαίρετε ἐν κυρίῳ πάντοτε, πάλιν ἐρῶ χαίρετε. τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν
» ἀνθρώποις. ὁ κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετ' εὐχα
» ριστίας, τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχου
» σα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν Χῷ Ἰησοῦ.

Ὁ Χριστός, φησι, μακάριοι οἱ πενθοῦντες, καὶ γὰρ τρὶς μακάριοι. πῶς οὖν φησὶν ὁ Γαῦλος, χαίρετε; ᾧδε ὁ Χριστὸς τὸ πένθος τὸ κοσμικὸν ἐπέταξεν, οἷον τὸ πενθεῖν ἐπὶ ἀπωλείᾳ προσκόντων, ἀλλὰ τὸ πνευματικὸν, τὸ πενθεῖν τὰς ἁμαρτίας. ᾧδε ὁ Παῦλος τὸν κοσμικὸν λέγει χαράν. διὸ καὶ ἐπάγει, ἐν κυρίῳ. ὡς τὸ πένθος ἐκεῖνο, τοιαύτης τῆς χαρᾶς γίνεται πρόφασις. ὁ γὰρ τὰς οἰκείας ἁμαρτίας πενθῶν, ἔξει πάντοτε χαρὰν, ταύτῃ ἀπαλείψας τὰς ἁμαρτίας διὰ τῶν πενθούντων,

καὶ τῷ χριστῷ σωφρονοῦντι καὶ τὰ θεῖα χαίρειν. τί δὲ βούλεται τὸ ἐπιδιαβεβαιάζειν αὐτὸν, πάλιν ἐρῶ χαίρετε; ἦσαν γὰρ λυπηρὰ τοῖς πρασμοῖς καὶ τοῖς θλίψεσιν ὑπόμενον. δεῖκνυσιν οὖν τὸ ὑπὲρ χριστοῦ πάσχειν καὶ λυπεῖσθαι, χαρᾶς ὂν τοῖς ἀληθῶς πρᾶγμα. ἢ ὅτι καὶ ὑπερ χριστοῦ λύπη ἀπὸ τῶν διωκόντων συμβαίνουσα, αὐτοχαρά ἐστιν ἐπισκοπιζούσης τῆς ἐν προθυμίᾳ χαρᾶς τὴν πρὸς πόθεν λύπην.

τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ἐπιδιὰ ἀνωτέρω διέβαλε τινας, ὧν ὁ θεὸς ἡ κοιλία, λέγων, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, ἧκεν ἵν' διὰ ταῦτα ἐκ πολεμοῦσθαι πρὸς ἐκείνους τοὺς πιστούς. φησὶν οὖν, μὴ ὡς πολεμίοις χρῆσθε, ἀνεπιεικῶς, καὶ οὐ μόνον αὐτοῖς, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις. ὁ κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. τί γὰρ ἀλύετέ, φησι, διὰ τοὺς ἐκείνων ἀπρονοήτους, ἢ τοὺς ἄλλους πειρασμούς; ὁ κύριος ἐγγύς, φησιν, ἡ κρίσις ἐφέστηκε, καὶ ὑμεῖς κἀκεῖνοι τὰς ἀνταποδόσεις ἕξετε. μηδὲν οὖν, φησι, μεριμνᾶτε, ἀνεξόντως παντὶ, φυτέσει πράγματι, τῇ προσευχῇ καὶ τῇ δεήσει κέχρησθε. ἔστι μὲν οὖν τοῖς θλιβομένοις μείζων παραψυχὴ, τὸ ἐγγὺς εἶναι τὸν κύριον. ἰδοὺ δὲ καὶ ἄλλο προστήσει φάρμακον, τὴν μετὰ εὐχαριστίας εὐχήν. αὕτη γὰρ καὶ κυρίως εὐχή. διὰ οὖν τῆς μετὰ εὐχαριστίας εὐχῆς καὶ δεήσεως, τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεόν. ὡς αἴνιγμα μὴ ἔχουσαι εὐχαριστίαν εὐχαὶ, οὔτε γνωρίζονται πρὸς τὸν θεόν. ὁ γὰρ μὴ εὐχαριστῶν ἐπὶ τοῖς παρελθυθόσι, πῶς ἂν αἰτήσαιτο ἢ λήψεται τὰ μέλλοντα; ἀλλ' ἐν παντὶ πράγματι τῇ προσευχῇ καὶ τῇ δεήσει κέχρησθε, δι' ὧν τὰ αἰτήματα ὑμῶν, μετὰ εὐχαριστίας γνωριζέσθω. καὶ ἡ εἰρήνη τοῦ θεοῦ. εἰρωνίαν λέγει, τὴν καταλλαγὴν τοῦ θεοῦ πρὸς ἡμᾶς. καλῶς δὲ εἶπεν εἰρωνίαν. ἦμεν γὰρ αὐτῷ ἐκπεπολεμωμένοι, διὰ δὲ τοῦ αἵματος τοῦ μονογενοῦς κατηλλάξαμεν ἡμᾶς ἑαυτῷ. ἤγουν περὶ ἐκείνης λέγει, περὶ ἧς φησιν ὁ Χριστός. εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. ὅταν γὰρ λέγῃ καὶ πρὸς τοὺς ἐχθροὺς εἰρηνεύειν, οὐχ ὑπερβαίνει πάντα νοῦν; ἢ ὑπερέχουσα πάντα νοῦν. ἡ δὲ ἢ εἰρήνη τοῦ θεοῦ ὑπερβαίνει πάντα νοῦν, τί εἰκὸς τοὺς πρὸς τοὺς τὴν σταυρὸν αὐτοῦ περιεργαζομένους; φρουρήσει τὰς καρδίας ὑμῶν. ὡς τε μὴ ἐκ πειρασμῶν καταβαπτίζεσθαι, μήτε ἐκ ἀπάτης περιφέρεσθαι. ἐν Χριστῷ Ἰησοῦ. ἢ διὰ αὐτοῦ φυλάξει, ὡς τε μένειν καὶ μὴ ἐκπίπτειν αὐτὸ, ἢ δι' αὐτοῦ φυλάξει.

» Τὸ λοιπὸν ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ,
» ὅσα προσφιλῆ, ὅσα εὔφημα. εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος, ταῦτα λογίζεσθε.
» ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

Πάντα ὑμῖν εἴρηται, τὸν λειπόμενον νῦν. ἐπεισερχομένου δὲ τὰ ῥήματα. ἀληθῆ δέφησι τὰ φάρετα. ψεύδος γὰρ ἡ κακία. σεμνὰ δὲ, τὰ ὅσα ἐν σχήμασι καὶ λόγοις καὶ βαδίσμασι καὶ πράξεσιν. ἁγνὰ δὲ, ὡς πρὸς ἀντιδιαστολὴν τῶν γήϊνα φρονούντων. προσφιλῆ δὲ, ἢ τῷ θεῷ, ἢ τοῖς πιστοῖς. εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος. βούλεται οὕτως ζῆν αὐτοὺς, ὡς καὶ ἀνοῖς ἀρέσκειν. (ἀπρέσκοποι γάρ, φησι, γίνεσθε.)

ὑ πρὸς

ὑ πρὸς ἔπαινον ὁρῶντας, ἀλλ' ἔπαινετοὺς ζῶντας. ταῦτα λογίζεσθε. ὁρᾶς ὅτι καὶ ζῶνοιαν πακιὰ ἐκ ζῶν ἡμετέρων ἀζορίσαι βούλεται ψυχῶν; ἃ καὶ ἐμάθετε. δηλὰ δηλαδὴ σαλίας ἐμάθετε ἐ παρελάβετε ἐ ἠκούσατε. δι' ἔργων δὲ ἴδετε, ἐ τὸ αὐτὸν τύπον αὐτοῖς ζωέσθαι, τὸ, ἴδετε ἐν ἐμοί. ἐπηδὴ γὰρ ἐκ ἦν ἐμοὶ περὶ πάντων γράφειν, περὶ σχημάτων, περὶ βαδίσεως, περὶ ῥημάτων, περὶ κίνησεως ἐ ὅσα λοιπὰ, ἑνὶ λόγῳ ἐδίδαξε πάντα, τῷ, καὶ ἴδετε ἐν ἐμοί. καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. οὐ γὰρ ταῦτα ποιῆτε, φησὶν, ἔσεσθε ἐν ἀδείᾳ, ἐν εἰρήνῃ, ἐν ἀσφαλείᾳ. ἦ γὰρ ἡμεῖς διὰ τῆς ἀρετῆς εἰρηνεύομεν πρὸς τὸν θεὸν καὶ πρὸς ἀνθρώπους, (διὰ γὰρ ὧν μισούντων, φησὶ, τὸν εἰρηνικὸν ἡμῖν εἰρηνικὸς,) καὶ ὁ θεὸς ἔσται μεθ' ὑμῶν. θεοῦ δὲ ὄντος μεθ' ὑμῶν, τί χρὴ τὰ λοιπὰ συνεργάζεσθαι;

» Ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν,
» ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δὲ, οὐχ ὅτι καθ' ὑστέρησιν λέγω. ἐγὼ γὰρ ἔμαθον οἷς
» εἰμὶ, αὐτάρκης εἶναι, οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν, ἐν παντὶ καὶ ἐν
» πᾶσι μεμύημαι, καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι. πάντα
» ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με χριστῷ. πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές
» μου τῇ θλίψει. Ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως. διὰ τὸν μεγάλως, ἐπηδὴ οὐ σαρκικῶς ἴσως εἶπε χαρὰν, ἀλλ' ἐν κυρίῳ. ἐχάρη δὲ, οὐκ ἐπηδὴ αὐτὸς ἔλαβον, ἀλλ' ἐπειδὴ οἱ δόντες ὠφελήθησαν. ὅτι ἤδη ποτέ. τὸ, ἤδη ποτὲ, χρόνον δηλοῦντός ἐστι πολὺ, ἐν ᾧ τὸν ποιεῖν ἠμέλησαν, τὸ πέμψαι αὐτῷ τὰ πρὸς τὴν χρείαν. τὸ δὲ, ἀνεθάλετε, ὡς ἐπὶ καρπῶν ξηρανθέντων καὶ αὖθις ἀναβλαστησάντων. οὕτω, γάρ, φησι, καὶ ὑμεῖς ἀπραγμονηθέντες ἐν τῇ ἐλεημοσύνῃ, αὖθις ἀνεθάλετε. τὸ ὑπὲρ ἐμοῦ φρονεῖν. ἔδειξεν ὅτι ἐν τοῖς πρὸς αὐτὸν μόνον ἦσαν ἠμελικότες, ἐν μὴν καὶ ἐν τοῖς πρὸς πάντας, ὅπερ ἀνακτωμένου ἴσως τὴν ἐπίπληξιν. τὸ ὑπὲρ ἐμοῦ γάρ, φησι, φρονεῖν, τοῦτέστι τὸ μεμνῆσθαί μου ὥσπερ ἀεὶ ἐμέμνησθε, φησίν. εἶτα ὥσπερ ἀπρολογούμενος ὑπὲρ τῆς εἰς αὐτὸν ῥᾳθυμίας, φησίν. ἠκαιρεῖσθε δέ. τοῦτέστιν ἐ ῥᾳθυμήσαντες ἠμελήσατέ μου, ἀλλὰ καιρὸν ἐκ εἴχετε τὸ πέμψαι, ἢ διὰ τὸ μὴ εἶναι ἐν ἀφθονίᾳ ὑμᾶς, ἢ διὰ τὸ μὴ ἔχειν τὸν αὐτὸν κομίσοντα. τί δήποτε δὲ ἀεὶ ἐγκαλῶν χώμενος τῷ μὴ λαμβάνειν, (καλὸν γάρ μοι, φησὶ, μᾶλλον ἀπρᾳαεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ.) νῦν εἴληφε; καὶ φαμὲν ὅτι ἐκεῖ πὶ τῶν Κορινθίων, διὰ τοὺς ψευδαπρόλοις ἐκ ἐλάμβανεν. ἵνα γάρ, φησιν, ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν ὡς κἀγώ. ἐπεὶ ἐλάμβανεν, ἐ τρυφῶν διὰ τὴν χρείαν, ὅσον ἵνα ὠφελῶνται οἱ παρέχοντες. πόθεν γὰρ ἐ τρέφεσθαι εἶχεν ἐν ξένῃ γῇ, μήτε ὑπὸ φερόμενος, μήτε τῷ ἐργοχειρῷ ἅμα τῷ κηρύγματι σχολάζων; ἐχ ὅτι καθ' ὑστέρησιν λέγω. ἐπειδὴ ἤρεμα ἐπετίμησεν αὐτοῖς γράψας, ἤδη ποτέ, φησίν. ἅπερ εἶπον, ἐ διὰ τὸν εἶπον ὡς ἐν ἐνδείᾳ ὤν, ἀλλὰ πρὸς τὸ ὑμῶν συμφέρον, φησὶν, εἶπον, ἵνα μὴ ἄκαρποι ἦτε, ἅπερ καὶ τὸ λέγει. Εἶπον ὅτι ἐχάρην ἐν κυρίῳ μεγάλως, ὅτι ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν. ἀλλὰ μὴ νομίσητε, φησὶν, ἐπεῖν με τοῦτο, διὰ τὴν ὑστέρησιν ἣν εἶχον. ἐγὼ γάρ, φησιν, ἔμαθον καὶ ἔξῆς. γεγυμνασμένος, φησὶν, ἐμοὶ πᾶσι, καὶ ἐκ ὑστερούμενος Φωτ.

κκ 3 δυσχεραίνω.

δυσχεραίνω. ἐχάρλω δὲ ὅμως ἐφ' ὑμῖν, ὅτι καλῶς ἐποιήσατε. κοινωνοὶ γὰρ ἐαυτοὶς πῆς ἐμῆς θλίψεως ποιήσαντες, καὶ οἶν βραβείων κοινωνήσετε. οἶδὰ τὸρ ἐχάρλω μεγάλως. ἐπειδὴ εἴπεν ὅτι ἐχάρλω μεγάλως, διότι ὑμεῖς καλῶς ἐποιήσατε συγκοινωνοὶ γεγονότες μου πῆς θλίψεως, ἐπαναμιμνήσκει αὐτοὶς, ὅτι ἀπ' ἀρχῆς ταύτλω αὐτοῖς πὼ χάριν καὶ πὼ εὐεργεσίαν κατεζίφερ, τὸ δεξ αὐῶν λαμβάνειν τὰ πρὸς πὼ χρείαν, καὶ κοινωνοὶς αὐτοὶς δλὰ τύπου παρασκευάζειν καὶ οἶν δλὰ χρισὸν θλίψεων, καὶ οἶν ἐπὶ τύπους κλμῶσιν βραβείων. μὴ γὰρ νομίσητέ, φησιν, ὅτι νῦν δλὰ τὸ μακρὰν με γλνέσθαι, καὶ ὀν τότῳ ὀν ᾧ τὸ κήρυγμα ὥσπερ ὀν ὑμῖν ὐκ ἐσπλατύνθη δὲ ἡσὶν οἱ προθύμως οὕτω τὰ πρὸς χρείαν ἐπιχορηγοῦντες, δλὰ τὸρ πὼν ὑμῶν χορηγίαν ἀποδεξάμην καὶ ἠξίωσα ὑμᾶς κοινωνοὶς καὶ πῆς θλίψεώς μου καὶ πῆς μεταδόσεως γενέσθαι. καὶ γὰρ καὶ ἐγγὶς ἔπεσῶν, καὶ πλλοὶς ἔχων εἴπορ ἤθελον πὶς χορηγοῦντας, ὑμᾶς πρέκρινα. καὶ ἀξερχόμενος γὰρ ἀπὸ Μακεδονίας, καὶ πὼ Θεσσαλονίκη, ὑμᾶς ἠξίουν χορηγοὶς εἶναι πῆς χρείας μου. μὴ νομίσητε δὲ ταῦτα λέγφν με καὶ ἐπαίρφν πὼ πρᾶξιν ὑμῶν ταύτλω, ἵνα ἔτι ἐ ἔτι χορηγῆτε, ἐ πᾶς χρείαις μου ἐπαρκῆτε. τοσοῦτον γὰρ δέω δλὰ τὸρ ἡσεῖν αὐτὰ, ὅπ ἰδοὺ λέγω, ἀπέχω πάντα, ἀντὶ δ' ἀπίλλαγμαι πρὸς πάντα τὰ πρὸς πὼ χρείαν, ἀπίλλαγμαι δὲ, οἷον, ὐκ ἔτι χρείαν ἔχω τύτων. εἶτα ἵνα μὴ λυπήσῃ ὡς ἀπαξιῶν, ὑχί, φησιν, ἀλλ' ὅτι πορισάτυω καὶ ἔξης. ἐγὼ γὰρ ἔμαθον ὀν οἷς ἐμί. Διδαχῆς ἄρα τὸ πρᾶγμα καὶ ἀσκήσεως. Τί δὲ ἔμαθες ὦ θεία ψυχή; ὀν οἷς ἐμί. τυτέστι τοῖς παροῦσιν ἀρκεῖσθαι, φησι, καὶ αὐτάρκης εἶναι. οἶδα καὶ ταπεινοῦσθαι. ἵνα φῇς ἐρεῖ τις, τὸ μὲν ἡδέως λιμὸν φέρειν, ἀρετῆς, τὸ δὲ χορτάζεσθαι, πρίας ἀρετῆς; καὶ σφόδρα ἀρετῆς. ὥσπερ γὰρ ἡ σφυροχωρία, ὕτως καὶ ἡ ἄδεια οἶδε τίκτειν πολλὰ κακά. πολλοὶ γὰρ τὸ ἀφθονίᾳ μνόμενοι, ῥᾳθυμότεροι γεγόλωται, καὶ ὐκ ἴσχυσαν φύγειν καὶ κολίαν κεχορτασμένλν. καὶ γὰρ ὁ Ισραὴλ, ὐκ ἤνεγκε τὸν κόρον, ἀλλ' ἐπελάκτισεν. ἀλλ' ὐχ ὁ Παῦλος. ταπεινοῦσθαι. οἷον λιμώττειν. πορισάτυφν. οἷον κρέννυσθαι. τὸ παντὶ καὶ τὸ πᾶσι μεμύημαι. τὸ παντὶ πράγματι, φησὶ, καὶ ὀν πᾶσι τοῖς πρεμπίπτουσι, μεμύημαι. τυτέστι. πεῖραν ἀπάντων ἔχω. πάντα ἰσχύω ὀν τῷ ὀνλαμοῦντί με χῷ. ἵνα μὴ δόξῃ μεγαλορρημονεῖν, ἄλλως τε καὶ ὡς ἐυχάριστος, πάντα τῷ χῷ ἀναπίθησιν. ὐκ ἐμόν, φησι, κατόρθωμα τὰ θρύλλα, ἀλλὰ τὸ πὼ ἰσχύϊ μοι ταύτλω παρέχοντος Χρισοῦ. πλὴ καλῶς ἐποιήσατε. καὶ τύτων οὕτως ἐχόντων, φησὶ, καὶ ἐμοῦ πάντα φέρφν ἰσχύοντος, καλῶς, φησιν, ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει. ἵνα γὰρ μὴ ῥᾳθυμότεροι γλύωνται ἀκύσαντες ὅτι ὐδενὸς δέομαι, ἄλλως μεταχειρίζει τὸν λόγον. δλὰ μὴν ὧν ἔμπροσθεν, τὸ φρόνημα αὐῶν κατέσειλε, δλὰ δὲ ὧν νῦν, προθυμοτέρους ποιεῖ. ὐκ εἶπε, δεδωκότες δὲ πάυσαντές μου πὼ λύπω, ἀλλ' ὃ σεμνότερον λίαν, συγκοινωνήσαντές μου τῇ θλίψει. οἷον δὲ ἐσὶ δὲ κοινωνὸν γλυέσθαι Παύλου, ἐ ὀν τῇ ὑπὲρ χῦ θλίψει.

» Οἴδατε δὲ καὶ ὑμεῖς Φιλιππήσιοι, ὅτι πὼ ἀρχῇ τὸ ἐυαγγελίου ὅτε ἐξῆλθον ἀπὸ
» Μακεδονίας, ὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως ἐ λήψεως, εἰ μὴ ὑ-
» μεῖς μόνοι. ὅτι καὶ πὼ Θεσσαλονίκη ἅπαξ καὶ δὶς, πὼ χρείαν μοι ἐπέμψατε.

Υπὲρ τῆς

Υπὲρ τῆς ἄνω ἡρημλύης ἐπιπλήξως ζῶθα εἶπε τὸ, μὴ δι' ἣν πρτέρησατε, νῦν ἠρέμα ἀπολογεῖται. μὴ γὰρ, φησιν, ὡς χρήζοντά με ἢ ἀπορῶν νομίσητε ἠρηκέναι, οὐ ὅτι παρρῆσίᾳ ὑμῖν, φησι. τὸ δὲ παρρεῖν ὑμεῖς δεδώκατε τοῖς ἀφορμὰς, ὀν ἀρχῇ τὸ ἐυαγγελίου μοι παρασχόντες. ὀν ἀρχῇ τὸ ἐυαγγελίου. πρὶν ὅλως, φησὶ, βεβαιωθῆτε. ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας. ὐκ ἔσι, φησὶν, ἡ εἰπεῖν, ὅτι ὡς παρ' ὑμῖν ὄντι δεδώκατε. ὅτε φησὶν ἐξῆλθον, ὐ μόνον τ πόλεως ὑμῶν, ἀλλὰ ἐ πᾶς ἐπαρχίας. ὐδὲ μία μοι ἐκκλησία ἐκοινώνησε. ὐκ εἶπεν ὐδὲ μία ἐκκλησία δεδωκεν, ἀλλ' ἐκοινώνησε. κοινωνία γὰρ ἐσι τὸ πρᾶγμα. ἐδίδοσαν γάρ, φησι, πνευματικὰ, καὶ ἐλάμβανον σαρκικὰ, ὡς καὶ ἀλλαχοῦ φησιν. ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσωμεν; τὸ δὲ ἐλόγον δόσεως καὶ λήψεως, καὶ ἄλλως ἔχει πὼ κατάγνωσιν. ὐκ ἐδώκαν γὰρ σαρκικὰ, ἀλλ' ὐδὲ λαβεῖν ἠθέλησαν πτικά. ὅτι γὰρ Θεσσαλονίκη. ὅπερ τὸ πλέον ἐσὶν, ὅτι ὀν αὐτῇ τῇ μητροπόλει αὐῶν διαίων, πρὰ ῥυτ ἐπρέφερ. διόφησιν ὅτι γὰρ Θεσσαλονίκη ἅπαξ τ' χρείαν, οἷον ἅπαξ τὰ χρειώδη δαπανήματα.

» Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν, τὸν πλεονάζοντα εἰς λόγον
» ὑμῶν. ἀπέχω δὲ πάντα ἐ πορισύυω. πεπλήρωμαι δεξάμενος πρὰ Επαφροδίτου
» τὰ παρ' ὑμῶν, ὀσμὴν ἐυωδίας, θυσίαν δεκτὴν ἐυάρεσον τῷ θεῷ. ὁ δὲ θεός μου πλη-
» ρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτῦ ὐ δόξῃ ὐ Χριστῷ Ιησοῦ.

Επειδὴ παφνῶς ἐφθέγξατο εἰπὼν εἰς τὰς χρείας μου, ἵνα μὴ ἐκ τύπου ἐπαρθῶσιν ἐκεῖνοι, φησίν. ὐχ ὅτι ἐπιζητῶ τὸ δόμα ὑμῶν, δλὰ τὸρ ταῦτα λέγω, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν ὑμῶν, τὸν εἰς λόγον ὑμῶν, ὐκ ἐμοῦ, πλεονάζοντα. ὁρᾶς ὅτι αὐτοὶ ὠφελοῦντος ἐκτὸς πρέχειν; ὡσεὶ ἔλεγε. δλὰ τὸ ὑμῶν συμφέρον ταῦτα ζητῶ, ἵνα ὑμεῖς καρπὸν φείλκητε. ἀπέχω δὲ πάντα. ἐκ τύπου πάλιν πεθυμοτέρους αὐτοὶς ποιεῖ. ἀπέχω, φησὶ, πάντα καὶ πορισύυω, ρυτέστι καὶ τὰ ὑπὸρ τὸ πρτέρου χρόνου, καθ' ὃν ὐκ ἐπέμψατε. καὶ πορισύυω. ρυτέστι πλείω ὧν πρλφθέντων δεδέχθαι ἤγημαι. πεπλήρωμαι. πάντα, φησὶ, τὰ χρεωσθέντα μοι. χρέος γὰρ οἶδε τὸ πρᾶγμα, πεπλήρωμαι, φησὶ, δεξάμενος πρὰ Επαφροδίτου. δλὰ τύτου ἦσαν ἀπρσείλαντες. ὀσμὴν ἐυωδίας. ὀσμὴν ἐυωδίας καὶ θυσίαν δεκτὴν τῷ θεῷ ὑπάρχοντα φησί. βαβαὶ πῦ τὰ δοθέντα ἀγήαλα. ὐκ ἐμοί, φησιν, ἀλλὰ τῷ θεῷ, δεδώκατε. ἐδεχόμλν γὰρ τὰ παρ' ὑμῶν, φησιν, ὀσμὴν ἐυωδίας καὶ θυσίαν θεῷ ὑπάρχοντα. καὶ γὰρ θυμία μάτε καὶ θυσία λογικὴ θεῷ μόνῳ πρσάγεται. καὶ τὰ παρ' ὑμῶν, φησι, δῶρα, θεῷ πεσσα φέντα τυγχάνει. ὁ δὲ θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν. ἐπειδὴ εἶπεν ἄνω ἠκαιρεῖσθε δέ. ρυτέσιν ὀν ἐνδείᾳ ἦτε, νῦν ἐπεύχεται αὐτοῖς πὼ αὐτάρκειαν, εἰς τὸ καὶ ἑτέρους δύνασθαι χορηγεῖν. κατὰ τὸν πλοῦτον αὐτῦ ὀν δόξῃ. τὸρ εἶπε, δῆλον ὅτι καὶ ἐυκολον αὐτῷ δοῦναι. πλούσιος γάρ ἐσι. δώσει δὲ ὑμῖν ὀν δόξῃ. ρυτέσιν ὥστε εἰς δόξαν αὐτῦ πὼ δόσιν πρσχωρῆσαι. ζῶ χριστῷ Ιησοῦ. ἢ δλὰ Ιησοῦ χῦ δώσει. ὁ γὰρ πεπληρωμλύος τοῖς χρῄζουσιν, ἐυχαριστεῖ τῷ δεδοκότι.

» Τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας ὧν αἰώνων ἀμήν. ἀσπάσασθε
» πάντα ἅγιον ὐ χριστῷ Ιησοῦ. ἀσπάζονται ὑμᾶς οἱ ζῶ ἐμοὶ ἀδελφοὶ ἀσπάζονται

» ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ, οἱ ἐκ τῆς Καίσαρος οἰκείας. Ἡ χάρις τοῦ
» κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, μετὰ πάντων ὑμῶν, ἀμήν.

Ἐπειδὴ εἶπε, διὰ Ἰησοῦ χριστοῦ πληρώσει πᾶσαν χρείαν ὑμῶν, δοξολογεῖ καὶ τὸν πατέρα, τὸν διὰ τοῦ υἱοῦ δόντα τὴν αὐτάρκειαν. ἀσπάζονται ὑμᾶς οἱ ἐμοί. ἦσαν γὰρ πλείονες μετ' αὐτοῦ, πλὴν ὅτι μόνος ἰσόψυχος ὁ Τιμόθεος, ὡς ἄνω φησίν. ὅμως ὅρα τοῦ Παύλου τὴν ἀλάζονα, ὅτι καὶ τοὺς ἀδελφοὺς καλεῖ. ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι. σημεῖον ἴσως ὅτι ὁ Παῦλος παρ' αὐτοῖς ἐπῆνε τοὺς Φιλιππησίους. διὸ καὶ ἀσπάζονται αὐτούς. μάλιστα δὲ, οἱ ἐκ τῆς Καίσαρος οἰκίας. ἀνέρρωσεν αὐτοὺς ὅτι καὶ τῶν βασιλικῶν οἰκίαν ἐφθασε τὸ κήρυγμα. γὰρ ἂν μὴ πιστεύσαντες, ἠσπάσαντο τοὺς Φιλιππησίους. πρὸς τοῦτοις καὶ τόδε διδάσκει. ἦ οἱ μὲν τοῖς βασιλείοις πάντων καταφρόνησαν καὶ τῷ χριστῷ ἐπίστευσαν, πόσῳ μᾶλλον ὑμᾶς τοὺς πένητας δεῖ ποιεῖν; Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. τὸ ζῆν- θες αὐτῷ, ἐυχῇ πάνει τῷ ἐπιστολῷ καὶ νῦν.

Τέλος τῷ θεῷ τῆς πρὸς Φιλιππησίους ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Ρώμης, διὰ Ἐπαφροδίτου.

Ὑπόθεσις τῆς πρὸς Κολοσσαεῖς ἐπιστολῆς.

Αὐτῷ ἐπιστέλλει οὗτος Ρώμης, οὐχ ἑωρακὼς μὲν αὐτοὺς, ἀκούσας δὲ περὶ αὐτῶν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. τινὲς Κολοσσαεῖς ἠβούλοντο τινες ἀπὸ τῆσαι σοφίσμασιν ἑλληνικοῖς καὶ τῆς κατὰ χριστὸν πίστεως, ἐ περὶ τῶν ἐν νόμῳ βρωμάτων, ἐ περιτομῆς. ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστολος, γράφει τὴν ἐπιστολὴν ὡς ἂν παντελῆ αὐτοῖς ταύτην. καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ θεῷ, σημαίνει ἀπὸ τοῦ σώτηρος αὐτοὺς μεταβεβηκέναι ἐκ τὸ φῶς τῆς ἀληθείας. καὶ ὅτι ὁ χριστὸς ἐκ οὐ ἐπίστευσαν, ἡνίκα ἔστι τοῦ θεοῦ καὶ λόγος, δι' οὗ καὶ τὰ πάντα γέγονε. καὶ ὅτι ἐ πρέπει αὐτὸν δημιουργὸν ὄντα, γενέσθαι καὶ πρωτότοκον πάσης κτίσεως, καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν, ἵνα τὰ ἀμφότερα σωλήνη, καὶ ζωοποιήσῃ τὰ πάντα. προέτρεπε τε αὐτοὺς ἐμμένειν τῇ πίστει, σημαίνων ὅτι αὐτὸς ὁ Παῦλος, διάκονός ἐστι τοῦ εὐαγγελίου οὗ ὧν κατηχήθησαν. εἶτα καὶ περὶ τοῦ νόμου καὶ τῶν ἐν αὐτῷ βρωμάτων, καὶ περὶ μερῶν ἐ νουμηνιῶν ἐξηγεῖται, καὶ ἀποδείκνυσιν ἠργηκέναι λοιπὸν τὰ παλαιὰ, καὶ πᾶν περιτομήν. συμβουλεύει τε αὐτοῖς, μὴ πλανᾶσθαι ἀπὸ τῶν ὀφειλομένων καὶ πλανᾶν αὐτοὺς θελόντων. καὶ λοιπὸν παραινέσας καὶ ὧδε γονεῦσι καὶ τέκνοις, ἀνδράσι καὶ γυναιξὶ, δούλοις καὶ κυρίοις, καὶ τὰ ἄλλα τὰ πρὸς ἦθη συμβουλεύσας, τελεῖοι πᾶν τὴν ἐπιστολὴν, παραγγείλας τοῖς αὐτοῖς, ἵνα ὅταν ἀναγνωσθῇ παρ' αὐτοῖς ἡ ἐπιστολὴ, ποιήσωσι καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ αὐτὴν ἀναγνωσθῆναι, καὶ τὴν ἐκ Λαοδικείας, καὶ ἵνα αὐτοὺς ἀναγνωσθῆναι.

Θεοδωρήτου.

Ἐν πολλοῖς ὁ ἀπόστολος δηλοῖ τὴν πρὸς τὸν θεὸν καὶ πατέρα μεσιτείαν καὶ καταλλαγὴν τοῖς ἀνθρώποις διὰ τοῦ υἱοῦ γεγονέναι. εἷς γὰρ θεός, φησι, καὶ εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Ἰησοῦς χριστός. καὶ πάλιν, δι' οὗ, φησι, τὴν καταλλαγὴν ἐσχήκαμεν. καὶ ὁ κύριος θύραν ἑαυτὸν καὶ ὁδὸν καλεῖ. ὁ μὲν γὰρ ἕτερος, ἡ μὴ δι' αὐτοῦ καὶ ἐν αὐτῷ ἀπέλθοιτις πρὸς τὸν πατέρα. διὰ τοῦτο γὰρ ὢν θεὸς, καὶ ἄνθρωπος γέγονεν, ἵνα θεῷ καὶ ἀνθρώποις μεσιτεύσῃ, τοῦτο τὲ ὢν κἀκεῖνο. οὐκοῦν οἱ Κολοσσαεῖς, ὑπὲρ ἀγγέλων φρονοῦντες τὴν προσαγωγὴν ἡνέσθαι πρὸς τὸν πατέρα, ἐ διὰ τοῦ χριστοῦ. ἔπειτα, πολλὰς εἶχον πρατηρήσεις Ἰουδαϊκὰς καὶ Ἑλληνικὰς, ἡμέρας πρατηρούμενοι ἐ καιροὺς ἐ ὅσα τοιαῦτα. ἅπαντα πάντα, γράφων τὴν ἐπιστολὴν, διορθοῦται ὁ Παῦλος.

Κεφάλαια τῆς πρὸς Κολοσσαεῖς ἐπιστολῆς.

α΄ Εὐχαριστία ὑπὲρ Κολοσσαέων, οἰκοθεν των θεῷ ἐπ' ἐλπίδι.

β΄ Εὐχὴ ὑπὲρ αὐτῶν εἰς σοφίαν πρακτικὴν, εἰς δύναμιν ἁρμονῆς, ζῷ εὐχαριστία τῆς οἰκειώσεως τῆς ἐν καθάρσει.

γ΄ Περὶ τῆς ἐν χριστῷ κτίσεως καὶ ἀνακτίσεως τῆς κατὰ σωτάφειαν θεοῦ.

δ΄ Περὶ ἐθνῶν προσαγωγῆς τῆς ἐν σώματι χριστοῦ καὶ πάθη διὰ πίστεως.

ε΄ Περὶ τῆς διὰ ὧν πόνων αὐτὸ διδαχῆς, ἀνακτικτικῆς εἰς παράστασιν θεοῦ.

ϛ΄ Περὶ τοῦ μὴ ὑπάγεσθαι ἀνθρωπίνῃ σοφίᾳ ἀπατηλῇ, ἣς ἐν χριστῷ πᾶν σοφίαν ἔχοντας.

ζ΄ Οτι ἡ πρὸς θεὸν σωτάφεια ἐκ τοῦ νόμου προεικει πνευματικῶς, ἐν τῷ συζῆν χριστῷ.

η΄ Οτι οἱ τῷ σαρκικοῦ νόμου τύποι, σαρκικοῖς χρήσιμοι, ἀπνευματικοῖς τοῖς ἐν δυνάμει χριστοῦ ζῶσιν.

θ΄ Παραίνεσις καθάρσεως, ἁγιασμοῦ, φιλανθρωπίας, φιλοθεότητος, φιλομαθείας, ψαλμῳδίας, εὐφήμου εἰς θεὸν διαγωγῆς, εὐχαριστίας.

ι΄ Τὰ πρὸς τοὺς οἰκείους ὁμονοητικῶς.

ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ.

ΠΑΥΛΟΣ Απόστολος Ιησοῦ Χριστοῦ, διὰ θελήματος θεοῦ, καὶ Τιμό- ι.
θεος, ὁ ἀδελφὸς τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ.
χάρις ὑμῖν καὶ εἰρήνη, ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ιησοῦ Χῦ.

Εἰ Ιησοῦ Χριστοῦ ἐμὶ ἀπόστολος, καὶ θέλημα τοῦτο τὸ πατρός ἐστιν, εὐδόκη-
λον ὡς ἀληθῆ τὰ παρ' ἐμοῦ. πιστοῦμαι, φησι, γινώσκετε ὅτι ἔχω ὑμᾶς προ-
σάγεσθαι. διὰ θελήματος θεοῦ. σημειοῦ τὸ, διὰ, ἐπὶ πατρὸς ἀρνημένου. τοῖς ἐν
Κολοσσαῖς. πόλις Φρυγίας αὐτη, ἡ λεγομένη νυν Χώνα. ἁγίοις καὶ πιστοῖς ἀδελ-
φοῖς ἐν χριστῷ. ἡ ἐν χριστῷ τὸ εἶναι, φησίν, ἅγιοι καὶ πιστοὶ ἔχετε, ἆρα διὰ χριστοῦ
ἡ προσαγωγὴ καὶ ἡ δι' ἀγγέλων. Εὐχαριστοῦμεν τῷ θεῷ καὶ πατρὶ τοῦ κυρίου Κεφ. ά.
ἡμῶν Ιησοῦ χριστοῦ πάντοτε περὶ ὑμῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν
χριστῷ Ιησοῦ, καὶ τὴν ἀγάπην ἣν ἔχετε εἰς πάντας τοὺς ἁγίους διὰ τὴν ἐλπίδα τὴν ἀπο-
κειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς. Επὶ τὸν πατέρα ἅπαντα ἀναπέμπουσιν, ἵνα μὴ ἐν-
θεὶς προσῇ αὐτοῖς νηπίοις οὖσιν. πάντοτε περὶ ὑμῶν προσευχόμενοι. διὰ τῆς συνε-
χείας, τὴν πρὸς αὐτοὺς ἀγάπην δηλοῖ. ἀκούσαντες. ὁ Επαφρᾶς ἐν ἀπαγγελικὸς
τῷ Παύλῳ. τὴν πίστιν ὑμῶν ἐν Χριστῷ. ἐγὼ, φησιν, ἀκήκοα, ὅτι ἐς Χριστὸν ἔχετε
τὴν πίστιν. οἱ δὲ οὕτως ἔχοντες, πῶς δι' ἀγγέλων τὴν προσαγωγὴν εἶναι ὑπολή-
φατε; καὶ τὴν ἀγάπην τὴν εἰς πάντας. ἣ εἰς πάντας, ἀκοὴν καὶ εἰς ὑμᾶς. διὰ
τὴν ἐλπίδα. ἀναδεῖ γὰρ τὰ ὑπαῦτα, ἀγαθὰ ἐκεῖ ἐκδέχεσθαι, καὶ μὴ ἀπεκεῖσθαι πρὸς
τοὺς ὧδε πειρασμούς. Ην προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου
τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ καὶ ἔστι καρποφορούμενον, κα-
θὼς καὶ ἐν ὑμῖν ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ,
καθὼς ἐμάθετε ἀπὸ Επαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν. ὅς ἐστι πιστὸς ὑπὲρ
ὑμῶν διάκονος τοῦ Χριστοῦ. ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι.

Ην προηκούσατε. λόγον ἀληθείας τὸ κηρύγματός φησι. προηκούσατε δὲ, πρὸ
ἐμοῦ, φησι, πρὸ τῆς ταύτης ἐπιστολῆς. ἡ λέγει δὲ κηρύγματος, ἀντὶ εὐαγγελίου,
δηλῶν ὅτι Χριστοῦ ἐνεργείας. Τίς γὰρ ἂν εὐαγγελίσηται, ἢ μὴ τὰ χριστοῦ; τοῦ πα-
ρόντος εἰς ὑμᾶς. τοῦ ἐνεργοῦντος καὶ πιστευομένου, φησί. καθὼς καὶ ἐν παντὶ τῷ
κόσμῳ. προθυμοτέρους αὐτοὺς ποιεῖ πρὸς τὴν πίστιν ποιεῖ ἐκ τοῦ ἔχειν πάντας κοινωνούς.
καὶ ἔστι καρποφορούμενον. καρποφορεῖται δὲ ἐξ αὔξεται ὅσημέραι, προσιόντων πλη-
θῆ πίστει πάντως. τοῦτο γὰρ καρπὸς καὶ αὔξησις εὐαγγελίου, τὸ πολλοὺς ποιεῖν μα-
θητάς. ἀφ' ἧς ἡμέρας ἠκούσατε. ἔχετέ, φησι, καὶ τοὺς ἄλλους ἐξ ὑμῶν ἔχειν.
ἔπαινος δὲ αὐτῶν ὅτι ἀφ' ἧς ἤκουσαν ἐν παύονται τῆ πίστει προσιόντες. τὴν χάριν τοῦ
θεοῦ τὴν ἀληθείας. ἐκ τῶν ἀπατηλῶν δὲ λόγοις ἢ καινοῖς, οὐ τὴν ἀληθείαν. ἀπὸ Επαφρᾶ.
ἐκεῖ πάντως ἐκήρυξεν ὁ Επαφρᾶς. τὸ ἀγαπητὸν δὲ, καὶ συνδούλου εἶπεν, ἵνα ἀ-
ξιόπιστον τὸν ἄνδρα δείξῃ. ὑπὲρ ὑμῶν διάκονος. πρὸς αὐτὸν τὸν Παῦλον ἀπελθών,

διάκονος ὑπὲρ

Διαθήκης ὑπὲρ αὐτῶν γέγονε. τῷ Χριστῷ δέφησιν, ἐπειδὴ ὑπὲρ ὧν εἰς χριστὸν ἀνηκόντων πραγμάτων Διενόησε. τὴν ὑμῶν ἀγάπην. ἣν ἔχετε, φησίν, εἰς ἐμέ. ἀγάπην δὲ ὑ σαρκικὴν, ἀλλὰ πνευματικήν. ἐν πνεύματι γάρ φησι.

Κεφ. ϛ'. » Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, ὑ παυόμεθα ὑπὲρ ὑμῶν προ-
» σευχόμενοι καὶ αἰτούμενοι, ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ, ἐν
» πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ κυρίου, εἰς πᾶσαν
» ἀρέσκειαν ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφορούντες, καὶ αὐξανόμενοι τῇ ἐπίγνω-
» σει τοῦ θεοῦ, ἐν πάσῃ δυνάμει δυναμούμενοι, κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς
» πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς.

Ἐπειδή, φησιν, ἠκούσαμεν τὴν πίστιν ὑμῶν καὶ τὴν ἀγάπην, ὑ παυόμεθα δεόμενοι. τοῦτο δὲ τῆς Παύλου ἀγάπης ἔλεγχος, κἀκείνων ῥῆμα καταγνώσεως, ὅτι καὶ ἐυχαῖς βοηθούμενοι, ὑκ ἀνεκλήσαντο ἑαυτοῖς. ἵνα πληρωθῆτε. ῥῆμα ἀνίπτεται, ὅτι ὑδέπω πρὸς τὸ τέλειον ἔφθασαν, ἀλλ' ἵνα μὴ λυπήσῃ, εἴπω τὸ, πληρωθῆτε, δέον, χαρίχθητε, ἢ πεῖν. καὶ τὸ, ἐν πάσῃ δὲ σοφίᾳ, τὸ αὐτὸ δηλοῖ. τὸ θελήματος αὐτοῦ. Τί δὲ τὸ θέλημα τοῦ πατρὸς; τὸ δι' ἡμῶν πρασσόμενα αὐτῷ τοὺς ἀνθρώπους, καὶ μὴ δι' ἀγγέλων. καὶ συνέσει πνευματικῇ. μὴ κατὰ τὴν ζήνεσιν, φησί, τῶν παρ' ὑμῖν σοφῶν. περιπατῆσαι ὑμᾶς. Τίς δὲ ὁ ἀξίως τοῦ κυρίου περιπατῶν; δῆλον ὡς ὁ ῥᾳδίαν πολιτείαν ἔχων. τὸ δὲ περιπατῆσαι, τὴν ἀνένδοτον ἧπ μονὴν πρὸς τὸ καλὸν δηλοῖ. εἰς πᾶσαν ἀρέσκειαν. τουτέστιν εἰς τὸ πάντων ἀρέσκειν αὐτῷ, καὶ ἔργῳ, καὶ λόγῳ, καὶ δόγμασι. τοῦτο γὰρ τὸ ἐν παντὶ ἔργῳ ἀγαθῷ. καρποφορούντες καὶ αὐξανόμενοι. τὴν μὲν πίστιν, φησὶν, ἐσχήκατε. δεῖ δὲ καὶ καρπὸν καὶ αὔξησιν, τὴν πίστιν πρίνασθαι, τὴν δὲ χρηστῶν ἔργων ζωὴν, καὶ τὴν ἐντελῆ τῶν δογμάτων ἐπίγνωσιν. τοῦτο δὲ παραδηλοῦ τός ἐστι, ὅτι προσαγωγέα τὸν υἱὸν νομίζει καὶ μεσίτην καὶ διαλλακτὴν πρὸς τὸν πατέρα, τῷ οἰκείῳ αἵματι τὴν καταλλαγὴν ἐργασάμενον. ἐν πάσῃ δυνάμει. ἵνα, φησὶ, πρὸς τοὺς πειρασμοὺς καὶ τοὺς ὑπὲρ πίστεως κινδύνους ἀντίσχητε ἀξίως τοῦ κράτους τῆς δόξης αὐτοῦ. εἰς πᾶσαν ὑπομονήν. ὑπομονὴν μὲν πρὸς τοὺς ἔξωθεν πολεμοῦντας, οἷς ὑδὲ ἀμύνασθαι ῥᾴδιον. μακροθυμίαν δὲ πρὸς τοὺς ἐξ ὑμῶν αὐτῶν ἐπιβουλεύοντας, οἷς ἐ ἀμύνασθαι δυνατόν. μετὰ χαρᾶς. μὴ μετὰ ἀνάγκης καὶ φόβου, ἀλλὰ μετὰ χαρᾶς εὐχαριστοῦντες τῷ θεῷ. δείκνυσι δὲ διὰ τούτων, μεγίστοις πειρασμοὺς ὑπ-
» μένειν αὐτούς. Εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ
» κλήρου τῶν ἁγίων ἐν τῷ φωτί, ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ
» μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ.

Ὅτι, φησὶ, κατηξίωσεν ἡμᾶς, διὰ τῶν ὁμοίων παθημάτων τοῦ κλήρου καὶ τῆς μερίδος τῶν ἁγίων, καὶ ἐχαρίσατο ἱκανοῖς ἡμᾶς γενέσθαι εἰς τε τὸ πάσχειν, εἰς τε τῶν ἐκείνων κλῆρον. καλῶς δὲ κλῆρον, οἱονεὶ κληρονομίαν τινὰ καὶ δωρεάν. ἐῤῥᾴθη γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλύπτεσθαι δόξαν. εἰς τὴν μερίδα. τὴν αὐτὴν, φησι, μερίδα τῶν ἁγίων, τὸν αὐτὸν ἡμῖν ἔδωκε κλῆρον. ἐν τῷ φωτί.

τῷ φωτί. τουτέστιν ἐν τῇ γνώσει τοῦ θεοῦ. ὃς ἐῤῥύσατο ἡμᾶς. ὑπὲρ γὰρ τὴν τυραννίδα ἦλθε τοῦ Διαβόλου, ἀφ' ἧς ἐλκύσας εἰς τὴν βασιλείαν τοῦ ἀγαπητοῦ υἱοῦ αὐτοῦ ἠγάγεν ἡμᾶς. τοῦτο λέγει, τὸ υἱοῦ τῆς ἀγάπης, ἤγουν τοῦ ἀγαπητοῦ υἱοῦ. πολλαὶ δὲ ἐν ἑκάστῃ λέξει ὑποβολαί. τὸ ὡς ἐν σιότητι ὄντας καὶ ὑπὸ τὴν τοῦ Διαβόλου ἐξουσίαν ῥυσθῆναι, καὶ ὑ τοῦτο μόνον, ἀλλὰ καὶ εἰς τὴν τοῦ υἱοῦ αὐτοῦ μεταθῆναι βασιλείαν. τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ. τοῦ ἀγαπητοῦ υἱοῦ περιφρασικῶς.

» Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν. Κεφ. γ'.
» ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως. ὅτι ἐν αὐτῷ ἐκτίσθη
» τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ, καὶ τὰ ἀόρατα, εἴτε θρό-
» νοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι. τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται.

Ἵνα μὴ νομίσῃς εἶναι τὸ πᾶν τοῦ πατρὸς, κοινωνοποιεῖται τὴν χάριν. ἐν ᾧ γάρ, φησιν, ᾧ. τουτέστι δι' οὗ υἱοῦ ἔχομεν τὴν ἀπολύτρωσιν, ὡσεὶ ἔλεγεν. ὁ μὲν πατὴρ μετέθηκε, ὁ δὲ υἱὸς δέδωκε τὴν ἄφεσιν, τῷ αἵματι αὐτοῦ ἄφεσιν ἁμαρτιῶν ἐργασάμενος. εἰ γὰρ μὴ ἀφείθημεν τῶν ἁμαρτιῶν, ὑκ ἂν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν μετέσημεν. ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. διὰ τὸ ἀπαράλλακτον καὶ πάντῃ θεῖον ἴσον δὲ ὅμοιον, εἰκόνα καλεῖ τὸν υἱὸν, οἱονεὶ ἐκμαγεῖον τοῦ ἀρχετύπου καὶ ἄλλους. πρωτότοκος πάσης κτίσεως. ὁρατῆς τε καὶ ἀοράτου, χυνηθεὶς σωαϊδίως. πρωτότοκος πάσης κτίσεως. Οἰκουμ.
τουτέστι πρὸ πάσης κτίσεως, πρωτοτόκως καὶ μονογενῶς χυνηθείς. Τινὲς ἐκ τῶν εἰκόνων τῶν ἐν ἡμῖν πλανηθέντες, αἳ εἰσιν ἐκ σανίδων καὶ κηροῦ, οὕτως ὑνόμασαν καὶ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ. ὡσπερεῖ, φησιν, αἱ τοιαῦται εἴδους μὲν καὶ ὁμοίωμα σώζουσιν ἀνθρώπου, ᾗ μὴν φύσιν ἢ οὐσίαν, οὕτω καὶ ὁ υἱὸς τοῦ πατρός. Ἀρειανικὸν δὲ τὸ δυσσέβημα. ἀλλὰ τοῖς τοῦτο λέγουσιν, ἀντιθετέον τὸ κείμενον ἐν τῇ χυνέσει τῆς ἡ. ὅτι, φησὶν, ὁ Ἀδὲμ ἐχύνισε καὶ τὴν εἰκόνα αὐτοῦ. πολὺ γὰρ ἁρμοδιώτερον ἐκεῖνα δέξασθαι περὶ εἰκόνος, ὅσα ἡ γραφὴ φησι περὶ τοῦ υἱοῦ καὶ πατρὸς ἀνθρώπων, (ἐπειδὴ καὶ τὸ πρεσκείμενον θεώρημα εἰς πατέρα καὶ υἱὸν θεοῦ ἀνήκει,) ἢ τὸ, ἐπὶ τῆς αὐτοῦ ξύλου καὶ κηροῦ εἰκόνος, ἥτις εἰκὼ ἔστιμεν κυρίως, λέγεται δὲ καταχρηστικῶς εἰκών. ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. πάντα γὰρ δι' αὐτοῦ ἐχύνετο, καὶ χωρὶς αὐτοῦ ἐχύνετο οὐδὲ ἕν, ὁ λέγομεν. ἢ δὲ πάντα, οὐκοῦν καὶ ἄγγελοι. πῶς οὖν δι' ἀγγέλων νομίζετε ἔχειν τὴν προσαγωγὴν, καὶ οὐ διὰ τοῦ υἱοῦ, τοῦ δεσπότου τῶν ἀγγέλων; εἴτε θρόνοι. ἐπὶ ὁμάδος ἦσαν τὰ ὁράματα, πάλιν ὥστερ καθ' ἕνος ἐπεξέρχεται τῷ λόγῳ. τὰ πάντα δι' αὐτοῦ. ἄνωθεν αὐτῷ ἦσαν ἐκτίσθαι τὰ πάντα, νοῦν ὥσπερ ἑρμηνεύων ἑαυτὸν φησι, πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἐκτίσται, δηλῶν ὅτι τὸ ἀρημμένον ἄνω, ἓν, ὅτιά ἐστι. καὶ εἰς αὐτὸν ἐκτίσται. τουτέστιν εἰς αὐτὸν ἥρτηται ἡ πάντων ὑπόστασις. χωρὶς μόνου ἐκτὸς μὴ ὄντος εἰς τὸ εἶναι παρέγαλμα, ἀλλὰ καὶ χωόμενα διακρατεῖ.

» Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε καὶ αὐτός ἐστιν ἡ κεφα-
» λὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται
» ἐν πᾶσιν αὐτὸς πρωτεύων. ὅτι ἐν αὐτῷ ἐυδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ
» δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυ-

ροῦ αὐτοῦ

» ρου αὐτὸ Δι' αὐτὸ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐπὶ τοῖς οὐρανοῖς.

Φωτ. Καὶ αὐτός ἐστι πρὸ πάντων. ὑκ εἶπεν ἐλεύτερ πρὸ πάντων, ἀλλ' ἐστι πρὸ πάντων, ρυτέστι πᾶν ὅ ἐὰν νοήσης, αὐτὸν προόντα καὶ πρεῦφεσῶτα εὑρήσεις, ἀϊδίως συνυπάρχοντα τῷ πατρὶ καὶ τῷ πνεύματι. τὸ γὰρ ἄχρονον, ἁρμόδιον θεῷ. ὲν αὐτῷ ζωὲ ςηκε. Δι' αὐτὸ τὼ λύεσιν καὶ τὼ διαμονὴν ἔχει. καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τὸ σώματος. δείξας καὶ θεῶν αὐτὸ τὼ δυώαμιν, λοιπὸν λέγει καὶ τὼ φιλανθρωπίαν, ὅτι πάντων ὑπάρχων δεατότης, τοῖς κάτω σωὴψεν ἑαυτόν. τῆς ἐκκλησίας. τὸ πάντων ἀνθρώτων λύους. πρωτότοκος ἐκ τῶν νεκρῶν. ἀρχὴ, φησιν, ἀναςάσεως καὶ πρόφασις νοούμενος. ἡ ἀπαρχὴ δὲ, δηλονότι καὶ τὸ πᾶν ἔχει ἑπόμενον. ἀπαρχὴ δὲ νοεῖται, τὸ ἐξαίρετον ἐ θεῷ ἢς θυσίαν προσαγόμενον. τὸτο γὰρ καὶ ὁ Χριςὸς πεποίηκεν. ὲν πᾶσιν αὐτὸς πρωτεύων. καὶ γὰρ καὶ πρὸ πάντων τῶν αἰώνων μεμένηκε ἐκτὸς πατρὸς, καὶ πρὸ πάντων ἀνθρώτων ἀνέςη ἐκ τῶν νεκρῶν, ἀνάςασιν τὼ χκ' ἔπ' ὀφθαλμῶν θάνατον. ὅτι ὲν αὐτῷ ἐυδόκησεν. θέλησις, φησὶ, καὶ ἐυδοκία γέγονεν τὸ αὐτῷ, ρυτέστι τῷ Χριςῷ. ἅπαν τὸ πλήρωμα κατοικῆσαι τῆς θεότητος, ὡσανεὶ εἶπεν. ἐπὶ τῶ ὁ Θεὸς λόγος, ἐκεῖ ᾤκησε. πᾶν τὸ πλήρωμα κατοικῆσαι. Οἰκουμ.

Οὐ σχετικῶς, ἀλλ' ὑσιωδῶς, ὡς ψυχὴ ὲν σώματι, ἡ ψυχὴ νοούμενος τῷ σώματι, ἀλλ' ὲν σώματι τῷ ψυχωθέντι ἑνωθείς, ὃν τρόπον ἑνοῦται ψυχὴ σώματι.

Ιωάν. Τὸ πλήρωμα, οἱ μὲν τῆς θεότητος φασὶ, καθάπερ ὁ Ἰωάννης ἔλεγεν, ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, ρυτέστιν ἐπὶ τῶ ὁ υἱὸς, ὅλος ὁ υἱὸς ἐκεῖ ᾤκησεν, ἡ χὶ ἐνέργειά τις, ἀλλ' ὑσία. ἡ κ' ἔχει δὲ αἰτίαν ἵνα τῆν ἡ δημίαν, ἀλλ' ἡ τὼ θέλησιν τ' θεοῦ. τοῦτο γάρ ἐστι, ὅτι τῷ αὐτῷ ἐυδόκησεν. ἀρηνοποιήσας. τὼ οὖσαν πάλαι ἔχθραν λύσας. εἶτα ἵνα μὴ νομίσης αὐτὸν ὑστερέρου τάξει τοῦτο ποιῆσαι, φησὶν, ἢς αὐτὸν, ρυτέστιν αὐτὸς ἑαυτῷ τε καὶ τῷ πατρὶ τοὺς ἀνθρώτους κατήλλαξε. λύσας γὰρ τὼ πάλαι ἔχθραν πρὸς θεόν τε καὶ ἀγγέλους καὶ ἀνθρώτους ἀρήνην ἐποίησεν. ὅρα δὲ ὧν λέξεων ὦς ἐμφάσεις. κατήλλαξε, φησὶ, καὶ ἀρήνευσεν ἡμᾶς δ' αὐτῷ, ρυτέστιν ἡ λόγῳ κελεύσας, ἀλλὰ σωματικῶς θυεργήσας, καὶ χὶ ἁπλῶς δ' ἑαυτοῦ, ἀλλὰ δι' τοῦ αἵματος ἐκ χθέντος, καὶ ἐκ χθέντος δὲ τὸ πρωτοτόκου θανάτου τὸ σωροῦ. Τὸ ὑστερβατὸν, ἀρηνοποιήσας δι' ἑαυτοῦ, ρυτέστιν αὐτουργήσας, ἀλλ' οὐ δι' ἑτέρων ἡμῖν πραγματευσάμενος τὼ ἀρήνην. πρὸ δὲ τούτου τούτων ἀρχάσατο; δηλ. τὸ αἵματος, φησὶ, τῆς σωροῦ αὐτοῦ. σωροῦντες γὰρ ὑπὸ ἡμῶν, ἀρήνευσε καὶ κατήλλαξεν ἡμᾶς. εἴτε τὰ ἐπὶ τῆς γῆς. καὶ γὰρ καὶ ἡμεῖς πρὸς ἑαυτοὺς ἐςασιάζομεν, καὶ πρὸς τοὺς ἀγγέλους ἔχθρα ἦν, ἀπὸ τε χθανομένους ἡμῖν, δηλ. τὸ ὑβρίζεσθαι τὸν αὐτῶν δεατότην ὑπὸ τῶν ἀνθρώτων. πῶς οὖν ἀρήνην γέγονεν; ἀπὸ γαλὼ ὲν χράνῳ τὸ σῶμα αὐτὸ, τὸ ἐχθρὸν πάλαι. ὤφθησαν δὲ καὶ ἐπὶ γῆς ἄγγελοι, καὶ γέγονε φιλία λοιπὸν καὶ ἀρήνη. πῶς οὖν δ' ἀγγέλων πρεσβεύεσθαι, φησὶν, ὑπενοῆτε τῶν ἐκπολεμωθέντων, ἡ μὴ αὐτὸς ἀρήνευσεν;

Κεφ. δ΄. » Καὶ ὑμᾶς πότε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθρούς τῇ διανοίᾳ, ὲν τοῖς ἔργοις » τοῖς πονηροῖς. νυνὶ δὲ ἀπεκατήλλαξε τῷ σώματι τῆς σαρκὸς αὐτὸ, διὰ τὸ θανάτου

παραςῆσαι

» παραςῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους, καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ.

Ενταῦθα δείκνυσιν, ὅτι καὶ ἀναξίους ὄντας τῆς καταλλαγῆς κατήλλαξε. ἦ τε γὰρ, φησὶν, ἐχθροὶ καὶ ἀπηλλοτριωμένοι. ἡ γὰρ μόνον ἡμᾶς ὑπὸ τὼ ἐξουσίαν τὸ Σατανᾶ, ἀλλὰ καὶ πρὸς τὸν Θεὸν ἀπεχθῶς εἴχομεν. καὶ ἐχθροὺς τῇ διανοίᾳ.

Φωτ. Αντὶ τοῦ γὰρ κακοῦντες ἑωρᾶτο μεν τὰ ἔργα τὰ πονηρὰ καὶ κατὰ σωαρταγὴν, ἀλλὰ μᾶλλον μελέτης, καὶ τὼ ἔχθραν τὼ πρὸς Θεὸν τοῖς λογισμοῖς πεπυτωκότες, οὕτως ἐπὶ τοῖς ἐχθραῖς αὐτοῦ τραξεις ἐχωροῦμεν. Διὸ ἄφατος ἡ Θεία φιλανθρωπία, ὅτι καὶ τοιούτους ὄντας, κατήλλαξε καὶ πεποιθέναι. ὲν τοῖς ἔργοις τοῖς πονηροῖς. ἡ μέχρι διανοίας ἴσως ἡ ἀλλοτρίωσις, ἡ δὲ ἄχρι πραξεως, ἀλλὰ καὶ τοῖς ἔργοις ἐχθροὶ ἦτε, φησὶ, τὰ ἐχθρῶν τραττοντες. ὲν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ. πάλιν τὸν τρόπον τῆς καταλλαγῆς δείκνυσιν, ἡδὺς Θεῖον αὐτὸν ὑπάρχοντα, ὅτι διὰ τὸ σώματος αὐτὸ, φησι, κατήλλαξεν, ἡ μόνον θλιγεὶς ἢ ῥαπισθεὶς, ἀλλὰ καὶ ἀποθανών, καὶ τῷ ἀισχίςῳ θανάτῳ. παραςῆσαι ὑμᾶς ἁγίους. ὅτερ ἄνω φησὶ, τῷ ἱκανώσαντι ἡμᾶς, τὸτο καὶ νῦν αἰνίτεται. ὅτι ἡ χ ἁμαρτιῶν ἐῤῥύσατο μόνον διὰ τῆς καταλλαγῆς, ἀλλὰ καὶ ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους παρέςησε. καὶ ἀνεγκλήτους. ὥςτερ μὴ δὲ λαβὴν ἁμαρτίας δεδωκότας. κατενώπιον αὐτοῦ. τὼ κατενώπιον αὐτὸ ἀκριβῆ λέγω χαρισαμένος.

» Εἴγε ἐπιμένετε τῇ πίςει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ » τῆς ἐλπίδος τὸ εὐαγγελίου οὗ ἠκούσατε τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ » τὸν οὐρανὸν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος.

Ινα μὴ χαύνους αὐτοὺς ποιήσῃ, καὶ νομίσωσιν ὅτι ὁ θάνατος τὸ χριστοῦ τὸ πᾶν ἠργάσατο καὶ λοιπὸν χρεία τινὸς ἡμετέρου, πρὸς τοῦτο φησιν. εἶγε, φησὶν, ἐπιμένετε τῇ πίςει τῆς ἐλπίδος τὸ εὐαγγελίου, καὶ χὶ ἁπλῶς ἐπιμένετε, (δεῖ γὰρ καὶ σαλευόμενον ἐπιμένειν,) ἀλλὰ τεθεμελιωμένοι, φησὶ, καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι. ἀπὸ τῆς ἐλπίδος τὸ εὐαγγελίου. Τίς δὲ ἡ ἐλπὶς τὸ εὐαγγελίου; ὁ χριστὸς. οὗ ἠκούσατε τὸ κηρυχθέντος. αὐτοὺς πρώτους καλέσας μάρτυρας, οὕτως εἶπε τὼ οἰκουμένην. χκ εἶπε δὲ κηρυσσομένου, ἀλλὰ κηρυχθέντος, τουτέστι πιστευθέντος λοιπόν. οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. τὸ ἀξιοθαύμαστον τὸ εὐαγγελίου δηλοῖ. οὗ, φησὶ, διάκονος ἐγενόμην ἐγὼ Παῦλος. λοιπὸν γὰρ μέγα ἦν τὸ Παύλου ὄνομα. καλῶς δὲ τὸ διάκονος. ὑδέν, φησιν, ἴδιον λέγω, ἀλλὰ Θεῷ διακονῶ.

» Νῦν χαίρω ὲν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα Κεφ. ε΄.
» τῶν θλίψεων τὸ χριστοῦ ὑπὲρ τῆς σαρκός μου, ὑπὲρ τὸ σώματος αὐτὸ, ὅ ἐστιν ἡ ἐκκλησία.
» ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὼ οἰκονομίαν τὸ θεοῦ τὼ δοθεῖσάν μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τὸ Θεοῦ. Καὶ τοῦτον, φησὶν, ἐστιν ἀληθὴς ἡ ἐλπὶς τὸ εὐαγγελίου, ὅτι καὶ πάσχειν αἱροῦμαι δι' αὐτὼ, καὶ χαίρω πάσχων. πάσχω δὲ, χὶ ὑπὲρ ἐμαυτὸ, ἀλλὰ δι' ὑμᾶς, ἵνα ὑμᾶς ὠφελῆσαι δυνηθῶ. καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα. βαβαὶ οἷον λέγει. ἡ ὁ χριστὸς ἐναθρωτώσας, ἐμτυχθεὶς καὶ ῥαπισθεὶς ὲ σωρωθεὶς καὶ ἀποθανών, ὀφείλων τί καὶ χρῶστῶν ὑμῖν ἀπῆλθεν ὡς μείζονα

παθεῖν

παθεῖν ὀφείλων, τοῦτα ἐγὼ ἀναπληρῶ. ἔτι γὰρ ὑστέρησε παθεῖν, ἐγὼ πάσχω,
Φωτ. φησίν. Ὁ Χριστὸς γὰρ ἅπαξ θεὶς καὶ ἐμπαιχθεὶς καὶ μαστιχθεὶς ἑαυτὸν σωρωθεὶς ὑπὲρ
ἡμῶν, οὐκ ἀπλῶς ἐπλήρωσε πάντα, ἀλλὰ καὶ ὑπὲρ νοῦν, καὶ ἐφράσω λόγῳ ἐξε-
πλήρωσε. χρεωστοῦμεν οὖν πάντες παθεῖν καθ' ἡμέραν, ἀντὶ τῶν μυρίων ἐκείνων καὶ σωτη-
ρίων παθῶν, καὶ αὐτοὶ ὑπομένειν καὶ ἀντεισάγειν παθήματα καὶ θλίψεις ὑπὲρ
Χριστοῦ καὶ τοῦ σώματος αὐτοῦ, ἵνα ἀνταναπληρώσωμεν ἃ ἔπαθεν ὁ Χριστὸς ὑπὲρ
ἡμῶν. ἀλλὰ μὴν ἀνταναπληρῶσαι αὐτὰ, ῥητέον ἵνα καὶ ὁμοίως παθεῖν, καὶ μηδενὶ ἐλ-
λιπεῖν δυνάμενον. ἀλλ' ὅσα οὐ πάσχομεν, ὑστερημά ἐστι πρὸς τὰς θλίψεις τοῦ Χριστοῦ.
πῶς γὰρ οὖν καὶ ἀνταναπληρωθείη τὸ, δεσπότου ὑπὲρ δούλου παθεῖν, δηλαδὴ τοῦ δούλου
ὑπὲρ δεσπότου; οὐ γὰρ ἴσον τοῦτο οὐδὲ ὅμοιον, πολλοῦ γε καὶ δεῖ. ἢ τὸ ἀναμάρ-
τητον ὑπὲρ ἁμαρτωλῶν καὶ προσκεκρουκότων, δηλαδὴ τοῦ τῆς ἁμαρτίας ὑπὲρ ἐνερ-
γήτου καὶ ἀναμαρτήτου; καὶ μυρία. Διὸ ὅσα ἄπτεσθαι πάσχοι ἀνταναπληρῶσαι θέ-
λων, ὑστέρημα τῶν θλίψεων τοῦ Χριστοῦ ἀνταναπληροῖ. Διὸ καὶ ὁ μακάριος Παῦ-
λος, ὁ πάντων πλέον ὑπὲρ Χριστοῦ δραμών, ὁ καθ' ἑκάστην ἡμέραν μυρία πάσχων
δεινά, τοῦτ' ἔλεγε καὶ διδάσκων ἔλεγεν. ὑπὲρ τοῦ σώματος αὐτοῦ. ἄνω ἔφην ὅτι
ὑπὲρ ὑμῶν πάσχω, νυνὶ βεβαιότερον καὶ ἀξιοπιστότερον αὐτὸ λέγω. μὴ γάρ, φη-
σιν, ἀπιστήσητε, ἢ ἆρα ὑπὲρ ὑμῶν ἀνέχομαι παθεῖν. ὑπ' ὑμῶν γὰρ πάσχων, ὑπὲρ
τοῦ σώματος τοῦ θεοῦ μου πάσχω. σῶμα γὰρ αὐτοῦ ἡ ἐκκλησία, ἣν ἐξίωσεν εἶναι κε-
φαλή. μέρος δὲ τῆς καθόλου ἐκκλησίας καὶ ὑμεῖς. ἧς ἐγὼμην ἐγὼ Διάκονος.
πείθεσθαι τοίνυν ὀφείλετε τῷ ὑπὸ θεοῦ γνωσθέντι Διακόνῳ. κατὰ τὴν οἰκονο-
μίαν τοῦ θεοῦ. ἣ τοῦτ' φησιν, ὅτι αὐτὸς ἀναλιφθεὶς, ἡμᾶς εἴασε κυρίαν, ἵνα μὴ
ἔγκαταλελεῖφθαι νομίσητε, ἢ ὅτι πλέον πάντων ἐμὲ δίωξαι συνεχώρησεν, ἵνα
ἀξιοπιστότερος κήρυξ, ἢ ὅτι γὰρ οὐ τοῦτ' ἔθνη ἐδέξαντο τὸν λόγον, δίχα θεοῦ οἰκονο-
μίας. ἧς ὑμᾶς. ῥητέον ἧς τοῦτ' ἔθνη. πληρῶσαι τὸν λόγον τοῦ θεοῦ. δείκνυσιν
» ὅτι ἔτι ἀπληρώτως εἶχον. Τὸ μυστήριον τὸ ἀπεκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ
» ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ θεὸς γνωρί-
» σαι τί τὸ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν
» ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν.

Τὸ μυστήριον τὸ ἀπεκεκρυμμένον. τοῦτ' ἔστι τοῦ θεοῦ ἐνεργησίων, ὅπ τὸ πᾶσιν
ἄγνωστον καὶ θεῷ μόνῳ ἐγνωσμένον, καὶ βεβουλευμένον μὲν ἀπὸ τῶν αἰώνων, ἀπε-
κεκρυμμένον δὲ, ἐφανέρωσε τοῖς ἀνθρώποις, ᾧ πᾶσιν, οἷς ἠθέλησεν. ἠθέλησε δὲ,
τοῖς ἀξίοις τοῦ γνῶναι. Τί τὸ πλοῦτος τῆς δόξης. οἰκονομία γέγονε, φησὶ, θεοῦ,
δι' ἐμοῦ γνωρισθῆναι τοῖς ἔθνεσι, τίς ἐστιν ὁ πλοῦτος τῆς δόξης τοῦ καταγγελλομέ-
νου μυστηρίου. λέγει δὲ περὶ τῆς ἀνανθρωπήσεως, ἐπὶ δὲ, καὶ περὶ τῆς τῶν ἐθνῶν κλή
σεως. ὧν τοῖς ἔθνεσιν. τοῦτ' ἐν τοῖς ἔθνεσι, φησὶ, γνωμένου. οὐχ ὅτι ἐν τοῖς ἔθνεσι
μόνοις γέγονεν, ἀλλ' ὅτι τοῦτ παραδοξότερον ἦν, τὸ προσκληθῆναι τοὺς τοσοῦτον ἀπὸ
χοντας θεοῦ. ὅς ἐστι Χριστὸς ὑμῖν. ὃς πλοῦτος μυστηρίου, φησίν, ἐστὶν ὁ Χριστός.
δι' αὐτοῦ πιστεύω καὶ πιστεύετε προσάγεσθαι, ὡς ὑμῖν ὄντος δηλαδὴ τῆς πίστεως.

Δι' οὗ,

δι' οὗ, φησιν, ἐλπίζομεν τῆς αἰωνίου δόξης τυχεῖν.

» Νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σο-
» φίᾳ. ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ, εἰς ὃ καὶ κοπιῶ ἀ-
» γωνιζόμενος, κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

Νουθετοῦντες πάντα ἄνθρωπον. οὐκ ἐξ ἀνάγκης, φησὶν, ἀλλ' ὡς πατέρες νου-
θετοῦντες. καὶ γὰρ καὶ τοῦτο θεοῦ μυστήριον, τὸ πείθειν καὶ μὴ βιάζειν τοὺς
ἐπὶ γῆς. ἐν πάσῃ σοφίᾳ. πῶς γὰρ οὐ σοφίας, τὸ πείθειν ἀλλ' ἀναγκάζειν ἔδοξε; ἵνα πα-
στήσωμεν πάντα ἄνθρωπον. ἀπλήστως γὰρ εἶχεν ἡ ἁγία αὐτοῦ ψυχὴ, καὶ πάντα ἄνθρω-
πον ἠβούλετο χριστῷ προσενέγκαι, καὶ εἰς τοῦτο ἐκοπία καὶ ἠγωνίζετο. εἶχε γὰρ καὶ
πρὸς ἀντιπάλους νουθετήσεις καὶ ἀπαθεῖς. κατὰ τὴν ἐνέργειαν αὐτοῦ. εἶτα ἐπαινεῖ,
κοπιῶ, εἴτε, καὶ ἀγωνιζόμενος, τὸν αὐτὸν πόνον καὶ ἀγῶνα τῷ χριστῷ ἀναπείθει,
ὡσπερεί εἴπεν. οὐκ ἐμὸν τοῦτο ἔργον. ὁ γὰρ ἰσχυρόνους ποιῶν καὶ ἀρκοῦντα πρὸς τοὺς ἀναν
πίους, ὁ χριστός ἐστιν, ἐνεργῶν τὸ ἐμοὶ τὸ δύνασθαι. ταύτην δὲ προτρέπεται αὐτοὺς
πείθεσθαι αὐτῷ, ὡς θεοῦ συνεργοῦντος αὐτῷ περὶ τὸ κήρυγμα. Κεφ. 5'. 2

» Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ
» ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκὶ, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμ
» βιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς
» ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ θεοῦ καὶ πατρὸς, καὶ τοῦ χριστοῦ ἐν ᾧ εἰσι πάντες οἱ θησαυ-
ναντο γίνεσθαι τοῦ κηρυττομένου. ἔλεγε δὲ καὶ ὁ κύριος. μακάριοι οἱ μὴ ἰδόντες καὶ
πιστεύσαντες, δι' ἀκοῆς δηλονότι ἐκ λόγου παραδεξάμενοι τὴν εὐσέβειαν. παρ' ἡ
μῶν τοῦ θεοῦ. παρ' ἡμῶν μὲν παρελάβετε, οὐχ ἡμέτερον δὲ ὄντα, ἀλλὰ τοῦ θεοῦ
τὸν λόγον. οὐ λόγον ἀνθρώπων. οὐχ ὡς λόγον, φησίν, ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀλη
θῶς λόγος θεοῦ. ἢ ἐδέξασθε, οὐχ ὡς λόγον ἀνῶν, ἀλλ' ὡς λόγον θεοῦ. καθώς, φησι, καὶ ἔστι
λόγος θεοῦ. ἢ ἐδέξασθε καθώς ἐστιν ἐπρέπε δέξασθαι λόγον θεοῦ, τουτέστι μετὰ φόβου, μετὰ
Οἰκουμ. πεποιθήσεως. ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν. Ἡ ἐνεργεῖ ἐν ὑμῖν, τουτέστι τὴν οἰκείαν δύναμιν
ἐπιδείκνυσιν, ἴσως διὰ σημείων τινῶν, ἢ ἐνεργεῖ), τουτέστιν αὔξει διὰ τῆς ὑμετέρας βίου.

» Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε ἀδελφοὶ ὄντες ἐκκλησιῶν τοῦ θεοῦ ὄντων ἐν τῇ
» Ἰουδαίᾳ ἐν χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλε
» τῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων τῶν καὶ τὸν κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς
» ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀν
» θρώποις ἐναντίων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπλη
» ρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

Καὶ ὅτι, φησίν, ὡς λόγον θεοῦ ἐδέξασθε, δῆλον ἐστιν, ἐξ ὧν ὑπὲρ αὐτῶν πε
σαυτὰ παθεῖν ὑπέσχεθε. ὥσπερ γὰρ ἐξ ὧν αὐτὸς ἔπασχεν, ἐπίστευτο τὸ θεῖα τινὰ κη
ρύσσειν, οὕτως καὶ ἐξ ὧν οὗτοι ἔπαθον, πιστοῦνται, ὅτι ὡς θεοῦ λόγον ἐδέξαντο τὸ
κήρυγμα. τῶν γὰρ ἐν τῇ Ἰουδαίᾳ ἐν χριστῷ. εὐφυῶς δηλονότι. ἐπεὶ γὰρ καὶ αἱ
συναγωγαὶ τῶν Ἰουδαίων τοῦ θεοῦ εἶναι δοκοῦσι, τῆς τῶν πιστῶν ἐκκλησίας, καὶ ἐν τῷ
θεῷ καὶ τοῦ ἑνὸς αὐτὸ λέγει εἶναι. τῶν ἐκκλησιῶν γάρ, φησι, τὸ θεοῦ, τῶν οὐσῶν ἐν
χριστῷ Ἰησοῦ. ὁ δὲ ἀρνούμενος τὸν υἱὸν, καὶ τὸν πατέρα ἄρνηται. ὅτι τὰ αὐτὰ ἐ
πάθετε. καὶ οὗτοι πολλοὶ ὑπέμειναν ὑπὸ τῶν ἰδίων συμφυτελῶν πειρασμοὺς,
ὥσπερ οἱ ἐκ προτερημῆς πιστοὶ, ὑπὸ τῶν τῷ Ἰουδαϊσμῷ ἐναπομεμενάντων. τῶν καὶ τοῦ
κυρίου ἀποκτεινάντων. εἰ τὶ θαυμαστόν, φησιν, ἢ τοὺς ἰδίους συμφυλέτας ἐκάκωσαν οἱ
Ἰουδαῖοι, ὅπου γε καὶ τὸν κύριον ἐσταύρωσαν; μεγάλη γὰρ πρὸς πειρασμοὺς παραμυ
θία τὰ τοῦ χριστοῦ παθήματα. διὸ καὶ ἀεὶ αὐτῶν μέμνηται. καὶ τοὺς ἰδίους προφή
τας. ἴσως, φησίν, ἐρεῖτις, ὅτι τὸν κύριον ἀγνοήσαντες ἀπέκτεινον. ἀλλὰ καὶ αὐτοὺς τοὺς
προφήτας τῶν τὰς βίβλους μετεχειρίζοντο ἠγνόουν; ἀλλ' ὅμως καὶ αὐτοὺς ἀπέκτεινον.

καὶ ἡμᾶς

καὶ ἡμᾶς ἐκδιωξάντων. καὶ ἡμῖν δέ, φησιν, ἀπεφήναντο. δεῖ οὖν ὑμᾶς γενναίως φέ
ρειν τοὺς πειρασμούς, ἀφορῶντας πρὸς τοὺς προπάτορας. καὶ θεῷ μὴ ἀρεσκόντων.
πῶς γὰρ τῷ παραυτῶν σταυρωθέντι ἀρέσαιεν; καὶ πᾶσιν ἀνθρώποις, φησίν, ἐναν
τίων. ἢ γὰρ τῇ οἰκουμένῃ τὸ κήρυγμα λαληθῆναι θεοῦ ἐστιν ἵνα σωθῇ, αὐτοὶ δὲ κωλύ
σει λαλῆσαι, καὶ πάντων τῶν σωτηρίαν ἐμποδίζουσιν, ἆρα κοινοὶ τῆς οἰκουμένης
ἐστὶν ἐχθροί, πρὸς τῶν πάντων σωτηρίαν ῥᾳδίως ἔχοντες. Εἰς τὸ ἀναπληρῶσαι. Φωτ.
τοῦτο δὲ καὶ πάλαι ἐπὶ τῶν προφητῶν, καὶ νῦν ἐπὶ τοῦ χριστοῦ καὶ ἐφ' ἡμῶν ἔφθασεν,
ἵνα πάντοτε ἀναπληρωθῶσιν αἱ ἁμαρτίαι αὐτῶν. ἐπειδὴ γὰρ πάντοτε τοῦτο ἔφαττε
ον, πάντοτε ἀνεπληροῦτο τῶν ἁμαρτίας αὐτῶν. αὐτῶν τὰς ἁμαρτίας. Ὁρᾷς ἐπι- Οἰκουμ.
τεταμμένως τῶν Ἰουδαίων κατηγορίαν, καὶ ἀξίαν τῆς αὐτῶν μανφονίας. φησὶ γὰρ ὅτι
πάντα ἃ ἐπρίσαν οἱ Ἰουδαῖοι, σπουδῇ τοῦ ἁμαρτάνειν ἐπρίοντο, τουτέστιν ἠδέσαν ὅτι
ἁμαρτάνουσι, καὶ ἡμάρτανον. εἰς τὸ ἀναπληρῶσαι γάρ, φησιν, αὐτῶν τὰς ἁμαρτίας.
οἷον ὅτι, ὥσπερ χρεωστοῦντες ἁμαρτάνειν, οὕτως ἡμάρτανον. ἔσωθεν γὰρ τὸν κύριον ἀγνο
οῦντες ἀπέκτειναν, τοῖς προφήταις δηλ. τί, ἐφ' οἷς σημαίνονται; ἡμᾶς δηλ. τί διώκουσιν;
ὑμᾶς δηλ. τί κακοῦσι; τὰ ἔθνη δηλ. τί κωλύουσι σωθῆναι; ἢ ἀγαθόν ἐστι τὸ προσελ
θεῖν τῇ πίστει Χριστοῦ τὰ ἔθνη, τί μὴ προστρέχουσι καὶ αὐτοί; ἀλλὰ καὶ τοῖς προστρέ
χοντας ἐπιχειροῦσι κωλύειν; ἢ δὲ ὄκ ἀγαθὸν ἡγοῦνται, τί διαφθονοῦνται τοῖς
προσιοῦσι; τί δὲ αὐτοῖς καὶ ὧν ἔθνων μέλει; ὁρᾷς πῶς ἑκουσίως ἁμαρτάνουσι, καὶ
πάντα πρίουσιν εἰς τὸ πάντοτε ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας, τουτέστιν ἕνεκα τοῦ
μηδέποτε ἀφεῖναι αὐτοῖς τὸ ἁμαρτάνειν; διὰ τοῦτο φησι, καὶ ἐφθασεν ἐπ' αὐτοὺς ἡ
ὀργὴ εἰς τέλος. ἀεὶ μὲν γὰρ ἁμαρτανόντων, ἕστερον ἡ ὀργή. ἀνεβάλλετο δὲ, τὴν
μετάνοιαν χώραν διδοῦσα, νῦν δὲ κατέλαβεν αὐτούς. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀρ
γή. δῆλον ὅτι οὐχ ὁ πολλοὺς ἔχειν τῶν πειρασμῶν κοινωνοὺς τοσοῦτον παραμυθεῖται,
ὡς τὸ ἐκδικεῖσθαι ἀπὸ τῶν ἐχθρῶν. ἡ ὀργή, φησι. τὸ ἄρθρου ἡ προστακτικὴ, δείκνυ
σιν ὀφειλομένην αὐτοῖς πάλαι τὴν ὀργήν. εἰς τέλος. ὄκ ἔτι, φησὶν, ὡς πάλαι δου
λεία καὶ πάλιν ἐλευθερία, ἀλλαλωσία καὶ πάλιν ἐπανόδος, καὶ ὀργὴ θεοῦ καὶ πά
λιν καταλλαγή, ἀλλ' εἰς τέλος, φησὶν, ἡ ὀργὴ τοῦ θεοῦ ἐπ' αὐτοὺς, τουτέστιν ἄχρι τέ-
» λους. οὐκέτι λύσις τῶν κακῶν. Ἡμεῖς δὲ ἀδελφοὶ ἀπορφανισθέντες ἀφ' ὑμῶν Κεφ. β'.
» πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑ-
» μῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ. διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς. ἐγὼ μὲν Παῦ-
» λος καὶ ἅπαξ καὶ δίς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς.

Ἀνωτέρω, ὅπως πατὴρ τέκνοις σωζόμην, νῦν ὡς τέκνον πατέρας ἐζήτει.
τοῦτο γὰρ τὸ, ἀπορφανισθέντες, ἀντὶ τοῦ ὀρφανοὶ καταλειφθέντες ἀφ' ὑμῶν. ὁρᾷς ὅση
τοῦ χωρισμοῦ ἡ λύπη; τοῦτο δὲ διὰ τὴν πολλὴν ἀγάπην. πρὸς καιρὸν ὥρας. οὐκ οἶδε
φῆσεῖν, φησιν, ὅτι ὁ χρόνος τοῦ χωρισμοῦ τὴν ἀθυμίαν ἐποίησεν, ἀλλ' ἡ ἀγάπη. πρὸς
ὥρας γὰρ καιρὸν ἐχωρίσθημεν. προσώπῳ, οὐ καρδίᾳ. καὶ γὰρ καρδίᾳ ἐχωρίσθη
μεν, φησίν, ἀλλὰ προσώπῳ μόνῳ, καὶ ὅμως οὕτως ἐθυμήσαμεν. ὁρᾷς ὅση ἡ ἀγάπη;
ἵνα τοι καὶ πρὸς ὥραν καὶ προσώπῳ χωρισθείς. οὐ γὰρ καρδίᾳ ἡμῶν, ὑμᾶς ἔχομεν,
φησιν.

BIBLIOTECA
UNIVERSITARIA
SALAMANCA

φησιν. πλειοτέρως ἐσπουδάσαμεν. ἢ, ὡς ἔγωγε ἴσως, τοῖς πρὸς ὥραν ἀπολειφθέντας. ὅρα δὴ ἀγάπωμεν, ὅτι διὰ τοῦτον ἕτερον παρακινέσθαι θέλω, φησὶν, ἀλλ' ἵνα τὸ πρόσωπον ὑμῶν ἴδω. διὸ ἠθελήσαμεν ἐλθεῖν. ὅρα αὐτὸν, μικροῦ καὶ ἐγκαλλωπιζόμενον τῇ ἀγάπῃ. πάντες μὲν, φησιν, οἱ μετ' ἐμοῦ, ἐσπούδαζον ἐλθεῖν, ἐγὼ δὲ ἅπαξ ἐβουλήθησαν. ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. ἐσχέσχον τὴν προθυμίαν, φησὶν, οἱ ἐπάλληλοι πειρασμοί. τοῦτο δὲ ὁ κοινὸς κινεῖν πολέμιος εἴωθεν, οὗ δὴ χάριν κεκωλύθαι τὴν πρὸς αὐτοὺς ἐκδημίαν. τί φής; ἐνέκοψέσε ὁ Σατανᾶς; ναί, φησιν. διὰ τοῦτο τοῦτο ἔργον ἴσως, τὸ ἡμᾶς πειρασμοῖς με καὶ θλίψεις ἐμπεσεῖν, ὡς καὶ κωλυθῆναί μου τὴν πρὸς ὑμᾶς ὁδόν. τοῦτο γὰρ ἐγκοπὴν τὸ Σατανᾶ λέγει. ἡ μὲν Ῥωμαίων λέγει, ὁ θεὸς ἐκώλυσέ με. ἡ δὲ Κορινθίων, τὸ πνεύματος ἔργον ἐλεγεν τὸ μὴ ἐλθεῖν με. ὥδε δὲ ἐπῳδὴ τῷ πειρασμοῖς ἐμπεσεῖν ἐνεργάζεται, τὸ Σατανᾶ λέγει αὐτὸ ἔργον, καθὸ συγχώρησιν τοῦ θεοῦ γεγονός.

» Τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν
» τοῦ κυρίου ἡμῶν Ἰησοῦ τῇ αὐτοῦ παρουσίᾳ; ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά. διὸ μη
3 » κέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι.

Ὡ τρόπος ἀγάπης ταῦτα τὰ ῥήματα. αἱ μερίδες ἀεὶ πρὸς τὰ παιδία ταῦτα λαλοῦσιν. ἢ στέφανος καυχήσεως. ἤρκει καὶ ὁ στέφανος δεῖξαι, ἢν ἔχει δι' αὐτοὺς λαμπρότητα καὶ καύχημα, ἀλλὰ δεῖ πολλὴν ἔνδειξιν, καὶ καυχήσεως προσήκοντος, ὥστε εἶπεν. ἐφ' ὑμῖν μᾶλλον, ἢ ἐπὶ στέφανῳ ἀγάλλομαι. ἢ οὐχὶ καὶ ὑμεῖς; τί οὖν Θεσσαλονικεῖς ἔσται ἐλπὶς σου, ὦ μακαρία ψυχή; οὐχ οὗτοι μόνοι, φησί. διὸ ἐπάγει τὸ, καὶ, δεικνὺς καὶ ἄλλους ὄντας. ὑμεῖς γὰρ ἐστε ἡ δόξα ἡμῶν. ὡσπερ γὰρ αὐτὸν οἶδε διατίθεσθαι, ὥστε πανταχοῦ ἐκκλησίαν πιστῶν ὑπ' αὐτοῦ φυτευθεῖσαν προσάγοντα τῷ χῷ; εὐδοκήσαμεν καταλειφθῆναι. εἰλόμεθα, φησὶ, καὶ ἀνεσχόμεθα.

» Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ Διάκονον τοῦ θεοῦ καὶ συνερ-
» γὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς
» περὶ τῆς πίστεως ὑμῶν, τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδα-
» τε, ὅτι εἰς τοῦτο κείμεθα. Τοιαύτη τοῦ ἁγίου Πνεύματος μέθοδος. ὅταν δὲ πει-
ρασμοὺς καὶ τὸν ῥᾳθυμότερον βίαν μὴ δύνηται πρός τινας ὧν μαθητῶν ἀπελθεῖν, ἑτέρους πέμπει, καὶ διὰ μέσου αὐτῶν ζώντες καὶ σωματιστρίβει αὐτοῖς. τοῦτο πρὸς Φιλιππησίους, τοῦτο πρὸς Κορινθίους πρεῖ, τὸν αὐτὸν Τιμόθεον πέμψας, καὶ διὰ μέσου αὐτοῦ ὁμιλῶν αὐτοῖς. τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ θεοῦ. τοῦτο φησὶν, ὃ προσῆκον τὸν Τιμόθεον ἐπαίρων, ὅσον τὸν πρὸς Θεσσαλονικεῖς ἀποστολήν. ὅτον, φησὶν, ὑμῖν ἔπεμψα. καὶ συνεργὸν ἡμῶν. ὥστε εἶπε, ῥιούργου ἔργου αὐτὸν ἀποστάσαμεν διὰ τὸν πρὸς ὑμᾶς ἀγάπην. ὡς σαλευομένοις ἐφ' οἷς ἴσως ὁ Διάβολος ἐν πειρασμοῖς. μέγας γὰρ ὄντως θόρυβος τοῖς μαθηταῖς, τὸ εἶναι τὸν διδάσκαλον ἐν πειρασμοῖς. καὶ παρακαλέσαι ὑμᾶς. ἡ γὰρ πρόκλησις, ὑπὲρ τοῦ μὴ σαλευθῆναι εἰς τὴν πίστιν ἐγένετο. τὸ μηδένα σαίνεσθαι. οἷον θορυβεῖσθαι, ταράττεσθαι ἀπὸ μεταφορᾶς τῶν ὑδάτων παρασυόντων κυμάτων, μὴ κινεῖσθαι, μηδὲ ὑποτέρας

τέρας ἐξίστασθαι γνώμης. ἐν ταῖς θλίψεσι ταύταις. πολλὰ γὰρ ἴσως τότε θλιβεῖς, ὡς καὶ αὐτὸς ἔφη, ὅτι ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. ἐδεῖ δὲ ὑμᾶς θορυβηθῆναι, φησὶν, ἵνα σαινθαλισθῆναι, ἐφ' οἷς ἐγὼ θλίβομαι. διὰ τί; καὶ ὑμεῖς γὰρ αὐτοὶ οἴδατε, φησὶν, ὅτι εἰς τὸ θλίβεσθαι κείμεθα, τοῦτέστιν εἰς τοῦτο κεκλημώμεθα, εἰς τοῦτο ἀπολογούμεθα. καὶ ἀνέχου φησι. διὸ εὐδοκῶ ἐν ἀνάγκαις, ἐν θλίψεσι. καὶ πάλιν ἡθφαπίους τοὺς ἀπροσόλοις καλεῖ. ὅτι εἰς τοῦτο κείμεθα. καὶ ὑποδεῖξαι μελλουσῶν θλίψεων αὐτοὺς παραμυθεῖται. αὐτοὶ γὰρ εἰς τοῦτο κεῖσθαι ἀνάγκη, τὸ ἀεὶ θλίβεσθαι.

» Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, κα-
» θὼς καὶ ἐγένετο καὶ οἴδατε. διὰ τοῦτο κἀγὼ μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν
» πίστιν ὑμῶν, μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

Πολλὴ παραμυθία τοῖς μαθηταῖς, ὅτι προεῖπε μέλλειν θλίβεσθαι. λοιπὸν γὰρ οὐχὶ ὡς ἐπ' ἀπροσδοκήτου ἐθορυβοῦντο. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς ἀπροσόλοις. ἄρτι εἶπεν ὑμῖν πρὸ τοῦ γένεσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε. καθὼς καὶ ἐγένετο καὶ οἴδατε. μαρτυρεῖτε, φησὶ, καὶ ὑμεῖς, ὃ λέλειπεν ὑμᾶς ἡ μέλλουσα θλῖψις. διὰ τοῦτο κἀγὼ μηκέτι στέγων. ἡ προεῖπας αὐτοῖς ὅτι θλιβήσῃ, καὶ ὅτι δεῖ αὐτοὺς ἐπὶ τῇ θλίψει θορυβεῖσθαι, τί πάλιν πέμπεις; ἀπὸ πολλῆς ἀγάπης, φησίν. οἱ γὰρ ἀγαπῶντες, καὶ τὸ ἀσφαλὲς ὑποπτεύουσι. καὶ ὅτι τοῦτο ἦσαν οἱ πάλαι πειρασμοὶ, ὡς καὶ ἔτι φοβῆσαι τὸν Παῦλον. ὅρα δέ. ἐνέτεινεν ἀμφιβάλλων περὶ ὑμῶν, ἀλλ' ὁ πολλῆς ἀγάπης δεινότερον, μηκέτι στέγων, φησίν. ἔπεμψα εἰς τὸ γνῶναι. Εντεῦθα πινές ζητοῦσι, τί δήποτε ὁ ἕως τρίτου οὐρανοῦ ἀναβὰς, καὶ ἀῤῥήτα ἀκούσας ῥήματα, εἶπεν εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν. τί γὰρ ἠγνόει τοῦτο δεύτερον, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα; καὶ φαμεν, ὅτι οὐ πάντα ᾔδεσαν οἱ ἀπόστολοι, ἀλλὰ καὶ ἠγνόουν πινά. τοιοῦτο δὲ τὸ ἄγνοιαν καὶ ἐπὶ τῶν παλαιῶν εὑροιτις. καὶ γὰρ Ἐλισσαῖος ἀγνοῶν τὸν θάνατον τοῦ παιδὸς τῆς Σαραφθίας, ἔλεγε πρὸς Γιεζί, καὶ κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ. ἠγνόουν δὲ διὰ τρεῖς μάλιστα αἰτίας. πρῶτον, ἵνα καταστέλληται αὐτῶν τὸ φρόνημα. ἐδόθη γάρ μοι, φησὶν, ἄγγελος Σατᾶν. δεύτερον, ἵνα μὴ λογίσωνται αὐτοὶ οἱ ἄνθρωποι, μείζους ἢ καθ' ἀνθρωπίνην φύσιν. τρίτον, ἵνα γνῶμεν πάντες ὅτι ὁμοιοπαθεῖς ἡμῖν ὄντες ἀνθρωποι, οἰκείοις πόνοις ἐπ' ἀρετὴν κατορθοῦμεν ἃ κατορθοῦμεν, καὶ μὴ ἀπὸ θείας ἀπονήλαιου ἡπωνοίας, ἵνα μὴ δόξωσι χάριτι καὶ μὴ ἀρετῇ εἶναι οἷοι ἦσαν. μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων. οὐ γὰρ ὑποπτεύσαμεν ὑμᾶς σεσαλεῦσθαι, φησὶν, ἀλλὰ μόνον πεπειράσθαι. ἆρα τὸ ἐν πειρασμοῖς θορυβεῖσθαι, διαβολικόν ἐστι, καὶ μάλιστα ἐξ ὧν ἄλλοι θλίβονται τὸ, ἄλλοις σκανδαλίζεσθαι. καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. διὰ τί; ἡ γὰρ καὶ πρέπρακώσαν, μὴ παρὰ τὴν ἀπίαν τοῦ γέγονεν; οὐχί φησιν. ἀλλ' ὅμως καὶ οὕτως δέδοικα διὰ τὴν ἀγάπην. Ιωάν.

» Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν
» πίστιν καὶ τὴν ἀγάπην ὑμῶν. καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν, πάντοτε ἐπιπο-
» θοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς. Ὁρᾶς τὴν πολιχάρειαν αὐτοῦ; οὐ γὰρ εἶπεν ἀπαγγείλαντος, ἀλλὰ εὐαγγελισαμένου. καὶ ὅτι ἔχετε μνείαν ἡμῶν.

τῆς γὰρ

τῆς γὰρ πίστεως βεβαίας οὔσης, ἀνάγκη καὶ τῶν πρὸς ἡμᾶς μνήμην εἶναι βεβαίαν. καθάπερ καὶ ἡμεῖς ὑμᾶς. μεθ' ἑτοιμίου. ὅτι οὕτως, φησὶν, ἀγαπᾶτε, ὡς ἀγαπᾶσθε. διὰ τοῦτο παρεκλήθημεν. ἀλλὰ μᾶλλον, φησὶν, ἠλπίσαμεν, μήπως ἐπειράσθητε καὶ ἐληγοῦμεν, ἐπεὶ δὲ Τιμόθεος ἀπήγγειλεν ἃ ἀπήγγειλεν, οὐ μόνον τοῦ ἀλγεῖν ἐπαυσάμεθα, ἀλλὰ καὶ χαρᾶς ἐπλήσθημεν.

» Διὰ τοῦτο παρεκλήθημεν ἀδελφοὶ ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως, ὅτι νῦν ζῶμεν ἐὰν ὑμεῖς στήκητε ἐν κυρίῳ. τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν.

Ὢ ψυχὴ ἁγία καὶ θεοφιλής. ἐπὶ πάσῃ, φησὶ, τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, ἐφ' ὑμῖν καὶ ἐπὶ τῇ ὑμετέρᾳ πίστει παρεκλήθημεν καὶ παρεμυθήθημεν, ὥστε εἶπεν. ὅτι δὲ αἴσθησις ἡμῖν τῆς λύπης γεγένηται διὰ τοῦτο ἐφ' ὑμῖν χαράν. διὰ τῆς ὑμῶν πίστεως. αὕτη γὰρ ἀσάλευτος μένασα, τοῦτο παράκλησιν ἡμῖν ἠργάσατο. ὅτι νῦν ζῶμεν. ὑκ εἴτε παρεμυθήθημεν ἢ ἀνεστενύξαμεν ἐκ τῶν κακῶν, ἀλλ' ὁ μεῖζον ἴσως, νῦν ζῶμεν, φησὶ, ζωὴν ἡγούμενος τοῦτο ἐκείνων τὴν πίστεως βεβαίωσιν, ἐ θάνατον τὸ αὐτῆς παρασαλευθῆναι. ἐὰν ὑμεῖς στήκητε ἐν κυρίῳ. ἐν κυρίῳ δὲ ἵστανται, οἱ τοῦτο πίστιν αὐτὸ ἀκλινῆ φυλάττοντες, καὶ τὸν βίον ἴσον τῆς πίστεως παρέχοντες. τίνα γὰρ εὐχαριστίαν. καὶ τοσαύτη, φησὶν, ἡ διὰ ὑμᾶς χαρὰ, ὅτι οὐδὲ εὐχαριστεῖν κατ' ἀξίαν εὑρίσκομεν. ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν. ἡνίκα ἔμπροσθεν τοῦ θεοῦ χαίρομεν. αὐτὸς γὰρ παντὸς ἡμῖν τῆς χαρᾶς αἴτιος, ἐ αὐτὸ τὸ δῶρον. ὑπερεκπερισσοῦ δεόμενοι. ἐκ κεχυμένοι, φησὶ, πρὸς τὸ τοιαῦτα δέησιν, ἐ πλέον δεόμενοι ἢ πρὸς ἡνίκα δεῖσθαι τὸν ἰδεῖν μαθητὰς βουλόμενον. καὶ καταρτίσαι. ἐπὶ οὖν σαλευομένων τῇ πίστει, στηρίξαι λέγει. ἐπὶ δὲ οὖν τῇ πίστει μὴ ἐστηριγμένων, μικρὸν δὲ πρὸς διδαχὴν ἐλλειπόντων, καταρτίσαι λέγει, οἷον ἀναπληρῶσαι. τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν. καίτοι ἄνω, τὸ ἑστάναι αὐτοὺς ἐμαρτύρησε. τοῦτο γὰρ ἐ Τιμόθεος, ὡς φησὶν, ἐμαρτύρησε. πῶς οὖν λέγει τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν; ἐ φαμὲν, ὅτι ἠθέλησεν αὐτοὺς εἰς διδασκαλίαν ἴσως τὰ περὶ ἀναστάσεως ἢ τι τοιοῦτον. ἐν μὲν οὖν τῇ εἰς χριστὸν πίστει βέβαιοι ἦσαν, μὴ πλατυνθέντες τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσιν. ἔδει δὲ αὐτοὺς καὶ τὰ λοιπὰ τῶν καθ'

Κεφ. γ'. » ἡμᾶς δόγματος μαθεῖν. Αὐτὸς δὲ ὁ θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθῦναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς. ὑμᾶς δὲ ὁ κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

Ἐνταῦθα διὰ τῆς εὐχῆς ἅμα καὶ ἀπολογεῖται, ὅτι οὐ παρέμεινα, φησὶν, ἀμέλειαν οὐκ ἦλθον. καὶ γὰρ καὶ εὐχόμενοι, φησὶ, τὸ ἐλθεῖν, ὡσανεὶ ἔλεγε. ὁ θεὸς ἐκκόψαι τὰς Σατανᾶς τὸν πάντα χοῦν ἡμῖν διὰ τῶν πειρασμῶν ἐμποδίζοντα, ἵνα ὀρθὴν ὁδὸν πρὸς ὑμᾶς ποιησώμεθα. πλεονάσαι. ὅρα πρόθυμον ἀγάπην εἶναι βούλεται, ὅτι ἐ πλεονάσαι καὶ

νάσαι καὶ περισσεύσαι αὐτοὺς ἐν τῇ ἀγάπῃ εὔχεται. εἰς ἀμπλοιοὺς καὶ εἰς πάντας. τοῦτο γὰρ χριστιανῶν, τὸ μὴ μόνον τοὺς ἀδελφοὺς ἀγαπᾶν, ἀλλὰ καὶ πάντας ἀνθρώπους, καὶ πιστοὺς, καὶ ἀπίστους. καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς. τὸ μὲν ἡμῶν πάρεστι, φησὶ, τὸ δὲ ὑμῶν γένεσθαι, εὐχόμεθα. εἰς τὸ στηρίξαι. εἰς τὸ πῶς ἀγάπῃ, φησὶ, στηρίξαι ὑμῶν τὰς καρδίας. ἀν γὰρ αὐτὴ περισσεύῃ, στηριγμὸς ἐστὶ τῶν κεκτημένων αὐτήν. τὰς καρδίας φησὶν. ἐαυτῶν γὰρ καὶ τὸν ἔσω ἄνθρωπον στηρίζειν σπεύδει. κωλύει γὰρ ἐκ βαίνειν ἐξ αὐτῆς διαλογισμοὺς πονηροὺς. ὁ μακάριος Βασίλειος ἐν τῷ πρὸς Ἀμφιλόχιον ζητᾷ θεολογεῖ τὸ πνεῦμα, φησὶ τὸν Παῦλον, αὐτὸ τὸ ἅγιον ἐυχεσθαι πνεῦμα νῦν. τίς γὰρ ὁ στηρίξαι, φησὶν, ἐν ἀγάπῃ τὰς καρδίας αὐτῶν ἔχων ἔμπροσθεν τοῦ πατρὸς ἐν τῇ παρουσίᾳ τοῦ ἰησοῦ; δηλονότι τὸ πνεῦμα. τίς δὲ ἐυχεται ἑτέρῳ, πλὴν θεῷ; τίς ἐυχάς μου γάρ, φησὶ, τῷ κυρίῳ ἀπροσώπῳ. ἐκεῖ πρόσχες. ἀμέμπτοις ἐν ἁγιωσύνῃ. ἵνα μὲν τὸ ἀμέμπτοις, νῦν δὲ ἐ τὸ, ἐν ἁγιωσύνῃ, πρόσθεκεν, οἷον ἐν καθαρότητι. ἱκανὸς μὲν τὸ ἀμέμπτοις, νῦν δὲ ἐ τὸ, ἐν ἁγιωσύνῃ, πρόσθεκεν, οἷον ἐν καθαρότητι. ἀλλ' ὁ μὲν λέγει δὲ περὶ σωφροσύνης μόνης, ἀλλὰ καὶ περὶ πάσης ἀρετῆς. τοῦτο γὰρ ἁγιασμὸς, τὸ πάντες ἐν σπουδὴν καθαρὸν εἶναι. ἔμπροσθεν τοῦ θεοῦ. ἢ τοῦτο φησὶν, ἐν ἁγιωσύνῃ τῇ ἔμπροσθεν τοῦ πατρός. αὕτη γὰρ ἡ ὄντως ἁγιωσύνη, τὸ ἔχειν αὐτὴν τοῖς ὀφθαλμοῖς τοῦ θεοῦ μαρτυρουμένους. ἢ ὅτι κρίνοντος τοῦ χριστοῦ, ἥτις κρίσις ἔμπροσθεν τοῦ πατρὸς γίνεται. πρὸ γὰρ καὶ ἀστεῖναι εἶχεν ὁ πάντα σωτῆρα πατήρ;

» Τὸ λοιπὸν οὖν ἀδελφοὶ, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν κυρίῳ Ἰησοῦ, καθὼς » παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν θεῷ, ἵνα περισσεύητε μᾶλλον. οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ κυρίου Ἰησοῦ. » τοῦτο γάρ ἐστι θέλημα τοῦ θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν.

Τὸ λοιπὸν οὖν ἀδελφοί. τοῦτο γὰρ λέγειν, τὸ εἰς παραίνεσιν ἐλθεῖν. ἢ τὸ λοιπὸν αὐτὶ τοῦ ἀπροσδοκήτως ἐστίν. ἐρωτῶμεν ὑμᾶς. τὸ ἐρωτῶμεν καὶ παρακαλοῦμεν, ταυτόν ἐστι καὶ ἰσοδυναμεῖ. ἐν κυρίῳ Ἰησοῦ. ὅρα τὰ εὐνοφροσύνια. ἐπὶ πρὸς πρᾶκλησιν ἑαυτὸν ἀξιόπιστον εἶναι νομίζει, ἀλλὰ τὸν χριστὸν παραλαμβάνει. διὰ τοῦ χριστοῦ γάρ, φησὶν, ὑμᾶς παρακαλῶ. καθὼς παρελάβετε. τὸ παρελάβετε, οὐχὶ ῥήματα τῶν μόνον ἐστὶν, ἀλλὰ καὶ πραγμάτων. ἐξ ὧν γὰρ αὐτὸς ἐβίου, τύπος τοῖς μαθηταῖς ἐγίνετο. ἵνα περισσεύητε. καὶ πλέον τί, φησὶν, ὧν ἠκούσατε ποιεῖτε. ὡς νηπίοις γὰρ τὰ τέλεια ἐτάττετο, φησί. προβαίνοντες δὲ τῇ πίστει, προβαίνετε καὶ τῇ πολιτείᾳ. οἴδατε γὰρ τίνας παραγγελίας. τῇ ἐκείνων μνήμῃ ἐγκεγραμμένας αὐτοῖς καταλιμπάνει. ὁ ἁγιασμὸς ὑμῶν. θέλημα γὰρ θεοῦ, φησὶν, ἡ σωφροσύνη ὑμῶν. ὧν ἑκάστῃ δὲ ἐπιστολῇ, τῆς σωφροσύνης μάλιστα πολὺ ποιεῖται λόγον. οἶδε γὰρ τὸ πάθος τὸ » τυραννικὸν καὶ δυσπαράβατον. Ἀπέχεσθαι ὑμᾶς αὐτοὺς τῆς πορνείας, ἕδνα ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν θεὸν, τὸ μὴ ὑπερβαίνειν ἐ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ κύριος περὶ πάντων τούτων, καθὼς ἐ προείπαμεν ὑμῖν ἐ διεμαρτυράμεθα. γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεὸν τὸν καὶ δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς.

Τίς δὲ ὁ ἁγιασμὸν; ἀπέχεσθαι ὑμᾶς, φησιν, ἀπὸ πάσης πορνείας. πολλαὶ γὰρ ἀκολασίαι ἦσαν. ἤδεναι ἕκαστον ὑμῶν. ἆρα ἀσκήσεως καὶ μαθήσεως ἐστι τὸ σωφρονεῖν. τὸ ἑαυτοῦ σκεῦος. σκεῦος, τὸ σῶμα φησίν. ἐὰν οὖν αὐτὸ τῷ ἁγιασμῷ ἔχωμεν, ἡμεῖς αὐτὸ κεκτήμεθα, ἐὰν δὲ ἐν πορνείᾳ, ἡ ἁμαρτία αὐτὸ κέκτηται. τινὲς τὸ ἑαυτῶν σκεῦος, τὴν ὁμόζυγον ἡρμήνευσαν. ἐγὼ δὲ νομίζω, τὸ ἕκαστον σῶμα οὕτως αὐτὸν κεκλικέναι. ἡ γὰρ τοῖς γεγαμηκόσι μόνοις, ἀλλὰ καὶ τοῖς ἀγάμοις, καὶ ταῖς χήραις ἡ νομοθεσία προσφέρει. μὴ τῷ πάθει ἐπιθυμίας. ποῖα δὲ τὰ πάθη τῆς ἐπιθυμίας; τὰ ὑποκαύματα ταύτης, οἷον τρυφή, πλοῦτος, ῥαθυμία, ἀργία. ταῦτα γὰρ πάθη ἐπιθυμίας ἐστίν, ὡσεὶ εἴτις, δυνάμεις καὶ ἰσχὺς αὐτῆς. τὰ ἔθνη τὰ μὴ εἰδότα θεόν. τὰ γὰρ ἔθνη τὸν θεὸν ἀγνοοῦντα, οὔτε ἐλπίδα ἀντιδόσεως ἔχῃ. πρὸς οὐδὲν πάντα πρὸς ἡδονὴν πράττει. τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν. ἐπάγω ὁ θεὸς, φησὶν, ἀτίνεσι μὲν χωλαῖνα, καὶ ὅροις τέθεικε, τὴν πρὸς τὴν μίαν μῖξιν. ὥστε ἡ πρὸς ἑτέραν μῖξις, παράβασίς ἐστι καὶ πλεονεξία ἐστίν. ἐν τῷ πράγματι. τουτέστιν ἐν τῇ μίξει. ἐνταῦθα γὰρ περὶ μοιχείας λέγῃ, ἄνω δὲ περὶ πάσης πορνείας. διότι ἔκδικος. παρεκάλεσε πρώτην, εἶτα ἐνέτρεψεν ἡμῶν, καθάπερ τὰ ἔθνη. εἶτα ἀπὸ λογισμῶν ἔπεισε, πλεονέκτην καλέσας. λοιπὸν φοβεῖ. γὰρ ἀτιμωρησία, φησι, τοῦτο πράττετε. ἔκδικος γὰρ ὁ θεὸς τότε πλεονεκτουμένῳ, καὶ ἑαυτῷ. ἑαυτὸν γὰρ ἐκδικεῖ πρακουόμενος. γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς. καὶ ἑαυτὸν δὲ ὁ θεὸς ἐκδικεῖ, ἀμυνόμενος τὸν ἐν τούτῳ πλεονέκτην. κατὰ τότε ἐκλήθημεν ἐπὶ καθαρότητι παρ' αὐτοῦ. πιστεύω ὁ παρὰ τὴν κλῆσιν πράττων, οὗτος γὰρ ὁ ἀθετῶν, τὸν καλέσαντα ὕβρισε μᾶλλον, ἢ τὸ πλεονεκτηθέντα. τότε δὲ εἶπε, δεικνὺς ὡς οὐ μόνον οὗτος ὁ ἀδελφὸς ὁ ἀδικούμενος ἢ, δεῖ φεύγειν τὴν μοιχείαν, ἀλλὰ κἂν ἄπιστος ἦ. ὁ γὰρ θεὸς ὑβρίζεται, ὁ καθαρόν σε βουλόμενος εἶναι καὶ παρακουόμενος. μολύνεις γὰρ σαυτὸν, κἂν μὴ ἀδελφοῦ ἀλλὰ τοῦ τυχόντος ἀπίστου γυναῖκα μοιχεύσῃς, ἢ δούλην, ἢ τινα τῶν προεστώτων. τὸν καὶ δόντα τὸ πνεῦμα. αὐτὸς, φησι, τὸ ἅγιον ἔδωκε πνεῦμα ἡμῖν, καὶ οὐ μεῖς δυνάμεθα αὐτὸ δίχα τῆς ἀναθαρσίας ἡμῶν. καὶ πῶς γὰρ καὶ τὸ δοθὲν καὶ τὸν δόντα ὑβρίζομεν;

Περὶ δὲ τῆς φιλαδελφίας, οὐ χρείαν ἔχετε γράφειν ὑμῖν. αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς, τοὺς ὄντας ὅλῃ τῇ Μακεδονίᾳ. Οὐ λέγει πέως περὶ τῆς εἰς πάντα ἀγάπης, ἀλλὰ περὶ τῆς εἰς ἀδελφούς. ἐκ δὲ τοῦ παραλιπεῖν, δύο καθασπευάζῃ, ὅτι, φησὶν, οὕτως ἀναγκαῖον καὶ ὠφέλιμόν ἐστι τὸ ἀγαπᾶν ἀλλήλους, ὡς μὴ δὲ χρείαν εἶναι τοῦ ἐμὲ τότε γράφειν, ἀλλ' ὑμᾶς αὐτὸ διδέναι. ἐπὶ γὰρ τὸ πάνυ δῆλον, οὐδὲ συμβουλεύειν χρή. καὶ ὅτι ὁ νομίζων αὐτοὺς κατορθωκέναι καὶ πεπεισμένος, καὶ μὴ κατορθοῦν, μᾶλλον ἐνάγῃ πρὸς τότε, φοβούμενος μήπως ἡ ῥαιστώνη περὶ αὐτῶν φθόνον ἐν δόξα ἀσχήσῃ. Θεοδίδακτοί ἐστε. ὡς ἐγκώμιον. τὸν θεὸν διδάσκαλον αὐτοῖς ἐπέστησε. τότε καὶ ὁ προφήτης ἔλεγε. ἔσονται, φησι πάντες διδακτοὶ θεοῦ. καὶ γὰρ πρεῖττε αὐτό. διὰ τότε γὰρ οὐ χρείαν ἔχομεν γράφειν, ὅπερ διδαχθέντες περὶ τούτου ὑπομένουσιν, ἀλλὰ πρεῖττε αὐτό. ἐν ὅλῃ τῇ Μακεδονίᾳ. Μακεδονίας γὰρ μητρόπολις, καὶ Θεσσαλονίκη.

Παρακαλοῦμεν

Παρακαλοῦμεν δὲ ὑμᾶς ἀδελφοὶ περισσεύειν μᾶλλον καὶ φιλοτιμεῖσθαι, ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν, ἵνα περιπατῆτε εὐσχημόνως πὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

Ποιεῖτε μὲν, ἀλλ' οὕτως τῷ ποιεῖν περισσεύητε, καὶ φιλοτιμότερον μᾶλλον, παρακαλοῦμεν, (πένητες δὲ ἦσαν, ὧν ὑπαρχόντων αὐτῶν ἁρπαζόντων, ὡς ἄνω φησὶν,) ἐργάζεσθαι καὶ μᾶλλον. ἡσυχάζειν. φιλοτιμεῖσθαι. ἵς τί; ἵς τὸ ἡσυχάζειν καὶ πράττειν τὰ ἴδια, ὡς αὖ ἔπος. μὴ αἰσχύνεσθε ὅτι πένητες δι' τὸν χριστὸν γεγόνατε, ἀλλὰ καὶ φιλοτιμίαν τοῦτο ἡγεῖσθε, τὸ ἡσυχάζειν καὶ πράττειν τὰ ἴδια καὶ ἔξωθεν. ἡ φιλοτιμεῖσθαι, τὸ εὐεργετεῖν πὸς ἀδελφοὺς καὶ φιλοφρονεῖσθαι φησίν. εἶτα, ἀλλὰ πένητες ἐσμέν. ἀλλ' οὐ τῷ ἡσυχάζειν καὶ πράσσειν, φησὶ, τὰ ἴδια, ἔσαι ὑμῖν πόρος καὶ δύναμις, δι' οὗ κἀκείνους ἕξετε φιλοτιμεῖσθαι καὶ εὐεργετεῖν. καὶ πράσσειν τὰ ἴδια. τῶς δὲ ἔσαι ὑμῖν πένησιν οὖσι, τὸ φιλοτιμεῖσθαι; διὰ τὸ ἡσυχάζειν φησὶ, καὶ πράττειν τὰ ἴδια. εἶτα ἐφερμηνεύων, φησίν. ἐργάζεσθαι ταῖς ἰδίαις χερσίν. ἵνα περιπατῆτε εὐσχημόνως. ἵνα, φησὶ, μὴ ἀσχημονῆτε ἐαυτοῖς τες. τότε γὰρ λέγει, ἃ καὶ εὐφημοτέρως αὐτὸ εἶπεν. ἡ γὰρ πιστοὶ ὀρύσσοντες ὑμαίνοντας ἐαυτοῖς σκανδαλιζόμεθα ὅτι ἐργάζεσθαι δυνάμενοι ἀργοὶ περιΐασι, πρόσωπα μᾶλλον οἱ ἄπιστοι, οἷς καλεῖ πὸς ἔξω, οἷον πὸς πίστεως;

Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Κεφ. ε'.

Εσί γάρ τινα, ἅτινα ἐξ ἀγνοίας λύπωσι ἐμποιεῖ, γνωσθέντα δὲ πάντα πὸν λύπων. περὶ τῶν κεκοιμημένων. ὅρα, κἂν εἴπεν ἀποθανόντων, ἀλλὰ κεκοιμημένων, δεικνὺς εἶναι καὶ ἔγερσιν. οἱ μὴ ἔχοντες ἐλπίδα. ἐλπίδα, τουτέστιν ἀναστάσεως. τῶν γὰρ τοιούτων τὸ ἐπὶ τοῖς τελευτῶσι λυπεῖσθαι. γὰρ πιστεύομεν. γὰρ, ἐπειδὴ γάρ. οὕτως. γὰρ ὅλως, φησὶ, πιστεύομεν καὶ μὴ μεμώρανται ἡμῶν ἡ ψυχὴ, οὕτως, φησὶ, καὶ ὁ θεὸς, τουτέστι καθάπερ τὸν κύριον, ἐκ θανάτου ἤγειρεν. ὅρα δὲ ἀσφαλείαν λόγου. ἐπὶ μὲν τοῦ κυρίου διὰ τὸ καὶ πὸν ἀνάστασιν ἤδη γεγονέναι, παῤῥοῦντος λέγῃ τὸ, ἀνέστησεν, ἐπὶ δὲ ἡμῶν, διὰ τὸ μέλλειν ἔτι πὸν ἀνάστασιν, πὸς κοιμηθέντας, φησὶ, δεικνὺς οὖσαν καὶ ἔγερσιν. μὴ ὁ κοιμώμενος γάρ, φησιν, οὐχὶ προσθήσει τὸ ἀναστῆναι; πὸς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ. ἢ διὰ τοῦ Ἰησοῦ ἄξει, ὅτι ὁ ὑὸς αἴτιος πῆς ἀναστάσεως καὶ τοῦ ὀφθῆναι ἡμᾶς τῷ προσώπῳ τοῦ πατρός. ἢ, πὸς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, τουτέστι πὸς τοὺς πίστει τοῦ Ἰησοῦ κοιμηθέντας ἄξει, φησὶ, τουτέστιν ἢ ἐις πρόσωπον Ἴδιον, ἢ ἐις τὸ ἀναστῆναι. τί οὖν ἐποιησε ὡς πὸς πὸν δευτέραν ἐξήγησιν, μερικὴν ἔσαι ἡ ἀνάστασις, ὡς τῶν ἀπίστων μὴ ἀναμενόντων; γὰρ. ἀλλ' ὅτι πάντες μὲν ἀναστήσονται, πάντες δὲ ἀλλαγήσονται. τὸ γὰρ ἀλλαγῆναι, πὸν μετὰ τιμῆς παντοχόθεν ἐν νεφέλαις ἁρπαγὴν καὶ ἀπαντὴν πὸν πρὸς τὸν κύριον οἱ μὲν γὰρ πιστοὶ καὶ ἐκ ἐπίστασον ἔχοντες τότε τὸ ὄνομα, ἐν νεφέλαις ἁρπαγήσονται ἐις ἀπάντησιν τοῦ Χριστοῦ. οἱ δὲ ἄπιστοι, κατὰ τὸ πλημμοῦσιν

αὐτὸν ἐρχόμενον, μὴ ἀξιοῦμεν οἱ πάντες. ἵνα τί γὰρ μὴ ἔστιν, ἵνα τιμωρηθῆτε ὡς μὴ ὁμολογοῦντες ἀνάστασιν; ἢ ὡς ὁμολογουμένου τοῦ παρέσεσθαι, καὶ φησίν, ἵνα μὴ μετὰ τῆς τιμωρίας τῆς ἐκεῖ, καὶ τὰ ῥιπτάσια λυπῆσθε. ἢ ὅτι τῇ μὲν ἀναστάσει, γκ ἀπίσουν, (καὶ δηλοῖ τὸ μετὰ τῶν χρόνων αὐτοῖς ἀμφιβάλλειν ὅσον κατὰ τὴν φησίν,) ἀλλὰ μόνον ἀδημόνουν ἐπὶ τοῖς τελευτῶσιν. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου γ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ κς, ἐν κελεύσματι ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα οἱ ζῶντες ἡμεῖς οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. Μέγα ἔμελλε λέγειν μυστήριον, καὶ διὰ τοῦτο τὸ ἀξιόπιστον ἐφύλαξεν. γχλιὸ μέτερος, φησίν, ὁ λόγος, ἀλλὰ τοῦ κυρίου. τοῦ λόγῳ κυρίου. ἴσως καὶ τοῦτο ἓν τῶν ἀῤῥήτων. πάντα δὲ γκ ἐξῆν. τοῦτο δὲ ἐξὸν λαλῆσαι. ὅτι ἡμεῖς. γ περὶ ἑαυτοῦ τοῦτο φησίν. γ γὰρ ἔμελλε ζῆν σωματικῶς ἕως τότε, ἀλλὰ λόγου χάριν τὸ ἑαυτὸν λέγει πρόσωπον. οἱ ζῶντες. ζῶντας τὰς ψυχάς, κοιμηθέντας δὲ τὰ σώματα λέγει. γκ ἂν οὖν προλάβωσιν αἱ ψυχαί. πρῶτον γὰρ ἐγείρεται τὰ σώματα ἵνα αὖθις ἁρπαγῶσιν αἱ ψυχαί, ἃς καὶ περιλιμπάνεσθαι, φησί, διὰ τὸ ἀθάνατον. οὐ γὰρ οὐ γ μὴ περὶ ψυχῶν ἔλεγεν εἶναι τὸ, ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, τελευτήσειν μέλλων. λέγει οὖν ὅτι οἱ ζῶντες αἱ ψυχαί, γκ αὖ τὰ σώματα προφθάσωμεν τῇ ἀναστάσει, ἀλλὰ μετ' αὐτῶν, τῆς ἀναστάσεως πεύξόμεθα. οὕτως ὁ ἐν ἁγίοις μαθόδιος, ἐν τῷ περὶ ἀναστάσεως λόγῳ. οἱ περιλειπόμενοι. τότε γὰρ οἱ εὑρισκόμενοι ζῶντες, ἐν ἀτόμῳ ἐν ῥιπῇ ὀφθαλμοῦ ἀλλαγήσονται ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ φησίν. γ μὴ φθάσωμεν, φυτέσι προφθάσωμεν. προλάβωμεν. ἐπειδὴ γὰρ ἐυχερὲς ἐδόκει, τοῖς δέ τε φθαρέντας ἐν ζωῇ, ἀναλύσαντας ἐν ῥιπῇ ὀφθαλμοῦ ἁρπαθῆναι ἅπερ τοῖς κοίμη γεγονότας, φησίν, ὅτι οἱ ζῶντες γ μὴ προφθάσωσι τοὺς τελευτήσαντας, τοσαύτη τὸ ἀνισωτὸς διὰμις. ὅτι αὐτὸς ὁ κύριος. καὶ τὴν αἰτίαν λέγει τοῦ μὴ προληφθῆναι τοὺς προαποθανόντας. ἐν κελεύσματι. ἐν τῷ αὐτὸν κελεῦσαι, καὶ ἐν τῷ τὸν ἀρχάγγελον φωνεῖν, καὶ ἐν τῷ τὰς σάλπιγγας ἠχεῖν καταβήσεται. Κελεύει μὲν ὁ κύριος, καὶ φωνεῖ ὁ ἀρχάγγελος τὸ διαστολικὸν κέλευσμα, καὶ ἠχοῦσιν αἱ ἄλλαι τάξεις αἱ χράναι, ἃς προπικῶς σάλπιγγας καλεῖ, ὥσπερ ἐ τὸ ἠχοῦσιν, ἀλλ' ὁ μὲν κύριος, ὥσπερ ἔφημεν, κελεύει. ὁ δὲ ἀρχάγγελος, τὸ διαστολικὸν κέλευσμα μηνύει τοῖς ὑπ' αὐτὸν, οἱ δὲ διακονοῦσιν αὐτὸ καὶ διηχοῦσιν εἰς τὰ τοῦ κόσμου πέρατα, καὶ οἱ νεκροὶ οἱ ἐκ πάσης τῆς οἰκουμένης ἀνίστανται καὶ συνάγονται. ὅρα δὲ πῶς εὐφυῶς καὶ λεπτομερῶς ὑπογράφει τὴν τῶν νεκρῶν ἀνάστασιν, ἵνα μᾶλλον ταῖς τῶν λεπτομερῶν ἐπιτετυπωμένη διανοίαις. τῇ φωνῇ ἀρχαγγέλου. φωνὴ ἀρχαγγέλου φησί, τὴν ἐπὶ τὸ συνάγειν τεταγμένοις ἀγγέλοις ἐγκελευομένῳ, πάντας ἑτοίμους ποιεῖν, ὡς τὸ κριτὸ φθάσαντες. τὸ μὲν γὰρ ἀναδῦναι τὴν γῆν οἷς ἐδέξατο ἐν ἀφθαρσίᾳ μεταβληθέντας τὸ κέλευσμα ποιεῖ τὸ

Φωτ.

τοῦ κυ. τὸ δὲ τοῦτο τὰς ἑκατέρας τὸ κόσμου διεσταλμένους εἰς ἓν συναγαγεῖν ἀγγέλους παρασκευάζουσιν, ἀρχαγγέλου τοῦ ἐγκελευομένου. ἐν σάλπιγγι θεοῦ. τοῦτων ἄρα ὧν σάλπιγγων τύπος ἦσαν, αἱ ἐν τῷ ὄρει Σινᾶ. ὅτε γὰρ βασιλέως ἐφισταμένου, ἡκότως σάλπιγγες ἠχήσουσι. σάλπιγγας δὲ καλεῖ τὰς ἀγγελικὰς δυνάμεις, ὅτι ὥσπερ ἡ σάλπιγξ ᾠδὴν ἴδιον ἠχεῖ, οὕτω ὅπερ αὐτὸ τεχνίτης ἐμπνεύσῃ, οὕτως καὶ αἱ τοῦ θεοῦ σάλπιγγες ᾠδὴν ἴδιον φθέγξονται ἠχῆσαι, οὕτω περ αὐτὸ κοινὸς δεσπότης καὶ δημιουργὸς διὰ τοῦ ἀρχαγγέλου αὐτοῖς ἐγκελεύσῃ. καὶ οἱ νεκροὶ ἐν χριστῷ. οἱ ἐν χριστῷ, φυτέσιν οἱ πιστοί, πρῶτον ἀναστήσονται, οἱ δὲ λοιποὶ ἔσχατοι, ὡς μὴ ἁρπάζεσθαι, μήτε ἀπαντᾶν μέλλοντες. ἔπειτα ἡμεῖς οἱ ζῶντες. μετὰ τοῦτο, φησί, καὶ ὧν ζώντων καὶ περιλιμπανομένων ὅσοι ἄξιοι, ἅμα τοῖς προτετελευτηκόσιν ἁρπαγησόμεθα, φησί. μὴ οὖν νομίσητε τοὺς νεκροὺς δυσχερεστέρως ἐνίρεσθαι. ἡ γὰρ ἁρπαγὴ ἅμα ἔσται. ἐν νεφέλαις. ἐν τῷ τοῦ θεοῦ ὀχήματι. καὶ γὰρ καὶ τὸν χριστὸν νεφέλη ὑπέλαβεν. ἐλεύσεσθαι δὲ μέλλει, τὰ δή ποτε ἁρπάζονται οἱ πιστοί, ἵνα ὑπαντήσωσι; τιμῆς δὲ τοῦτο. ὥσπερ γὰρ βασιλέως εἰς πόλιν ἐπερχομένου, οἱ μὲν ἔντιμοι ὑπαντῶσιν, οἱ δὲ κατάδικοι ἔνδον μένουσι τὸν κριτήν, οὕτω καὶ ὅτε οἱ μὲν δίκαιοι ἁρπάζονται, οἱ δὲ ἁμαρτωλοὶ κἂν πιστοὶ ὦσι, μένουσιν. εἰς ἀέρα. διὰ γὰρ νεφελῶν εἰς ἀέρα ἀπελεύσονται, φυτέσι μετέωροι. πάντοτε σὺν κυρίῳ ἐσόμεθα. εἶτα λέγει καὶ τὴν κορωνίδα τῆς μακαριότητος, τὸ εἶναι σὺν χριστῷ πάντοτε. Ἐπισήσεις δὲ ὅτι τὴν ἀνάστασιν διαγράφων, γκ ἐμνήσθη ῥητῶς ὧν πρὸ τιμωρίαν καὶ κόλασιν ἀνισαμένων. τοῦτο δὲ διὰ τρεῖς αἰτίας, οἶμαι ποιεῖ. πρῶτον μὲν ὅτι πραμυθούμενος τοὺς Θεσσαλονικεῖς, τῆς ἀναστάσεως μνημονεύει. γ θέλω γὰρ ὑμᾶς, φησι, περὶ ὧν κεκοιμημένων ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε. γκ ἐδύνατο οὖν παραμυθεῖσθαι μᾶλλον, καταμηνύσας τὸ συμφερόν. πρὸς παραίνησις, τιμωρία καὶ κόλασις διωκεκὼς, καὶ σκότος, καὶ σκώληξ, καὶ πῦρ; μᾶλλον μὲν οὖν καὶ οὕτως ἐγράφετο, ἐστέτεινεν ἂν τὴν λύπην, ἀλλ' γ παρεκάλεσε πρὸς τὰς ψυχὰς αὐτῶν. δεύτερον δὲ, ὅτι πιστοῖς διηκεῖτο τὴν ἀνάστασιν. ἡκότως οὖν γ μνημονεύει ὧν εἰς τιμωρίαν ἁλισκομένων. οἱ γὰρ πιστοὶ κατὰ τὰς διαστολικὰς φωνὰς προλυτευόμενοι, γδὲ μιᾶς τιμωρίας λαμβάνουσι πεῖραν, ἀλλ' ἐν ἀϊδίῳ χαρᾷ καὶ εὐφροσύνῃ διατελοῦσιν. γκ ἴσασιν οὖν μεγέθη ἀλγοτρίων παθῶν μνήμην καὶ κάκοσιν ἐν τῇ τῆς πιστοῖς ἑτοιμαζομένῃ δόξῃ ἐ τρυφῇ ἐ μακαριότητι, ἐ τότε πιστοῖς γράφοντι, ποιεῖται. τρίτον δὲ, ὅτι αὐτὸ τὸ πρᾶγμα τὴν ἀνάστασιν, ἐ δ' ὀλίγον, καθ' αὑτὸ νοῦν ἔχειν εἴληπται. καὶ γὰρ τὴν ἀνάστασιν ὁ θεὸς τὴν σωτηρίαν ὧν ἀνθρώπων πάντων, καὶ ἀφθαρσίᾳ καὶ ἀφράστῳ δόξῃ καὶ χαρᾷ, καὶ ἀπολαύσει ὧν αἰωνίων ἀγαθῶν ἐτοίμασε. τὴν γὰρ κόλασιν, τῷ Διαβόλῳ ἐ τοῖς ἀγγέλοις αὐτοῦ, ὡς ἐ τῷ εὐαγγελίῳ φησίν, ἀλλ' γ τοῖς ἀνοσίοις ἡτοίμασεν. ἡδέτινες οἰκίας μοχθηρίας, ἀντὶ τῶν ἑτοιμασθέντων αὐτοῖς ἀγαθῶν, τὰ τῷ Διαβόλῳ ἑτοιμασθέντα ἐκ λέξου) γ πρὸς τὴν διαστολικὴν φιλανθρωπίαν ἐ πρόνοιαν τοῦτο γίνεται). διὸ ἐ ὁ θεῖος Παῦλος αὐτῷ τὴν φύσιν τῆς ἀναστάσεως, ἐ ἐφ' ᾧ τῶν τῷ διμιοργὸς ὑφίστησι λέγων, ὧν εἰς τιμωρίαν ἁλισκομένων, (γὰρ ἐπὶ τιμωρίᾳ, ἀλλ' ἐπὶ μαθαποδοσίᾳ γίνεται,) ἡκότως γ μνημονεύει. ὥστε παρακαλεῖτε ἀλλήλους,

ἵς τὸ μὴ λυπεῖσθαι ὡς οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

Κεφ. ε'. 5

» Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι. αὐ-
» τοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡμέρα κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται.
» ὅταν γὰρ λέγωσιν εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος,
» ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.

Οὐ χρείαν ἔχετε. ὡς ἀσύμφορον. ὁ δὲν Παῦλος ἴσως ἤδει αὐτὸ, ἐκ τῶν ἀρρήτων καὶ τοῦ μαθεῖν. ὅτι ἡ ἡμέρα κυρίου. τοῦτο καὶ περὶ τῆς κοινῆς σωτελείας εἴρηται, καὶ περὶ τῆς ἰδίας ἑκάστου. ὡς κλέπτης. δηλ. τί ὡς κλέπτης; δηλ. τούτων γὰρ, τὸ λαθραῖον καὶ ἀφνίδιον δηλοῖ. καὶ φαμὲν ὅτι τοῦτο καὶ πολλοὺς πρότερον ὠφέλιμόν ἐστι. πρῶτον μὲν ὅτι ἡ ἡδονὴ τῆς ἐσχάτης ἡμέρας, οὐκ ἔμελλον ἀρετῆς ἐπιμελεῖσθαι, ἀλλὰ μυρία ποιῶν κακὰ, τῷ βαπίσματι πρὸς ἐσχάτας ἀναπνοὰς πρασπέσῃ. δεύτερον, ὅτι πολλαὶ ἁμαρτίαι δέονται τοῦ θανάτου ἀνακόπτονται. ὡς εἶπε δίλον ἵνα ὅτι τέως νῦν οὐ τεθνήξεται τις, πάντα ἀδεῶς ἐπράττε. τρίτον, ὅτι ἡ ἡδονὴ τῆς ὅτι πάντως ἐν τῷδε τῷ χρόνῳ τεθνήξεται, ᾧ ἀθυμίᾳ διάγων διετέλει. νῦν δὲ τῇ ἀδηλίᾳ ἀεὶ ᾧ χρηταῖς ἐλπίσι τρεφόμενα. τέταρτον, ὅτι γὰρ ὑπὸρ ὧν ἐς κινδύνοις ἀδήλοις ἑαυτοὺς ῥίπτουσιν οἱ ἄγιοι, μαθὸν ἔμελλον ἔχειν. ἡ γὰρ ἵνα δίλον ὡς μετὰ τρία ἔτη τὸν χὸν τελευτήσει, καὶ ἄλλως γὰρ νῦν, ἅπαντες αὐτῶν κινδυνῶν καταφρονήσαμεν, ἡδόντες μηδὲν ἐκ τούτων βλάπτεσθαι, ὅσῳ πρὸς ἀρετήν; ταῦτα δὲ εἴρηται, ὡς καὶ τῆς ἑκάστου ἰδίας τελευτῆς λαθραίως ἐρχομένης. εἴρηται γὰρ ὅτι ἡ ἡμέρα κυρίου ὡς κλέπτης νυκτὶ οὕτως ἔρχεται, ἁρμόζει δὲ καὶ ἐπὶ τῆς κοινῆς σωτελείας, καὶ ἐπὶ τῆς ἰδίας ἑκάστου. ὅταν γὰρ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια. τοῦτο καὶ πρὸς παραμυθίαν αὐτῶν εἶπε. μὴ γὰρ ἐνδιδῶ, φησιν, ὡς ἐνημερίᾳ διάγουσιν οἱ ἐπηρεάζοντες ὑμᾶς, προσδοκήσωσι μήτε ἥξειν τὸ τέλος. ἥξει γὰρ πάντως. τότε καὶ αἰφνίδιος αὐτοῖς. ἵνα μὴ ἀπαραμύθητος παντελῶς γένοιτο ἡ τιμωρία τῶν ἀδικουμένων ἐ πολεμουμένων, καὶ ἔτι ἵνα μὴ προσδόκητος πρὸ τοῦ τελευτῆσαι, ἀνιλεῶς ὅλως καὶ ἀφιλανθρώπως τοῖς ἀσθενεστέροις οἱ δυνατώτεροι ἐπεμβαίνοντες, ἐς βλασφημίαν καὶ ἀμηχανίαν σωτελάσωσι. καὶ πῶς αἰφνίδιον λέγει ἔρχεσθαι τὸν ὄλεθρον, τὸ Ηλιου προερχομένου καὶ τὸ Αντιχρίσου; φαμὲν ὅτι, τὰ μὲν τέλους σημεῖα ταῦτα, τῆς δὲ παρουσίας τοῦ χριστοῦ οὐκ ἔτι. αἰφνίδιος γὰρ ἔσαι. αὐτὸς δὲ ἀπροδώσῃ ἑκάστῳ καθ' ἃ ἔργα αὐτοῦ. καλῶς δὲ τὸ ὑπόδειγμα τέθεικε τῆς ὠδῖνος ἐχούσης. καὶ γὰρ ἐ αὖτη, σημεῖα μὲν ἔχει τοῦ τόκου πολλὰ, αὐτῆς δὲ τῆς ὥρας ἢ τῆς ἡμέρας οὐκ ἔτι. ἄλλος δὲ, καὶ δηλ. τὸ τῆς ὀδῖνος δριμὺ, ἃς μέλλον ταύτην ἕξει. ὁ δὲ χριστὸς καὶ θεός μου, περὶ τῆς σωτελείας μνημονέυων, τῷ τοῦ Λὼτ καὶ τοῦ Νῶε παραδείγματι ἐχρήσατο. ταῦτα περὶ τῆς κοινῆς σωτελείας. ἡ γὰρ ἰδία ἑκάστου, οὐδὲ ἀμφίβολόν ἐστιν ὅτι οὕτως ἔσαι. καὶ οὐ μὴ ἐκφύγωσι. φεύγετε φόνον καὶ ὀλεθρον, οἱ τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν λέγοντες. περὶ ἁμαρτωλῶν δὲ λέγει.

» Υμεῖς δὲ ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ.
» πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε, καὶ υἱοὶ ἡμέρας, οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους.

Οὐκ ἐστὲ

Οὐκ ἐστὲ ἐν σκότει. ἐν βίῳ ὑπὸ ἁμαρτιῶν σκοτιζομένῳ. ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. τί οὖν; καὶ αὐτοῖς οὐκ ἀδήλως ἐφίσταται; ναί. οὐδὲ γὰρ πρὸς τὸ μὴ ἀδήλως μέλλειν ἐφίσασθαι, εἴρηται τὸ, ὡς κλέπτης, ἀλλ' ὅτι οὐκ ἐπὶ βουλῇ ἥξει ἡ ἡμέρα ἡμῖν, οὐδὲ ἐπὶ κακῷ καὶ ζημίᾳ, ὥσπερ ὁ κλέπτης. οὗτος γὰρ ἐπὶ κακῷ ἄπεισι πρὸς οὓς ἄπεισιν. υἱοὶ φωτός ἐστε ὥσπερ γὰρ υἱοὶ χεννης λέγονται, οἱ τὰ χεννης ἄξια πράττοντες, καὶ υἱοὶ ἀπειθείας οἱ ἀπειθῆς, οὕτως υἱοὶ φωτὸς καὶ ἡμέρας, οἱ τὰ δίκαια καὶ πεφωτισμένα πράττοντες. οὐκ ἐσμὲν νυκτός. φυτέσιν ἁμαρτίας υἱοί.

» Αρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν. οἱ γὰρ
» καθεύδοντες, νυκτὸς καθεύδουσιν, καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν. ἡμεῖς δὲ
» ἡμέρας ὄντες, νήφωμεν. ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφα-
» λαίαν, ἐλπίδα σωτηρίας. Μὴ καθεύδωμεν. οἷον ἀπὸ τῶν καλῶν ἔργων μὴ ῥᾳθυμῶμεν. καὶ νήφωμεν. ἐπίτασις ἐγρηγόρσεως, τὸ νήφειν. δύο γὰρ καὶ ἐγρηγορέναι, καὶ μηδὲν διαφέρειν καθεύδοντας, ὡσεὶ ἔλεγε. νηφόντως τὰ ἀγαθὰ πράττωμεν, καὶ τὸν οἰκεῖον βίον οἰκονομῶμεν. οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσι. καθεύδειν φησὶ τοὺς ἀνενεργήτως ἔχοντας πρὸς τὰ τῶν καλῶν ἐργασίαν, τούτους τοὺς ἁμαρτάνοντας. ἐπεὶ οὖν καθ' ὁ ἀκόλουθον οἱ καθεύδοντες νυκτὸς καθεύδουσιν, ὑμᾶς δὲ οὐ καθεύδειν, ἡμέρας καὶ οὐ νυκτὸς ὄντας υἱοὺς, ὡσεὶ εἶπεν. οἱ ἁμαρτάνοντες, ἐν τῷ ζόφῳ τῆς ἁμαρτίας διάγουσι. τοὺς δὲ τὰ δίκαια πράττειν προαιρουμένους, οὐ δεῖ καθεύδειν, οἷον ἀπρακτεῖν ἀρετῆς. ἐπεὶ μήτε διαφέρουσι τῇ νυκτὶ τῆς ἁμαρτίας, ἀλλὰ τῷ φωτὶ τῆς ἀρετῆς ἐ δικαιοπραγίας. ἐ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσι. μέθην οὐ ταῦτα, οὐ τὸν ἐξ οἴνου μόνον λέγει, ἀλλὰ τὸν ἐξ ἁμαρτημάτων ἀχλὺν ἐ σκότωσιν. ἡμεῖς δὲ ἡμέρας ὄντες. οἷον υἱοί. ἐνδυσάμενοι θώρακα. ἄνω εἶπε, δεῖν ἐγρηγορέναι καὶ νήφειν, νῦν πρὸς τίθησιν, ὅτι πρὸς τούτοις, καὶ καθωπλισμένοις εἶναι χρή. ἐπεὶ ἀόπλοις εὑρὼν ὁ Διάβολος, ἐπηρεάζει, κἂν μάλισα γρηγορῶμεν καὶ νήφωμεν. θώρακα δέφησι πίστεως καὶ ἀγάπης, δηλ. τὸ στέρεον αὐτῶν καὶ ἄτμητον. τριαύτην γὰρ εἶναι δεῖ τὴν πίστιν καὶ ἀγάπην. ἀπρόσιτα δὲ τῷ ταύτας ἔχοντι, τὰ Διαβόλου τὰ βέλη. ἐλπίδα σωτηρίας. ἡ γὰρ ἐλπὶς τῆς σωτηρίας τάξει περικεφαλαίας τὸ ἀναγκαῖον ἐν ἡμῖν, τὸν νοῦν γὰρ ἐκ περιτραπῆναι. ἐ γὰρ ἡ περικεφαλαία, τὸ κυριώτατον σώζει τὴν κεφαλήν. καὶ ἅμα χοῦ δὲ τὴν πίστιν καὶ τὴν ἐλπίδα καὶ τὴν ἀγάπην προτίθησι ἐν ἐν λοιπῶν ἀρετῶν, καὶ νῦν ταύτας κτᾶσθαι κελεύει.

» Οτι γὰρ ἔθετο ἡμᾶς ὁ θεὸς ἐς ὀργὴν, ἀλλ' ἐς περιποίησιν σωτηρίας, διὰ τοῦ κυρίου
» ἡμῶν Ιησοῦ χριστοῦ, τοῦ ἀποθανόντος ὑπὸρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύ-
» δωμεν, ἅμα ζῷ αὐτῷ ζήσωμεν. Διὸ παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε εἷς
» τὸν ἕνα καθὼς καὶ ποιεῖτε. Ταῦτα δὲ ἡμῖν, φησι, κτητέον τὰ ὅπλα. ἐπειδὴ καὶ ὁ θεὸς ἕτερ ὑδὲ ἀφώρισεν ὑδὲ ἐπὶ τούτῳ ἐποίησεν, ἵνα τῆς ὀργῆς αὐτοῦ λυώμεθα δεκτικοὶ, ἀλλ' ἵνα σώσῃ ἡμᾶς. ἐπεὶ οὖν θέλημα θεοῦ τὸ σώζεσθαι ἡμᾶς, αὐτὸς καὶ ζωεργήσει πρὸς τὴν τῶν ὅπλων κτῆσιν. ὃ δὲ ἐς περιποίησιν σωτηρίας. ὃ δὲ ἑαυτῷ, φησι, περιεποίησατο ἡμᾶς, καὶ οἷον ἐκτήσατο ἡμᾶς,

δοις ὑωρ ἡμῶν τιμὴν, ὧν εἶχε τὸ τιμιώταρον. τὸ γὰρ αἷμα τὸ μονογλωσσοις δέδωκεν. ἔχοντες οὖω, φησι, τὴς ἀγάωσις τὸ θεοῦ τὸν ἔλεγχον, πίσιν ἔχωμλυ τὼ ἐις αὐτὸν, ἀγάωσιν τὼ τε ἐις αὐτὸν καὶ τὸν πλησίον, ἐλπίδα χρησὴν ὅτι σώσει οὓς ἔκτισαρ. ἵνα εἴτε γρηγορῶμλυ. διὰ τὸρ δὲ, φησιν, ὑωρ ἡμῶν ἀωέθαναν ὁ χρισὸς, ἵνα εἴτε γρηγορῶμλυ, ρυτέσι ζῶμεν, εἴτε καθεύδωμεν, ρυτέσι εἴτε ἀρθάνωμλυ, (ἄλλως γὰρ οὐδὲ τὸ καθεύδειν καὶ ὑχ ὡς ἄνω ὠφέλαβεν,) ἅμα ζῷ αὐτῷ ζήσωμλυ. οἱ γὰρ ζῶμλυα ὅπλα κτησάμενοι, συζήσουσι καὶ συμβασιλέυσουσι τῷ χριςῷ. διὸ παρακαλεῖτε ἀηλοις. ἐωδὲ γὰρ ὑκ ἰσχύουσιν οἱ διδάσκαλοι πὼς τὼ ὧν ἁπάντων νουθεσίαν, καὶ ἐωρῖς τὸ πραύνειν καὶ διδάσκειν αὐτοὺς ἐπιτρέωει.

» Ερωτῶμλυ δὲ ὑμᾶς ἀδελφοὶ, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ πρωϊσαμλύους » ὑμῶν ἐν κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑωρεκωρίσου ἐν ἀγά » πη διὰ τὸ ἔργον αὐτῶν. ἡρωύετε ἐν ἑωρῖς. Ερωτῶμλυ δὲ ὑμᾶς. ὅι ον παρακαλοῦμεν. εἰδέναι τοὺς κοπιῶντας. εἶτα ἵνα μὴ νομίσωσιν ἀρκεκινικέναι αὐτῶν τοὺς διδασκάλους διὰ τὸ ἐπιτρέψαι αὐτοῖς τὼ ἀηλων οἰκοδομὴν καὶ παράκλησιν, εὐθέως ὧν διδασκάλων αὐτῶν μνήμην ἐωοίησαρ. καὶ πρωϊσαμλύους ὑμῶν. ἡμῖν γὰρ τοὺς ἀνθρώπων διωαῶν πρωϊσαμλύους πάσης ἀξιοῦμεν τιμῆς, πολλῷ μᾶλλον δεῖ τοὺς ἱερέας, οἳ πὼς τὸν θεὸν πρωϊσανται. ὅθεν φησὶν, ῷ κυρίῳ, ρυτέσι κατὰ κύριον πρωϊσαμλύους, ἤγουν ἐπὶ τὸ κυρίου πρωϊσαμλύους. καὶ ἡγεῖσθαι αὐτοὺς. καὶ ἡγεῖσθαι αὐτοὺς ἐν ἀγάπῃ τῇ ὑμῶν ὀφείλειν εἶναι, ρυτέσιν ἡγεῖσθαι αὐτοὺς ἀξίους τὸ ἀγαπᾶσθαι, καὶ ὑ μικρῶς, ἀηλ ὑωρεκωρίσου. πολλὴ δὲ ἡ ἐπίτασις, τὸ ὑωρ, καὶ τὸ ἐπ. διὰ τὸ ἔργον αὐτῶν, φησὶν, ὃ ἐπιτελοῦσιν ἐις ὑμᾶς. βαωτίσματος γὰρ καὶ διδαχὴς καὶ γνώσεως καὶ μυστηρίων μετοχὴς οὔτι ὑμῖν ἔστι πρόξενοι. ἡρωύετε ἐν ἑωρῖς. ὁρᾷς ὅπως οἶδεν ἔχθρας πὼς τοὺς διδασκάλους πικραίνειν; ὀξὺν γὰρ τὰ φαῦλα ἐλέγχουσι, καὶ ὧν κακῶν ἀπείργουσι, μισοῦνται, καίτοι ἀγαπᾶσθαι ὀφείλοντες.

» Παρακαλοῦμεν δὲ ὑμᾶς ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε » τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πὼς πάντας, ὁρᾶτε » μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ, ἀηλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλ » λήλους καὶ εἰς πάντας. Ενταῦθα πὼς τοὺς διδασκάλους ἀπροτείνεται. νουθετεῖ τε φησί. μὴ ἀπὸ αὐθαδείας ἐπιπλήπτετε, ἀηλὰ μετὰ πραότητος νουθετεῖτε. ἐωεὶ δι' ὀλιγοψύχους. διεφραμμένοι εἰσὶ, πλεῖον αὐτοὺς ἡ ἐπίπληξις ἀγριοῖ. ἀτάκτους δέ φησι τοὺς παρὰ τὼ τάξιν τὼ ὑπ' ἐκείνου ὁριθεῖσαν πράττοντας. παραμυθεῖτε τοὺς ὀλιγοψύχους. ὀλιγόψυχος ἐστὶν ὁ ῥάθυμος καὶ ἀνατετπωκὼς, καὶ μὴ φέρων ὕβριν ἢ θλῖψιν ἢ πειρασμὸν ὑπὲρ χριςοῦ. τοὺς ὧω τοιούτους, ὡς ἐκλελυμλύοις παραμυθεῖσθε. ἀντέχεσθε ὧν ἀσθενούντων. ἀντιποιεῖσθε, ὑπερηρίζετε. ἀσθενεῖς δέ φησι τοὺς ὠρὶ τὼ πίσιν τοιούτους. οὔτε γὰρ τούτων καταφρονεῖν χρὴ, ὡς καὶ ἀηλαχοῦ φησι. τὸν δὲ ἀσθενοῦντα τῇ πίσ, προσλαμβάνεσθε. μακροθυμεῖτε πὼς πάντας. τοῦτο γὰρ μάλισα, ἁρμόδιον διδασκάλῳ, τὸ μακροθυμεῖν. τοῦτο καὶ τοὺς ἀναμπτεῖς καμψεῖν πέφυκε. μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ. ἀλλὰ κακὸν ἀντὶ κακοῦ ζητεῖτε

δοτέον, τί πάθωμεν οἱ κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντες; ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε. οὔτε γὰρ ἀρκεῖ, φησι, τὸ μὴ ἀποδοῦναι κακὸν τὸ κακῷ, ἀλλὰ χρὴ καὶ ἀγαθῶν αὐτὸν ἀμείβεσθαι. τοῦτο γὰρ τὸ διώκειν τὸ ἀγαθόν. τὸ δὲ διώκειν, πολλῆς σπουδῆς ἐις τὸ τὰ ἀγαθὰ πράττειν, ἔμφασιν ἔχει. καὶ εἰς ἀηλους. ἀλλήλοις μὲν, φησὶ ἀδελφοὺς λέγει. τῷ δὲ πάντας ἐωεῖν, καὶ φησὶ ἀ» πίστους συμπεριλάβε. Πάντοτε χαίρετε, ἀδιαλείπτως πεσεύχε» σθε, ἐν παντὶ εὐχαριςεῖτε. τοῦτο γὰρ θέλημα θεοῦ ἐν Χριςῷ Ιησοῦ εἰς ὑμᾶς. » τὸ πνεῦμα μὴ σβέννυτε, πεφητείας μὴ ἐξουθενεῖτε, πάντα δοκιμάζετε, καὶ τὸ » καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

Κεφ. ζ'.

Πάντοτε χαίρετε, κἂν εἰς πειρασμοὺς, φησι, κἂν εἰς λύπας ἐμπέσητε. τῷ γὰρ νοῦν ἔχοντι, πάντα ταῦτα χαρᾶς καὶ στεφάνων γίνεται πρόξενα. τὸ δὲ χαίρειν, φησὶν, ἐπὶ πᾶσιν, ἀπὸ τοῦ ἀεὶ εὐχεσθαι κατωρθωθείη. ῷ παντὶ εὐχαριςεῖτε. ῷ παντὶ, ρυτέσι καὶ ἐπὶ τοῖς δοκοῦσιν ἀναγκαίοις καὶ παρὰ σποδὸν πράγμασι. πάντα γὰρ πρὸς τὸ συμφέρον ποιεῖ ὁ θεὸς, κἂν ἡμεῖς ἀγνοῶμεν αὐτοῦ τὰς οἰκονομίας. τοῦτο γάρ, φησι, θέλημα θεοῦ, τὸ εὐχαρίσους εἶναι πρὸς τὸν ἀεὶ εὐεργετοῦντα. ἐν χριςῷ Ιησοῦ. οἷον διὰ χριςοῦ Ιησοῦ. αὐτὸς γὰρ ταύτην ἐδίδαξε τὼ φιλοσοφίαν. τὸ πνεῦμα μὴ σβέννυτε. ἐπειδὴ γὰρ ὁ παρὼν βίος ἐν σκότει διαπρέπεται, ἔδωκεν ἡμῖν ὁ θεὸς τὼ λαμπάδα τὸ ἁγίου πνεύματος φωτίζουσαν ἡμῶν τὸ ἡγεμονικόν. ταύτην οὖω, φησι, τὼ χάριν τὸ πνεύματος μὴ σβέννυτε ὡς αἱ πέντε παρθένοι. σβέννυσι δὲ αὐτὼ καὶ ἀνενέργητον ποιεῖ ἀκάθαρτος βίος καὶ ἀνελεημοσύνη. ἢ οὕτως. ἦσαν παρ' αὐτοῖς πεφῆται καὶ ψευδοπεφῆται, ἀηλ' ὡς ὁ ἀληθὴς πὸ ἐκ βάσεως ἄδηλος ἦω. ἐπεὶ οὖω γνῶσα ἦσαν τοὺς ψευδεῖς πάντες λοιδορίαν μίγδην ἀνεφέροντο. φησὶν οὖω, τὸ πνεῦμα μὴ σβέννυτε, ρυτέσι τὸ χάρισμα μὴ ἐκφράσετε καὶ κωλύετε τῷ ἀποφέρεσθαι καὶ μὴ ἐὰν λαλεῖν. πεφητείας μὴ ἐξουθενεῖτε. εἴρηται γὰρ ὅτι πεφάσει ὧν ψευδοπεφητῶν, καὶ τοὺς ἀληθεῖς διέπτυον. πάντα δοκιμάζετε. τί οὖω ποιήσωμεν, φησὶ, διὰ τοὺς ψευδοπεφήτας; τί; πάντα δοκιμάζετε καὶ τὸ καλὸν, ρυτέσι τοὺς ἀληθεῖς πεφήτας κατέχετε καὶ πορὶ πολλοῦ ποιεῖσθε. ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. διώαται μὲν κατὰ τὸ ἀκόλουθον, καὶ εἰς τοὺς ψευδοπεφήτας τοῦτο νοηθῆναι, » διώαται δὲ καὶ εἰς ἁμαρτήματα. Αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης, ἁγιάσαι ὑμᾶς ὁ» λοτελεῖς. καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν » τῇ παρουσίᾳ τὸ κυ ἡμῶν Ιησοῦ χυ τηρηθείη. πιστὸς ὁ καλῶν ὑμᾶς ὃς καὶ ποιήσει.

Μετὰ ταῦτα συμβουλεύει εὔχεσθαι αὐτοῖς, ἵνα δι' ἑκατέρου, τὸ ἀσφαλὲς ἔχωσιν. ὁλοτελεῖς. ρυτέσιν ὅλοις διὰ ὅλων. τὸ πνᾶ δὲ ἡ ψυχή. τὸ πνᾶ φησι, αὐτὸ τὸ ἅγιον πνεῦμα, ἤγουν τὼ ἀπ' αὐτὸ χάριν, ὅπερ αὐτοῖς τηρηθῆναι εὔχεται. ἐὰν γὰρ λάμπῃ ἐν ἡμῖν καὶ ἡμεῖς ἡμῖν, σωθησόμεθα. ἢ γὰρ μὴ σβέσωμεν αὐτὸ πονηραῖς πράξεσι καὶ τὼ ἄνω πρώτων ὀφίγνυσιν, ἵνα προεγράψαμεν, τηρεῖται ἡμῖν καὶ φυλάπεται, φαιδρὰς ἀνάπτων τοῖς ἡμετέρας λαμπάδας. τὸ δὲ, ἀμέμπτως, δώαται μὲν καὶ ἐπὶ τὸ πνεύματος ἁρμοδῆναι, ἵνα ἄμεμπτον καὶ ἀκηλίδωτον αὐτὸ

φυλάξωμεν, δι' ὧν αἰτιᾶται δι' μάλιστα ἐπὶ ψυχῆς καὶ σώματος. τῷ γὰρ πνεύματος παρ' ἡμῖν βλομένου, ταῦτα ἔστιν ἀμεμπτία. πιστὸς ὁ καλῶν ὑμᾶς. ὅρα τὰ πειναφρόσυνα. ἐστειδὴ ἐπιμένει αὐτοῖς, φησί. μὴ νομίσητε ὅτι ἐκεῖνοι ἐμοῦ ἐυχῶν σωθήσεσθε ἀλλὰ ἐκ τῆς τοῦ καλέσαντος ἀγαθωζήνης θεοῦ. ἡ γὰρ εἰς σωτηρίαν ἐκάλεσε, πιστός ἐστι, ὃς καὶ ποιήσει. ἐφ' ᾧ ἐκάλεσε, φησιν, ἐπὶ σωτηρίᾳ δι' ἐκάλεσεν.

» Ἀδελφοί, πεσεύχεσθε περὶ ἡμῶν. ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλή-
» ματι ἁγίῳ. ὁρκίζω δι' ὑμᾶς τὸν κύριον, ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις
» ἀδελφοῖς. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. ἀμήν.

Ὅρα τὴν πραότητα, ἣν Παῦλος ἐδείκνυτο πρὸς τοὺτων ἐυχῆς. ἀσπάσασθε τοὺς ἀδελφούς. ἐπειδὴ γὰρ αὐτὸς ἀπὸ τῶν χειρῶν δι' σώματος καὶ τοῦτο ἀσπάσασθαι φιλήματος. δι' ἑτέρων αὐτοὺς ἀσπάσασθαι βούλεται. ὃν λέγω, φησίν, οὐκ γὰρ καὶ δουλεύων, ὡς ὁ τοῦ Ἰούδα. ὁρκίζω ὑμᾶς. διὰ τοῦτο ὁρκίζει, ἵνα κἂν αὐτοὶ καταφρονήσωσι, διά γοῦν τὸν ὅρκον, πράξωσι τὸ ῥηθέν. ἀναγνωσθῆναι τὴν ἐπιστολήν.

τοῦτο πάθου μᾶλλον, ἢ διδασκαλίας χάριν,
ἵνα κἀκεῖνος ᾧ πεσδιαλεγόμενος, φη-
σίν. ἡ χάρις τοῦτο ἡμῶν. ὅπου
δὲ χάρις Χριστοῦ, πάν-
τα τὰ ἀγαθὰ πα
ρομαρτεῖ.

Τέλος εἰς τὴν πρὸς Θεσσαλονικεῖς πρώτης ἐπιστολῆς.

Ἐγράφη ἀπὸ Ἀθηνῶν.

Ὑπόθεσις τῆς πρὸς Θεσσαλονικεῖς. β'. Ἐπιστολῆς.

Αὕτη ἐπιστέλλει ἀπὸ Ρώμης. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. τινὲς ἀπὸ Θεσσαλονίκης ἀργοὶ καὶ ἄτακτοι περιερχόμενοι, τοὺς ἀδελφοὺς ὑφήρπαζον, ὡς ἤδη τῆς παρουσίας τοῦ κυρίου ὑφεστάσης. ἀπάτων δὲ τοὺς ἀκούοντας ὡς τοῦ ἀποστόλου τοῦτο διαλογῶτος, καὶ ὑπὲρ πνεύματος ἀκούσαντες. ταῦτα οὖν μαθὼν ὁ ἀπόστολος, γράφει τῇ Ἐπιστολήν. καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν αὐξανουσαν. καὶ ὅτι ἐν αὐτοῖς ἐκαυχᾶτο τὰς θλίψεις γενναίως ὑποφέρουσι διὰ τὸν χριστόν. καὶ παραμυθεῖται δι' αὐτοὺς ὡς ἐσομένης ἐκδικίας παρὰ τοῦ θεοῦ, καὶ τῶν αὐτοὺς ἀδικούντων. ἔπειτα περὶ τῆς παρουσίας τοῦ Χριστοῦ διδάσκει μηδένι αὐτοὺς πείθεσθαι, μήτε θροεῖσθαι αὐτοὺς, μήτε διὰ πνεύματος, μήτε ὡς αὐτοῦ γράψαντος, μὴ δ' ὅλως νομίζειν ἤδη παρεῖναι αὐτόν. μὴ γὰρ πρότερον ἔσεσθαι αὐτὴν, ἐὰν μὴ ἔλθῃ ἀποστασία πρῶτον ἐλθῃ, καὶ μετὰ ταύτην ὁ Ἀντίχριστος, ὁ υἱὸς τῆς ἀπωλείας, οὗ τὴν παρουσίαν ἐν σημείοις καὶ τέρασι ψεύδεσι κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἔσεσθαι σημαίνει. εἶτα παραινέσας αὐτοῖς στήκειν γενναίως καὶ κρατεῖν τὰς παραδόσεις ἃς ἐδίδαξεν παρ' αὐτοῦ, παραγγέλλει μηδεμίαν κοινωνίαν ἔχειν μετὰ τῶν ἀτάκτων, σημαίνων καὶ ἀποβάλλειν αὐτούς. εἶναι γὰρ καὶ περιέργους καὶ ταλαίπωρος ἐδίδαξε τοὺς τοιούτους. καὶ παρήγγελε, τὸν μὴ ὑπακούοντα τοῖς λόγοις αὐτοῦ, τοῦτον ἀποσυναγωγον γίνεσθαι. καὶ λοιπὸν ἐπευξάμενος αὐτοῖς εἰρήνην, τελειοῖ τὴν ἐπιστολήν, τὸν ἀσπασμὸν τῇ ἰδίᾳ χειρὶ γράψας, ὅπερ σημεῖον εἶναι πάσης ἐπιστολῆς ἐδήλωκεν.

Θεοδωρήτου.

Πᾶσι μὲν τῇ πρώτῃ ἐπιστολῇ ἔγραψεν ὡς πάντως ἀπὼν πρὸς αὐτοὺς καὶ ἀναπληροῦν μέλλων τὰ ὑστερήματα αὐτῶν, καὶ πολλά τινα ἀγάπης σημαντικὰ, οὐκ ἀπῄλθε δέ, τούτου προφασισθέντος τὴν ἐπιστολὴν ἀντὶ τῆς παρουσίας αὐτοῦ. ὅτι δὲ μὴ ἀπῄλθε πρὸς αὐτοὺς δῆλον ἐκ τοιούτου. ἐν τῇ πρώτῃ περὶ ὧν χρόνων τῆς τοῦ κυρίου παρουσίας ὑπερθέμενος γράψαι ὡς ἐβούλετο αὐτοῖς, νῦν γράφει, ἐν πρῶτον τοῦτο, εἶτα αὐτὸς ἀπελήλυθε. γράφει δὲ περὶ ὧν χρόνων διὰ ταύτην τὴν αἰτίαν. λυμαίνες τινὲς ἔλεγον παρεῖναι λοιπὸν τὴν παρουσίαν τοῦ κυρίου. ἡ δὲ τοῦτο ἴσως ἀληθὲς, ὁ Χριστὸς ψεύστης ἐυρίσκετο. αὐτὸς γὰρ ἐν τοῖς εὐαγγελίοις σημεῖον τῆς παρουσίας αὐτοῦ δέδωκεν, ἅτινα οὐκ ἴσως ἐκβαντα. ἀναγκάζεται οὖν καὶ αὐτὸς διαλαβεῖν περὶ ὧν τε τῆς παρουσίας σημείων, καὶ τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως, διὰ πάντων ἀληθεῖς τὰς τοῦ κυρίου προρρήσεις φανῆναι.

Κεφάλαια τῆς πρὸς Θεσσαλονικεῖς δευτέρας ἐπιστολῆς.

α΄ Εὐχαριστία ὑπὲρ τῆς ὧν Θεσσαλονικέων πίστεως καὶ ἀγάπης καὶ ὑπομονῆς ἐπὶ τιμῇ αὐτῶν, καὶ κολάσθων τῶν θλιβόντων, ϵ᾽ εὐχὴ ὑπὲρ τελειώσεως αὐτῶν ἐν δόξῃ ἐπὶ δόξῃ χριστοῦ.

β΄ Περὶ τέλους, ὅτι μετὰ Ἀντίχριστον τὸν πεπλανημένον ἐπὶ ἐλέγχῳ Ἰουδαίων ἀπιστησάντων χριστῷ.

γ΄ Εὐχαριστία τῆς κλήσεως.

δ΄ Παράκλησις εὐχῆς ὑπὲρ αὐτῶν καὶ τοῦ ἔργου.

ε΄ Προτροπὴ ἐργασίας καὶ παραιτήσεως τῶν ἀργῶν καὶ περιέργων.

ϛ΄ Εὐχὴ περὶ ῥυσίας τῆς παρὰ θεοῦ.

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ. β΄.

ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων
» τῷ θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ Ἰησοῦ Χριστῷ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ
» πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Οὕτως καὶ ἐν τῇ πρώτῃ ἤρξατο ἐπιστολῇ, καὶ πρόσχες τὰς ἐκεῖ προγραφάς. Τῷ θεῷ πατρὶ ἡμῶν. Τῷ γὰρ ἐκκλησίᾳ, μὴ ἐν πατρὶ καὶ ἡμῖν, ὡς αἱ τῶν Ἑλλήνων, καὶ πολλῶν ἄλλων αἱρετικῶν. χάρις ὑμῖν καὶ εἰρήνη. οἶδα γὰρ ὅτως μεγάλη χάρις καὶ ἡ εἰρήνη τοῦ θεοῦ, καὶ ὅτι περὶ προσμοὺς κουφισμὸν ἀπεργάζεται. διὸ σωεχῶς αὐτῷς ἐπεύχεται.
» Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελφοί καθὼς ἄξιόν ἐστιν, ὅτι ὑ- Κεφ. α΄.
» περαυξάνει ἡ πίστις ὑμῶν, ϵ᾽ πλεονάζει ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους. 1

Δύο διδάσκει αὐτῇ, ὅτι καὶ οἱ συμβαίνοντες αὐτῇς πειρασμοὶ, γ᾽ θρίνων, ἀλλ᾽ εὐχαριστῶν ἐστιν ἄξιοι, καὶ ὅτι ὑπὲρ ὧν πάσχουσιν, ὑπέρτεων ὑπομένουσιν, τῷ θεῷ χάριν ἰσέον. Εἰ εὐχαριστεῖν δεῖ περὶ ὧν ἕτεροις κατορθωμάτων, τί πάθωσιν οἱ βασκαί- Φωτ.
νοντες τοῖς κατορθοῦσι; καθὼς ἄξιόν ἐστιν. ἢ ὅτι, φησὶ, δίκαιον ἐστὶ, νοήσεις, ἢ τὸ, μεγάλως, βραχυστέον, ἵνα ᾖ, μεγάλως καθὼς ἄξιον τῷ μεγάλα παρέχοντι. ὅτι ὑπεραυξάνει. ὑπερβολῆς τὸ, ὑπὲρ, σημαντικὸν ἐστι. πῶς δὲ δύνασθαι πίστιν αὐξηθῆναι; ὅταν πειρασμῶν καὶ θλίψεων ἐπελθουσῶν, μὴ σαλευθῆται. καὶ πλεονάζει ἡ ἀγάπη. ἆρα καὶ πρὸς τὸ φέρειν πειρασμοὺς, τὸ ἀγαπᾶν καὶ ἀλλήλων ἔχεσθαι, πολλὰ συμβάλλεται. ἐδήλωσε γὰρ ἐκ τούτων, ὅτι πάντων μὲ πρὸς ἀλλήλοις ἀγάπη ἴσην ἦν, καὶ ὑδεὶς τὸ πλέον καὶ ἔλαττον εἶχεν ἐν αὐτῇ.
» Ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ, ὑπὲρ τῆς ὑπο-
» μονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε,
» ἔνδειγμα τῆς δικαιοκρισίας τοῦ θεοῦ εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ
» ὑπὲρ ἧς καὶ πάσχετε. Εν τῇ πρώτῃ εἶπεν, ὅτι αἱ ἐκκλησίαι χρήζουσι παρ᾽ ἡμῶν μανθάνειν τὰ περὶ ὑμῶν. ἴσασι γάρ. πῶς οὖν ὧδε λέγει ὅτι καυχώμεθα ἐφ᾽ ὑμῖν; ἴσως εἴπε διδάσομεν, ἀλλὰ καυχώμεθα. Ἐν δὲ καὶ πρὸς τοῖς ἔθεσι καυχᾶσθαι. ἔοικεν, φησὶ, τὰ παρ᾽ ὑμῶν κατορθούμενα καὶ ἡμῖν πρέχει καυχήσεως ἀφορμὰς, διὰ τί ὑμεῖς ἐπὶ τοῖς περιεστικοῖς τῶν κατορθωμάτων πειρασμοῖς ἀλύετε καὶ ἀθυμοῦντε; ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν. δείκνυσιν ὅτι καὶ πρὸ τοῦ εἶχον ἐν τοῖς πειρασμοῖς χρόνον. τοῦτο γὰρ ἡ ὑπομονὴ δηλοῖ. Ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν. ὑπομονὴ μείζων ὅλου, καὶ τὸ ἀνέχεσθαι τῆς ὑποστάσεως τῶν ἀντιδόσεων, μείζων δὲ καὶ θαυμασιωτέρα ἡ ἐν πειρασμοῖς καὶ θλίψεσιν. Ἔνδειγμα τῆς δικαιοκρισίας τοῦ θεοῦ. Ἔνδειγμα φησὶ, πρὸ ἀπόδειξιν καὶ τὸν ἔλεγχον. ταῦτα γὰρ ὑπομένετε πρὸς τὸ ἀποδειχθῆναι πρὸ δικαιοκρισίαν τοῦ θεοῦ, καὶ πρὸς τὸ καταξιωθῆναι τῆς βασιλείας τῶν οὐρανῶν, ὡσεὶ ἔλεγε. διὰ τοῦτο συγχωρεῖ ὁ θεὸς τὰς θλίψεσιν ὑμᾶς εἶναι ὁ θεὸς, ἵνα ὅταν ἀποδίδωσιν ὑμῖν πρὸ βασιλείαν τῶν οὐρανῶν, Ἔνδειχται, καὶ οἷον ἀπόπειραν καὶ

ἀπόδειξιν

ἀπόδειξιν καὶ ἔλεγχον δῶν τῆς οἰκείας Δικαιοκρισίας. ὅρα δὲ ὅπ τὸ ὑπερ' Χριστοῦ πάσχειν, κατὰ δικαιοκρισίαν πρέχει τὴν βασιλείαν τῶν ἐρανῶν, καὶ ἡ κατὰ χάριν. πρὸ δὲ αὐτῶν ἐκ τύπου ἡς ὕψος ἐπῆρε τὰ φρονήματα, καὶ ἔπεισε καταφρονεῖν τῶν θλι
» ψεων. ὑπερ' ἧς καὶ πάσχετε. ἧς ἕνεκεν φησίν. Εἴπερ δίκαιον παρὰ θεῷ ἀν-
» ταπόδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, ἐ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν ἐν
» τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ, μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, ἐν πυ-
» ρὶ φλογὸς διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγ-
» γελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ. οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον ἀπὸ πρόσω-
» που τοῦ κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθη ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις
» αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν. Εἴπερ δίκαιον παρὰ τῷ
θεῷ. τὸ ἐπείπερ, ἐπειδήπερ νόει κατὰ ἀπόφασιν καὶ βεβαίωσιν ἀρνηθέν. ἢ κατά τινα ἐρώτησιν, ὡσεὶ εἴπεν. ἦ ἄρα τὸ δίκαιόν ὁ θεὸς, ὡς πάντως δικαιοῦντος. τὸ γὰρ λέγειν ἐώφαμεν, ἢ μισεῖ ὁ θεὸς τοὺς πονηρούς, ὡς δηλοῦν ὅτι μισεῖ. ἄνεσιν μεθ' ἡμῶν. ἐπιδιὰ εἶπεν ἄνεσιν, ἵνα μὴ λέγωσι, τί ὅτω ἄχρι τοῦ λύσιν εὑρεῖν τῶν κακῶν, φασὶ τὰ καθ' ἡμᾶς, ἀντίδοσις δὲ οὐδαμοῦ; ἐπάγει τὸ μεθ' ἡμῶν, ἵνα κοι-
νωνοὶ αὐτοῖς λάβη καὶ τῶν ἀγώνων, καὶ στεφάνων τῶν ἀπροσκόπων. ἐν τῇ ἀποκαλύ-
ψει τοῦ κυρίου. ἀποκάλυψιν, τὴν παρουσίαν φησί. δηλοῖ δὲ τοῦ προφάσειν τὴν δευ-
τέραν τοῦ Χριστοῦ παρουσίαν, δίδωσιν αὐτοῖς μίμησιν προσδοκᾶν, καὶ ἵστασθαι δὲ αὐτῆς
τῆς παρουσίας ἐκ πόσων ἀποιβῶν. μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, ὡσεὶ εἴπε, μετὰ
τῶν ἀγγέλων τῶν δοξαζόντων τὴν δυνάμει αὐτοῦ, ἢ ὡς τῶν ἀγγέλων δυνατῶν ὄν-
των, τουτέστι μετὰ τῶν δυνατῶν αὐτοῦ ἀγγέλων. ἐν πυρὶ φλογός. ἐν τῇ ἀποκαλύ-
ψει τοῦ κυρίου Ἰησοῦ, τῇ ἐν φλογὶ πυρὸς γυμνουμένῃ. πυρὶ γὰρ τοιούτῳ ἐ ὁ Δαυὶδ φησι.
Φωτ. πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Ἡ ἐν πυ-
ρὶ φλογὸς φησι, τὴν εἶδος τῆς τιμωρίας ἀνιπόμφως, ἐν τύπου οἱ μὴ εἰδότες θεὸν, μη-
δὲ ὑπακούσαντες τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. ἢ ἐν φρογὶ πυρὸς, αὐτὸν τὸν δικαστι-
κὸν παρουσίαν, ὅτι μετὰ πυρὸς φλέγοντος γυμνοῦται δηλῶν. οὕτως γὰρ καὶ οἱ πρὸ ἡ-
μῶν ἐξεφλόφασιν. τοῖς μὴ εἰδόσι θεὸν. ἐν τοῦτο τὰ λέγῃ κατασκευασι-
κὸν, ὅτι πάντως δώσουσι δίκην οἱ θλίβοντες αὐτούς. ἐπειδὴ γὰρ ἄνω φησὶ, τοῖς θλί
πήκουσε δὲ, ὡς πρέπει υἱὸν πατρὶ,) ὅτι μετὰ τὸ ἀνθρωπῆσαι, καὶ σταυρὸν καὶ θάνα-
τον ὑπέμεινεν. ἔμαθεν δὲ ἀφ' ὧν ἔπαθεν. ἦδει μὲν, φησὶ, τίς ὁ θάνατος θεὸς ὤν. τί γὰρ
λέλειπται τούτῳ; ἀλλὰ ἐξ ὧν ἔπαθεν, ἔμαθεν. ἡ μόνον, φησὶ, καθὸ ἦν θεὸς, ἀλλὰ καὶ καθὸ
Φωτ. ἦν ἄνθρωπος, πείρᾳ μαθὼν τὸν θάνατον. ΑΛΛΟ. Δύο ζητεῖται μάλιστα ἐνταῦθα,
ἓν μὲν, πῶς, φησὶν, ὅτι ἠσηκούσθη. καίτοι αὐτὸς μὲν προῄλθεν ἐξελεῖν τὸν θάνατον, ὁ
δὲ ἡ πρᾶξις ἔδειξε. καὶ γὰρ ἐσωρώθη καὶ ἀνέστη. δεύτερον δὲ, ἐν τῇ τοῦ εὐλαβείας ἠ-
σακουσθῆναι αὐτὸν, φησὶ. καίτοι τί, καίπερ ὢν υἱὸς, πάντα ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν
ὑπακοήν. διαφορὰ γὰρ τούτων οὐκ ὀλίγη. ἀλλὰ πρὸς μὲν τὸ πρῶτον φαμεν, ὅτι οὐκ
ἴδιόν τι δέησις μία, ἀλλὰ διπλῆ τις. ἡ μὲν πρὸ τοῦ μέλλειν τὸν θάνατον, ἡ δὲ μετὰ μέλλειν. καὶ
γάρ φησιν ἐν τῇ αὐτῇ εὐχῇ καὶ δέησει. πλὴν μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέ-
σθω. καὶ τὸν σαφέστερον δηλῶν ὁ Ἰωάννης φησὶν, αἰτεῖσθαι τὸν υἱὸν λέγοντα, πάτερ
δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε, δόξαν τὸν σταυρὸν καὶ τὸν θάνατον ὡς
ἴδιον ὀνομάζοντα. ὥστε καλῶς φησιν ὁ θεῖος Παῦλος, ἠσηκούσθη. τὸ δὲ ἀπὸ τῆς
εὐλαβείας ἐγγὺς γέγονεν ἐκεῖνον ἑρμηνεύων τὸ σεσαφηνίσθαι. δύο γὰρ ἔφημεν αἰτήσεις,
τὴν μὲν πρὸ αἰτήσεως τοῦ θανάτου, τὴν δὲ συγκαταθέσεως, ὅπερ ἐστὶν ὡς ἀληθῶς πρὸ
λῆς εὐλαβείας. τοῦτο μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σόν. ἠσηκούσθη τοίνυν ὁ Χς, οὐκ
ἀπὸ τῆς πρὸ αἰτήσεως, ἀλλ' ἀπὸ τῆς εὐλαβείας, ἥτις ἐστὶν ἐκείνη ἡ αἴτησις αὐτοῦ ἔξεβη, οὐ
χὶ δι' τὴν πρὸ αἰτησιν, ἀλλ' ἡ δι' τὴν εὐλάβειαν. διόφησι, δὲ τελεωθείς, ἥτις ἐστὶ πα
θημάτων καὶ σταυροῦ καὶ θανάτου τέλος ἡμῖν ἐπιγνωσθείς, δὲ ὑπὲρ λόγον ἀγαθὸς δὲ
φιλάνθρωπος. τὸν δὲ δὲ ἀνωθεν ὑποδηλοῦ, δέησις λέγων δὲ ἱκετηρίας, τὸ δηλοῦν
τὸ αἰτήσεως ἀνιπόμενος. εἶτα δὲ δέησις ἤτων δὲ ἱκετηρίας, οὐκ ἐπιβαίνου ὑπὲρ τὸ πρέλ
θεῖν τὸν θάνατον, ἀλλὰ πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου, καλῶς καὶ πανσό-
φως τὸν προσθεὶς, ἵνα ὅταν ἐννοῇς αὐτὸν σταυρούμενον δὲ θανατούμενον, μὴ ἀδυναμίας
τὸ πατρὸς

τὸ πατρὸς αὐτὸν τὸν νομίσῃς ὁρμεμυηκέναι, ἀλλ' ὅτι κοινὸν τέλημα ἦν τὸ ταῦτα πα
θεῖν τὸν χριστὸν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας. δύναται δὲ τὸν ἐρῆσθαι δὲ διὰ τὴν ἀνά
στασιν. πολλαχοῦ γὰρ ταπεινότερα ὁ θεῖος Παῦλος φθεγγόμενος, τὸν πατέρα φησιν
ἀναστῆσαι τὸν χν. ἀναστήσας ὃν αὐτὸν, ἐρρύσατο αὐτὸν ἐκ τοῦ θανάτου καὶ δέδωκεν. ἀλλ'
οὕτως μὲν καθ' ἑαυτὸν γνώμην ταῦτα. τὸ δὲ, καίπερ ὢν υἱὸς, εἴτις καθ' ὑπερβατὸν ἐκλά
βοι, (ἀπρόσφορος δὲ ἡ τοῦτου χρῆσις τῷ θεσπεσίῳ Παύλῳ,) ἀβίαστος αὐτὸν ἡ ὑπόνοια περι-
χθείη, οἷον, ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, καίπερ ὢν υἱὸς, δεήσεις καὶ ἱκετηρίας δὲ
ἐξῆς, ταυτὶ καίπερ πρεσβύτερον μείζονα ἔχων ὡς υἱὸς, τὸ χωρὶς δεήσεως καὶ αὐτοπροσεύξεως
αὐτοδεσπότῳ γνώμῃ πάντα πρᾶξαι ἃ καὶ ὁ πατὴρ πρᾶξαι, ὅμως ἐπειδὴ ἐν ἡμέραις ἐν
τῆς σαρκὸς, δεήσεις καὶ ἱκετηρίας προσέφερε. δύναται δὲ καὶ κατὰ ἀκολουθίαν ὡς
ἔχει τάξεως συναφθῆναι τῷ, καὶ ἠσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, οἷον ἠσηκούσθη, φη
σί, καίπερ ὢν υἱὸς, καὶ μὴ δρόμῳ ἠσακουσθῆναι, ἅτε ζήνδρομον ἔχων τὸ θέλημα τῷ
πατρικῷ βουλήματι, καὶ χωρὶς πάσης ἐκπληρουμένου αἰτήσεως. ἡ δὲ ἐ τῆς ἐφεξῆς
αὐτὸ σωάψεως, ὁ νοῦς ἐνσωθήσεται. ἀμφὶ πρότερον τί δι' ὃ οἶσι σκεπτέον τὸ, ἔμαθεν
ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. ἆρα γὰρ ὅτι ἔμαθεν αὐτὸς ἀφ' ὧν ἔπαθε τῷ περὶ ὑπακούειν,
καὶ πείρᾳ τὴν γνῶσιν ἔσχε τοῦ περιαρχεῖν αὐτῷ; ἢ μᾶλλον ὅτι πείρᾳ ἔμαθε τὸ μέ-
γεθος τῆς ὑπακοῆς οἷον ἦν, ὑπήκουσεν αὐτῷ ὁ πατὴρ, οἷον τὸ σωρωθῆναι αὐτὸν
καὶ ἀποθανεῖν, καὶ ἀναστῆναι, καὶ τῇ δεξιᾷ τοῦ πατρὸς τὸ ἀνθρώπινον φύραμα ἀνυψῶ
σαι, καὶ σῶσαι τὸ γένος ἡμῶν; ταῦτα γὰρ ἐκείνης ἐστὶ τῆς ὑπακοῆς τῆς μεγίστης ἐν
τῷ λέγειν, πάτερ δόξασόν σου τὸν υἱόν. ταύτην γὰρ τὴν ὑπακοὴν ἐμάθομεν καὶ ὅσοι, ἐ πρὸ
τ' ὑπακοῦσαι τὸν πατέρα, ἤδει μὲν ὁ χριστὸς ὡς υἱὸς ἐ θεὸς καθάπερ καὶ ὁ πατήρ, ἠσα
κουσθεὶς δὲ, ἔμαθεν αὐτὸν δι' ὧν ἔπαθε καὶ πείρᾳ. ὡς ἂν ὅσῳ τις ἐκλάβοι, ἐμὴ δὲ μᾶλ
λον ἡ δευτέρα ὑπόνοια συμβαίνειν δοκεῖ. οὐδεμίαν ὅσῳ ἔτι ἀσάφειαν ἔχει τὸ, καίπερ ὢν
υἱός. καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσι. τὸν ἆρα τελείωσις ἐν
ἀνθρώπῃς, τὸ, δι' παθημάτων ἐπιλαβέσθαι τελειότητος. ἀνθρωπῳπρεπὴς δὲ πάν
τα ἐρίκιον. αἴτιος σωτηρίας αἰωνίου. ἰδοὺ καὶ θεοπρεπῶς.

» Περὶ οὗ πολλὺς ἡμῖν ὁ λόγος, καὶ δυσερμήνευτος λέξαι, ἐπεὶ νωθροὶ γεγόνα Κεφ. ζ'.
» τε ταῖς ἀκοαῖς. καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔ-
» χετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ. καὶ γεγόνα
» τε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄ-
» πειρος λόγου δικαιοσύνης. νήπιος γάρ ἐστι. τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν
» ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

Περὶ οὗ Χριστοῦ, πολλὺς ἐστὶν ὁ λόγος καὶ δυσερμήνευτος. διὰ τὴν ὑμῶν, φησιν, αἰτίαν, ὅτι νωθροί ἐστε, καὶ τὰ τελειότερα περὶ αὐτοῦ οὐ χωρεῖται. ἡσυχῇ γὰρ τὰ τοσαῦτα ταπεινὰ τῆς ὑπανθρωπήσεως, ἠβούλετο μεταβῆναι καὶ ἐπὶ τὰ θεοπρεπῆ, ἀλλ' ἀθενεῖς ἔτι ὄντες πρὸς οὓς ὁ λόγος, οὐκ ἴσχυον τελειοτέρως ἀκούειν δογμάτων. ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. οἱ πειρασμοί, φησι, καὶ αἱ θλίψεις, νωθροὺς ὑμᾶς ἐποίησαν, καὶ οὐ δύνασθε τελείων ἀκούειν λόγων.

καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι. μετὰ ἐγκωμίου προσάγει τὼ κατηγορίαν. νωθροὶ γὰρ καὶ ῥᾴθυμοι, φησὶν, ἐστὲ, καίπερ ὀφείλοντες καὶ ἑτέροις διδάσκειν δηλ. τὸν λόγον. οὕτω δὲ δείκνυσιν ἐκ πολλοῦ πεπιστευκότας αὐτοῖς. καὶ γὰρ ὀφείλοντες διδάσκαλοι εἶναι, γ' μόνον γε ἐστὲ διδάσκαλοι, ἀλλ' ὑδὲ μανθάνειν δ' ὡς ἄδε, εἰ μὴ τὰ στοιχειωδέστερα καὶ τὰ πεινὰ καὶ ἀπλούστερα, καὶ ταῦτα γ' ἀπλῶς, ἀλλ' ὁ ἐπ' ἀθενέστερον, τῆς ἀρχῆς τῶν λογίων τὸ θεοῦ. γ' τῶν λογίων δέ φησι τὰ στοιχεῖα, ἀντὶ τῆς ἀρχῆς τῶν λογίων. εἶτα δ' ἀῦ στοιχεῖα μὲν ἁπλοῦστερα τῶν τοῦ θεοῦ λογίων, οἱ περὶ ἀνθρωπίνως λόγοι. ἀρχῆς δὲ λογίων στοιχεῖα, ἃ πρώτιστα λέγει, μὴ πάλιν θεμέλιον, ἐξῆς. πάλιν χρείαν ἔχετε. πάλιν χρείαν ἔχετε τὸ διδάσκειν ὑμᾶς τινά. τί δὲ διδάσκειν; τὰ στοιχεῖα φησί. τὰ στοιχεῖα τῆς ἀρχῆς. στοιχεῖα ἀρχῆς, τὼ ῥωμαϊστὶ πίσιν λέγει. ὥσπερ γὰρ ἐπὶ τῶν γραμμάτων πρῶτον τὰ στοιχεῖα μανθάνομεν, οὕτως καὶ ἐπὶ τῶν θείων λογίων δεῖ πρῶτον τὰ περὶ τῆς ἀνθρωπίνως διδάσκεσθαι. ταῦτα γὰρ τοῖς ἀπίστοις ἔτι ἐν νηπίαις ἀκοαῖς χωρητά. ὡς τοίνυν περὶ τὸ θεότητος τὸ χριστοῦ φιλοσοφεῖν, τελείων ἐστὶ λοιπόν. ὁρᾷς τὼ αὐξάνειν διὰ τῶν τοιούτων ἐμφιλοχωρεῖ; δηλ. τῶν ἀκουόντων ἀσθένειαν, γ' ἰσχυόντων τὸ τέλεια δέχεσθαι. διὸ ἐπὰ τὰς ἀρχὰς τῆς ἐπιστολῆς βραχέα φιλοσοφήσας περὶ τῆς θεότητος τὸ χριστοῦ, εὐθὺς κατέπαυσε τὸν λόγον. ὧν μόνων τὰ στοιχεῖα τῆς ἐπιστολῆς μέμει. ΑΛΛΟ. στοιχεῖα τὰ ἀρχῆς τῶν λογίων τοῦ θῦ, τοῖς τὰ στοιχειωδεστέροις περὶ χριστοῦ λόγοις ἐοικότες. τοῖς γὰρ μηδέπω τὴν πίστιν ἐσχηκόσι τελείαν, τὰ περὶ τῆς ἀνθρωπότητος προσέφερον μόνα, τῆς ἀληθείας οἰκήρυκες. οὕτως ὁ μακάριος Πέτρος Ἰουδαίοις διὰ μηνυμάτων ἐμέτρησε τὼ διδασκαλίαν τῆ ἀδενείᾳ ὧν ἀκουόντων. Ἰν' γὰρ, ἔφη, τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ θεοῦ ἀποδεδειγμένον ἐς ὑμᾶς. καὶ γεγόνατε χρείαν ἔχοντες. ἀῦλοὶ γεγόνατε, φησὶν, ἐκ ῥᾳθυμίας, γ' ὄντες θριοῦτοι. γάλακτος ἐ οὐ στερεᾶς τροφῆς. γάλα λέγει τοῖς τὰ στοιχειώδη περὶ χριστοῦ λόγοις, τοῖς περὶ τῆς σαρκὸς, στερεὰν δὲ τροφὼ, τοῖς τελείοις τοῖς περὶ τ θεότητος αὐτοῦ. τοῖς οὖν ἐπὶ νηπίοις τ πίστιν, ἔδωκε λόγων τὰ πεινῶν, (κατάλληλον γὰρ τοῖς νηπίοις τὸ γάλα,) τοῖς δὲ τελείοις τὼ πίστιν, τῆς στερεᾶς τροφῆς καὶ τῆς ὑψηλῆς περὶ Χριστοῦ φιλοσοφίας. πᾶς γὰρ ὁ μετέχων γάλακτος. πᾶς γάρ, φησὶν ὁ μετέχων λόγων τὰ πεινῶν ὧν περὶ τῆς ἀνθρωπότητος τὸ κῦ, (οὗτοι γὰρ τὸ γάλα,) ἄπειρός ἐστι καὶ ἀμέτοχος λόγου δικαιοσύνης. λόγον δὲ δικαιοσύνης λέγει, τὸν περὶ τ θεότητος τὸ κυρίου. τὶ στερεὰ τροφή. ὁ ὑψηλὸς λόγος, καὶ τὰ ὑψηλὰ περὶ χῦ δόγματα. τ ἕξις τ ἕξιν. πὼ ἕξιν φησὶ, πὼ τελειότητα, τὸ καλῶς ἀνῆχθαι, γεγυμνασμένων τὰ αἰσθητήρια, οἷον ἀκοὼ, γλῶσσαν, ὀφθαλμούς. ἢ γοῦν τὰ τ ψυχῆς αἰσθητήρια λέγει. πρὸς τὸ διακρίνειν, φησὶ, πρὸς τὰ χρηστὰ ἐ ὑψηλὰ δόγματα, καὶ πρὸς τὰ νόθα ἐ διεφθαρμένα. ἀνίπταται δὲ τοῖς πᾶσι τοῖς ὁπδήποτε διδάσκουσιν ἐκ διδόντας ἑαυτοὺς καὶ πεφωτισμένους. ὁ γὰρ πάντα ἀπλῶς δὲ χρόμενος, ἀδιακρίτως ἔχει καλοῦ καὶ κακοῦ. Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τὸ Χριστοῦ λόγον, ἐπὶ τ τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεὸν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος

αἰωνίου. καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ θεός.

Ἀνωτέρω ἀρχικῶς τοὺς περὶ ἀνθρωπότητος τ κῦ λόγους, τελειοτέρους δὲ τοὺς περὶ θεότητος, ἵνα μὴ ἀδιμονῶσιν οὕτως ὡς μὴ ἀξιούμενοι ὧν τελειοτέρων λόγων, λέγων τοὺς τελείους πειρᾶται. λέγει δὲ, γ' ὡς ἄνω τελείοις ἐπάλεσεν, (γ' γὰρ ἴσχυον ἀνῦσαι. ἀλλ' ἑτέρως μεθοδεύει τὸν λόγον, ἀρχικῶς μὲν τὸ βάπτισμα καλῶν, καὶ τὼ ἀῦλῶ ὧν χειρῶν ἐπίθεσιν καὶ σφραγῖδα, τελειότητα δὲ, τὼ διέργων φιλοσοφίαν. παρακατιὼν δὲ σαφέστερον λέγει τίς μὲ ἀρχὴ, ἤτοι ὧν ἀρτι πιστευόντων, καὶ τίς μὲ τελειότης. ΤΟ ΑΚΟΛΟΥΘΟΝ ΤΗΣ ΣΥΝΤΑΞΕΩΣ.

Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τὸ Χριστοῦ δογμάτων, ἐπὶ τὼ τελειότητα φερώμεθα. καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ θεός. Τοῦ Χριστοῦ λόγον. ποῖον λόγον; τὸν λόγον τῆς διδαχῆς, τὸ δεῖν καταβάλλειν θεμέλιον μετανοίας ἀπὸ νεκρῶν ἔργων. τὸν λόγον τ διδαχῆς, τὸ δεῖν πιστεύειν ἐπὶ θεόν. τ λόγον τῆς διδαχῆς, τὸ δεῖν βαπτίζεσθαι. τὸν λόγον τ διδαχῆς, τὸ δεῖν ἐπιτίθεσθαι τὰς χεῖρας ἁγίου. τὸν λόγον τῆς διδαχῆς, ὅτι ἀνάστασις, ὅτι ἔσται κρίσις. ἀπὸ κοινοῦ γὰρ κατὰ πάντων, καὶ ὁ λόγος καὶ ἡ διδαχή. ἐπὶ τὼ τελειότητα. Εἰ τῶν ἀφεῖναι τὸν περὶ Χριστοῦ στοιχειώδη ἐ ἀρχῆς ἐπόμενα τάξιν λόγου, καὶ ἐπὶ τὼ τελειότητα φέρεσθαι, γ' ἀπλῶς φησὶ τ κυρίως τελειότητα, ἀλλ' ὡσανεὶ τὼ μεταξύ τ στοιχειώσεως τε ὧν λογίων τὸ θεοῦ, καὶ μεταξὺ τῆς ἀνωτάτω τελειότητος. ἔστι μὲν γὰρ στοιχεῖα ἀρχῆς λογίων θῦ, τὸ ἀπταίστως ἐν τοῖς ἔργοις αὐτὸ, τὸ πιστεῦσαι ἐπὶ θεὸν, τὸ βαπτισθῆναι, τὸ λαβεῖν πνεῦμα ἅγιον, τὸ ἐγεῖραι νεκρῶν ἀνάστασιν, τὸ πιστεύειν ὅτι ἔσται κρίσις. ταῦτα μὲν στοιχεῖα ἀρχῆς λογίων θῦ. στοιχεῖα ἢ λογίων τοῦ, ἐ γε ἀρχῆς λογίων τοῦ, τὸ ἐγεῖραι ὅτι ἔπαθεν ὑπὲρ ἡμῶν ὁ Χς, ὅτι ἀνέλαβε τὰς ἁμαρτίας ἡμῶν, ὅτι σέσωκεν ἡμᾶς ἐργασάμενος, ὅτι ἀρχιερεὺς ἡμῶν γέγονεν, ὅτι ἐσωτὸν προσήνεγκεν ὑπὲρ ἡμῶν, ἐ ἔτι παραπολήσιον. τελειότητος ἢ τὸ μὴ ἀπταίστως τῷ Σατανᾷ, ἐ τοῖς τοῦτου συστοίχοις, ἡ τὰς ἀρετὰς προσθῆναι, ἃ ὧν θλίψεων καὶ διωγμῶν ἐ πειρασμῶν ὑπομονή. τελειότης δὲ ἡ ἀνωτάτω ἐπὶ τῆς θεολογίας Χριστοῦ καθόλου ἐστὶν ἀνθρώπῳ ὅλως τὸν ἀκριβῆ καὶ πάλιν λῆψις. πρῶτον οὖν πιστεύοντες βαπτιζόμεθα, εἶτα ἐπιγνόσομεν ὅσα ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἔπαθέ τε καὶ ἐπρίσατο τὸ ἀνθρώπινον, εἶτα ταῖς ἀρεταῖς τελούμεθα, ἔπειτα καὶ τὴν γνῶσιν τῆς κατὰ τὼ θεολογίαν ἀξιούμεθα. μὴ πάλιν θεμέλιον. μὴ πάλιν ἕτερον θεμέλιον καταβαλλόμενοι, οἷον, φησὶ, καταβαλλόμεθα ἐν τῷ βαπτίζεσθαι, ῥυτέον ἀπὸ ταγῆς ὧν ἔργων τὸ Σατανᾷ. ἅπαξ γάρ, φησὶ, μετανοήσαντες ἐπ' αὐτοῖς ἐβαπτίσθημεν, καὶ γ' ἐπὶ δεῖ ταῦτα ὀξ ὑπάρχης πρεῖν. Μεθύστερον δὲ ἡ ῥῆσις ἐστί. τὸ γὰρ διδαχῆς, πρὸς ἅπαν δηλ. μέσου τὸ παρεγκείμενον ἀπροδέδοται. καὶ ἔστι κατὰ τὸν νοῦν αὐτῆς, αὖτη σωτήκη. μὴ πάλιν θεμέλιον καταβαλλόμενοι διδαχῆς, ἀθ' οὕτως τὰ καθ' ἑξῆς ὂν ἀπαριθμήσει διλούμενα, περὶ ὧν τῆς διδαχῆς, οἱ θεμέλιοι. βούλεσθε δὲ ἰδεῖν, ὅτι τοῖς νῦν πρώτοις τὴν πίστ, τ πρὸ τούτ διδασκαλίαν οἱονεὶ θεμέλιον προκαταβαλλόμεθα, μεταγνοεῖν μὲν ἀπὸ ὧν νεκροεργιῶν ἔργων ἠθότως πρώτον αὐτοῖς πρωτρεπόμενοι, μετανοοῦντας δὲ πιστεύειν ἐπὶ τ θῦ, πε-

Φωτ. Τοῦ αὐτ Τοῦ αὐτ Γενναδ. Θεοδωρ.

πεύοντας δὲ βαπτίζεσθαι, βαπτιζομένους δὲ τῇ τῶν ἱερατικῶν χειρῶν ὑπάγειν ἑαυτὴν ἐπὶ θέσει πρὸς μαρτυρίαν τῆς πίστεως, τύπου δὲ μετασχόντας, πρὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως μηκέτι διαπίστειν, ἀναστομένους δὲ εἰς αὖθις ἀναβιωσομένους ἐσεσθαι κρίσιν ἡδέναι, εἰ δυνατὴ εἰ δικαίαν ὧν ὑπατῶθα βεβιώκαμεν, τὴν ἀντίδοσιν πρέμνειν. καὶ πίστως τὴν θεόν. ἀρχὴν γὰρ δεῖ νῦν ὥσπερ δὲ ὑπαρχῆς πιστεύειν τὴν θεόν. ἤδει γὰρ ἐπίστευσατε διδαχῆς. ἡ ζώντα ξις οὕτως ἐστί. Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τὸ θεοῦ λόγον. πρῶτον δὲ τύπου, τὸν, ὧν βαπτισμῶν, εἰ διδαχῆς, καὶ ἐπιθέσεως ὧν χερῶν, δι' ὧν, τὸ πνεῦμα, φησίν, ἐλάβετε, καὶ τῆς ὧν νεκρῶν ἀναστάσεως, καὶ τὸ κρίματος τὸ αἰωνίου, ἐπὶ τὰν τελειότητα φερώμεθα. ἀρχὴν δεῖ γάρ, φησιν, ἀεὶ τὸ αὐτὸ λέγεσθαι, εἴρηται ἅπαξ καὶ μεμνῆσθαι, ἀλλὰ δεῖ, φησι, καὶ τὸ πρὸ ὑμῶν ζωεισφέρεσθαι, τυτέστι χρησὶν πολιτείαν, καὶ τὸ πίστεως ἀξίαν. αὔτη γὰρ ἡ τελειότης, τὸ ἀμφιδέξιον εἶναι τὰν ἀρετὰν, ὡσεὶ ἔλεγε, νήψατε. ἀκούει γὰρ ζῆσαι ῥαθύμως, καὶ πάλιν βαπτισθῆναι, καὶ δι' ἐπιθέσεως χερῶν λαβεῖν πνεύματος ἁγίου ἥτοι τὴν. ΑΛΛΟ. μᾶλλον οὖν τι ἰουδαϊκώτερον φρονοῦντες, διὰ τὸ διαφόρους καὶ πολλοὺς ὄν τῷ νόμῳ εἶναι βαπτισμούς, ἠβούλοντο καὶ τὸ τῆς νέας βάπτισμα τὸ τῶν παλιγγενεσίαν δωρούμενον πολλάκις βαπτίζεσθαι, διὰ τὸ ἀφέσεως ἁμαρτιῶν πολλάκις θέλειν ἀξιοῦσθαι. ἐπιθέσεως ὧν χερῶν. ὧν οὐ τῷ βαπτίσματι γινομένων. ἢ οὕθα ἐπιτιθέντες χεῖρας οἱ ἀπόστολοι, τὸ πνεῦμα ἐδίδοσαν, ὅπερ ἐ ὁ Σίμων, ὠνιον ἐζήτει. καὶ τύπου τρισσῶμεν. πρῶτον τὸ τὴν τελειότητα φέρεσθαι. ἐὰν περ ἐπιτρέπει ὁ θεός. τὸ ἐὰν περ, ἀ πρὸς τύτ' ἔστιν ὡς τὸ θεοῦ ἀ πάντως ἐπιτρέποντος, (ἐπιτρέπει γὰρ ἀεὶ ὁ θεὸς τὰ καλὰ ἐ τέλεια,) δηλῶς ἔθος ἡμῖν λέγειν, » θεοῦ θέλοντος τύδε τρισσῶμεν. Αδύναν γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσα » μένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, ἐ μετόχους γενηθέντας πνεύματος ἁγίου, ἐ » καλὸν γευσαμένους θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, ἐ παραπεσόντας, πά » λιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ, ἐ παδειγ » τίζοντας. Αδύναν γάρ. ἀκείτω δυσχερές, δηλ' ἀδύναν. γευσαμένοις τε τῆς δωρεᾶς. τῆς ἀφέσεως ὧν ἁμαρτιῶν, τῆς ἐν τῷ βαπτίσματι. αὔτη γὰρ δωρεὰ ἐπουράνιος. καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου. τὴν ἐπιθέσει ὧν χειρῶν, καθὼς ἄνω φησί. ἐ καλὸν γευσαμένοις θεοῦ ῥῆμα. τὸν περὶ τὸ Χυ διδασκαλίαν. δυνάμεις μέλλοντος αἰῶνος. ὅτι πάντες δώσομεν λόγον ὧν βεβιωμένων, ἐ ὅτι ἥτε κόλασις ἐ ἡ ἀνάπαυσις ἀτελεύτητος. ταῦτα γὰρ ἐ ἐν τύτοις ἡ δύναμις τὰ μέλλοντος αἰῶνος. ἢ ὅτι τὸν ἀῤῥαβῶνα τὰ μέλλοντος αἰῶνος, τυτέστι τὸν ἐς χν πίστιν. δυνάμεις τε μέλλοντος αἰῶνος. ἀντὶ τὰ ἀ δύναται ὁ μέλλων αἰὼν ἐκμαθόντας. τὸ γὰρ γευσαμένους, ἀπὸ κοινοῦ, ὅπερ προπικῶς ἐλπίσαι, σημαῖνον τὸ, μαθόντας, καταχηθέντας. τί δὲ δύναται ὁ μέλλων αἰών, ἐ τί ἐστιν αὐτὸ ἡ χρεία καὶ τὸ ἔργον; ὅτι τὸ αὐτῷ ἕκασος ὧν ἔπραξε τὸν ἀμοιβὴν εὑρίσκει, ὅτι γὰρ ἔχει τέλος οὔτε ἡ τιμωρία ἡ ἐν αὐτῷ, οὔτε ἡ εὐδαιμονία, ὅτι τότε μᾶλλον τό, τε ἀλάθητον τὸ κριτὸ ἐ τὸ δίκαιον φανερωθήσεται, καὶ πολλὰ ἕτερα. τις οὖν μετὰ ὧν ἄλλων καὶ ταῦτα μαθόντας, φησίν, εἶτα παραπεσόντας, ἀδύναν καὶ ἑξῆς. καὶ παραπεσόντας. ἅπαντα ταῦτα ἀπολέσαντας

Οἰκουμ.

Φωτ.

σαντας ἐ ἐκπεσόντας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀδύναν τύτε. πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν. τί οὖν; βέβαλε τὴν μετάνοιαν; μὴ γένοιτο. (οὕτως ὁ ἁγίος Κύριλλος ἐν βιβλίῳ ἕκτῳ τῆς β' τῆς ἐν πνεῦ ἐ ἀληθείᾳ λατρείας,) ἀλλὰ τὴν διὰ βαπτίσματος μετάνοιαν. δεῖ γὰρ πρῶτον ἡγήσασθαι μετάνοιαν καὶ ἀπόταξιν ὧν πονηρῶν πραξέων, καὶ οὕτως βαπτισθῆναι. ἐκείνην οὖν, φησι, τὴν ἐν τῷ βαπτίσματι μετάνοιαν, ὅθεν καὶ εἶπεν, ἀνακαινίζειν, ὅπερ ἴδιον βαπτίσματος, καὶ ἀνασταυροῦντας, ὅπερ καὶ τύτε βαπτίσματος ἴδιον. οἱ γὰρ βαπτιζόμενοι συσταυροῦνται τῷ κῷ. ὁ ὅθεν πάλιν διὰ βαπτίσματος δευτέρου μεταποιεῖν θέλων, ἀναταυροῖ τὸν Χριστὸν τῷ συταυροῦσθαι αὐτῷ. ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τὰ θεοῦ. τί ἐστιν ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τὰ θεοῦ καὶ παδειγματίζοντας; ἄνωθεν, φησί, σταυροῦσας ἑαυτοῖς καὶ καταισχύνοντας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἅπαξ ἐσταυρώθη ὁ Χριστὸς, καὶ ἡμεῖς ἅπαξ αὐτῷ συσταυρωθῆναι διὰ τὸ βαπτίσματος. ὁ τοίνυν, φησὶν, ὁμολογούμενος εἶναι δεύτερον βάπτισμα, ὅσον τὸ καθ' αὐτὸν, ἄνωθεν σταυροῖ τὸν κύριον. τί γὰρ ἕτερον τοιεῖ ὁ δεύτερον αὐτῷ διὰ τὸ βαπτίσματος συσταυροῦσθαι νομίζων; ἢ ὅτι καὶ αὐτὸν ἡγεῖται δεύτερον ἐσταυρῶσθαι, δι' ὧν τοιεῖ; τὸ δὲ δεύτερον σταυροῖ, φησι, τὸν Χριστὸν, τὸ ὅσον ἧκεν εἰς αὐτὸν, ὑβρίζειν ἕτερόν ἐστιν ἢ παδειγματίσαι αὐτὸν καὶ καταισχῦναι. ἅπαξ γὰρ σταυρωθείς, ἀθανατίζεσθαι ἐσηλοιπόν. ὁ δὲ ἀνασταυρῶν, ψευδὴς τὸν τοιεῖ, ὅπερ αἰσχύνειν αὐτῷ φέρει ὡς ψευσαμένῳ τὸ ἅπαξ ἀποθανεῖν μόνον. ΑΛΛΩΣ. τί ἐστιν ἀνασταυροῦντας; τὴν δευτέραν σαύρωσιν καὶ δεύτερον πάθος καλοῦντας αὐτὸν, εἴπερ ἡ τριάτη μετάνοια, καὶ τὸ ἀξιωθῆναι τῆς διὰ τὸ βαπτίσματος ἀφέσεως, τῷ σταυρῷ τὸ Χριστοῦ μόνῳ καθωρθῶθαι. οἱ τὸν οὖν, φησιν, ὧν νοούμενοι, ἐπιθυμοῦσι πάλιν τὸν Χριστὸν σταυρούμενον καὶ χλευαζόμενον καὶ παδειγματιζόμενον ἰδεῖν. ὧ τὸ μὴς ἐ ἀπονοίας, εἴτις ὧν νοεῖ τοιοῦτα. λίαν δὲ διὰ τύτων κατασείει αὐτῶν τὰς διανοίας, ἵνα ἀνέλπιστοι γενόμενοι τὸ δυνάσθαι τυχεῖν τοιύτης μετανοίας, ἧττον πλέον ἀντιποιῶνται » ἀρετῆς. Γίνεται γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, ἐ τίκτουσα βο » τάνην ἔυθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τὸ θεοῦ. » ἐκφέρουσα δὲ ἀκάνθας ἐ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς » καῦσιν. Εν τῇ παβολῇ, γλῶ τοῦτο ἀνθρώποις λέγει, τοὺς πολλάκις μὲν ἀκούσαν τας καὶ οἷον νοητῶς ἀρδευθέντας τῷ θρεπτηρίῳ λόγῳ τῆς πίστεως, καὶ ἢ ὠφεληθέντας, ἢ μηδὲν ἐκ τύτου ὠφεληθέντας. βοτάνην ἔυθετον. τίς δὲ εὐδοκίμησις βοτάνη; ἡ ὀρθὴ πολιτεία. ἐκείνοις δ' οὓς καὶ γεωργεῖται. ἐσφδὴ σοφία γῆς εἶπε καὶ καρπῶν, ἐνέμενε τῇ προφῇ, ἢ ὅτι τοῖς διδασκάλοις, (οὕτω γὰρ οἱ γεωργοῦντες,) τίκτεται ὁ χρηστὸς βίος, ὡς καὶ ἐκείνων μετεχόντων τῆς ἀρετῆς ὧν μαθητῶν. γεωργεῖται δὲ δηλονότι ἡς θρεπτηρίαν καὶ κέρδος αὐτῶν ἐκείνων ὧν καρποφορούντων. ἡ δὲ ἐστί, καθὼς, φησιν ὁ κύριος, γεωργὸς ὁ πατήρ, πάλιν δὲ σπορεὺς ὁ υἱὸς, ὁ τὸ καλὸν σπέρμα σπείρων, ἐὰν ἐπιτύχῃ δος αὐτοῖς ἢ βοτάνη, τυτέστι τὸ γεώργιον ὀφθῇ, (καὶ γὰρ τῷ θεῷ ὀφείλομεν καρποφορεῖν ὡς τρυ φησὶ, νυνὶ δὲ δουλωθέντες τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν.) ἢ οὖν τύτ', δηλονότι διὰ τὸν θεὸν γεωργούμενον ἵνα αὐτῷ ἀρέσῃ

μὴν τὸν ἀφαίρετον βίον. διὸ καὶ ἀξιούμεθα τῆς παρ' αὐτοῦ εὐλογίας. μὴ λαμβάνῃ εὐλογίας ἀπὸ τοῦ θεοῦ. ἡ γὰρ ἔυφορος γῆ εὐλογεῖται παρὰ θεοῦ. τίς ἐστιν ἡ ἔυφορος γῆ; ὁ ἀνάρετος ἄνθρωπος. ἐκφέρουσα δὲ ἀκάνθας. γκέτι εἶπε πικρυσα, ἀλλ' ἐκφέρουσα, τὸ παρὰ φύσιν τῆς ἐκβολῆς ἀντὶ πόμους, ὡσεὶ εἶπεν, ἐκβράσασα. τὸ δὲ ἐκφέρουσα, τῶν ἄχρι τέλους καὶ θανάτου ἐκφορὰν δηλοῖ. γὰρ εἶπεν ἐξενεγκοῦσα, ἀλλ' ἐκφέρουσα. σημείωσαι τοῦτο. ἀκάνθας δὲ καὶ τριβόλους τὴν ἁμαρτίαν λέγει δηλ. τὸ πάντοθεν αὐτὴν τιλιπεῖν καὶ λυμαίνεσθαι τὰ κραιρῶτα. ἐ καπάρας ἐγγύς. μεγίστην εἶπε παραμυθίαν. γὰρ εἶπεν αὐχημα παρὰ ἐστὶν, ἀλλ' ἐγγὺς καπάρας. ὁ δὲ ἐγγὺς καπάρας γλυόμενος, καὶ μακρὰν γλύεσθαι δύναται δηλ. μὴ ἀνοίας. ἡ μὲν γὰρ ἐγγὺς ἐκεῖ καὶ καπάρα ἐστὶν, ἔδει καὶ ἀπρογνῶναι. νῦν δὲ, ἐγγὺς καπάρας, φησὶ, φοβῶν καὶ μονονουχὶ λέγων, ἰδοὺ ἐγγὺς γεγύνατε τῆς καπάρας, φοβήθητε μὴ ἐκπέσητε ἧς αὐτῶν, καὶ φύγετε αὐτῶν. ὁ γὰρ ἐγγὺς ὢν, καὶ φυγεῖν δύναται. οὕτως γὰρ ἑάλω. ἧς τὸ τέλος ἧς καῦσιν. ὅρα πάλιν πῶς ἀσφαλῶς λαλεῖ, ἵνα μὴ δόξῃ τὸ μίσγον ἐν ἀνθρώπῃς φάρμακον τῶν μετάνοιαν ἐκβάλλειν. γὰρ εἶπεν αὐτὸ ὃ ἔννεγκεν ἀπάνθας καὶ τριβόλοις κάπεται, ἀπὰ ἧς τὸ τέλος ἧς καῦσιν. ἐὰν μέχρι τέλους ἐπιμείνῃ, φησὶ, καὶ μέχρι τελευτῆς ἀπάνθας ἐκφέρων, τότε καυθήσεται, ἐκ τῆς ἀντιδιαστολῆς δηλῶν, ὡς εἶπε μὴ ἄχρι τέλους ἐπιμείνωμεν τῷ ἀκάνθας ἐκβάλλοντες, ἀπὰ μᾶς γνώμην, γὰρ καυθησόμεθα.

» Πεπείσμεθα δὲ περὶ ὑμῶν ἀγαπητοὶ τὰ κρείσσονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ
» οὕτως λαλοῦμεν. γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τῆς κόπου τῆς
» ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακο-
» νοῦντες. ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν, τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πλη
» ροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ ὧν διὰ πίστεως
» καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. Πλείξας αὐτοὺς ἱκανῶς τῷ
νωθροὺς καλέσαι καὶ τ' ἄλλα ἧττον, νῦν παραμυθεῖται. διὸ γκεῖπε, νομίζω, ἀπὰ τούτοισμαι. καὶ ἐχόμενα σωτηρίας. ἐγγὺς ὄντα. ἡ καὶ οὕτως λαλοῦμεν. οἶδα, φησὶν, ὅτι γὰρ φύσεται ἀκάνθας καὶ τριβόλοις, ἀπὰ ἄχρι λόγων πλήσω, ἵνα ἀσφαλίσηται ροις πρόσω. γὰρ ἄδικος ὁ θεὸς. διὰ τοῦτο δὲ τὰ χρηστὰ περὶ ὑμῶν πεπείσμεθα, ἤδη τες μὴ ὄντα ἄδικον τὸν θεόν. ἡ δὲ γκ ἄδικος, γκ ἐπιλήσεται τοῦ ἔργου ὑμῶν τ χρηστοῦ, καὶ τῆς ἀγάπης ἣν ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ. πάντα δ' αὐτὸν ὑπομεί ναντες. διακονήσαντες τοῖς ἁγίοις. τοῖς ἤδη πεπιστευκόσιν. οὗτοι γὰρ παρεῖχον τὰ πρὸς τὴν χρείαν, ταύτην τὴν ἀγάπην ἣν ἄχρι τοῦ νῦν τρίετε, φησὶν. ἐπιθυμοῦμεν δέ. γκεῖπε βουλόμεθα. ἀπὸ φιλοσοργοτέρου ἦν, ἐπιθυμοῦμεν, φησὶν. τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδήν. εἶτα εἴρητις, ἡ πεπεισμένος εἶ περὶ ὑμῶν τὰ κρείττονα, καὶ οἶδας ὑμῶν τὰ ἔργα καὶ τὴν εἰς τοὺς ἁγίους διακονίαν, τί δήποτε ἐφόβησας ὑμᾶς νωθροὺς καλέσας, καὶ ἀπανθῶν μεμνημένος; διὰ τί; ὅτι ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν, φησὶ, τὴν αὐτὴν ἦν ἔχετε ἄχρι τέλους ἐνδείξασθαι σπουδὴν πρὸς τὴν πλη ροφορίαν τῆς ἐλπίδος, τουτέστι πρὸς τὸ εἶναι ὑμᾶς ἀδιστάκτως περὶ τὴν εἰς Χριστὸν πί-

στιν, καὶ τὴν ὅλην ἐλπίδα. ἵνα μὴ νωθροὶ γένησθε. καίτοι εἴτων ἄνω καὶ τὸ νωθροὶ γενήσθε. ἀπ' ἐκεῖ εἴτε ταῖς ἀκοαῖς, νῦν δὲ ὅλοι δ' ὅλων νωθροὶ γενήσθε. μιμηταὶ δὲ ὧν διὰ πίστεως. εἶτα λοιπὸν καταλέγει τοὺς διὰ πίστεως κληρονομήσαντας τὰς ἐπαγγελίας, οἷον τ' Αβραάμ. πόθεν ἔστι τὸ, διὰ μακροθυμίας; ρυτέστι δ' ὑπομονῆς. ὑπέμεινε γὰρ τὴν ἐπαγγελίαν ὑποστιθεμένου τοσαῦτα ἔτη, καὶ ἔτι ἔμενε πιστεύων. ἡ γὰρ ἅμα τῷ ἐπαγγείλασθαι θεὸν ἡ δόσις ἀκολουθήσει, γκ ἔτι πίστεως ἐστὶν ἡ ὑπομονῆς τοῦ τὴν ἐπαγγελίαν δεξαμένου χρεία τῷ ὅλως ἀληθεύειν τὸν θεόν. ἡ δὲ ἐπαγγειλάμενος ὑστέρηται, καὶ ὁ τὴν ἐπαγγελίαν δεξάμενος μακροθυμήσει, ἤτοι τῇ ὑποστάσει, τότε πιστεύει καθαρῶς, τότε ἐμβριθῶς ἐγκρατῶς.

» Τῷ γὰρ Αβραὰμ ἐπαγγειλαμένος ὁ θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμό Κεφ. ιʹ.
» σαι, ὤμοσε καθ' ἑαυτοῦ λέγων. ἢ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ
» σε. καὶ οὕτως μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας. ἄνθρωποι μὲν γὰρ, κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας ἡ ὁρκος βεβαίωσιν ὁ ὅρκος.

Οταν οὖν ὁρᾷς ἐπὶ Χριστὸν λέγοντα ἀμὴν ἀμήν, λέξωσοι, νόει ὅτι κατ' οὐδενὸς ἔχων μείζονος ὀμόσαι, τὸ ἀμὴν ὄμνυσι, μὴ ὅτι καὶ νῦν ὁ υἱὸς ὄμνυσι τῷ Αβραάμ. ὁ λόγος γὰρ ὄμνυσιν, ἢ μὴν εὐλογῶν εὐλογήσω. ὤμοσεν ἑαυτῷ, ζῶ ἐγὼ λέγει κύριος, φησίν. ἢ μήν. ρυτέστιν ὄντως μὴν εὐλογῶν εὐλογήσω σε. καὶ οὕτως μακροθυμήσας. ὁρᾷς ὅτι ἡ μακροθυμία τοῦ Αβραὰμ ἐπρίσατο τὴν ἐπαγγελίαν. καίτοι ἐν τῷ τέλει λέγει. ὅτι οὗτοι πάντες πρέρρωσθεν αὐτοῖς ἰδόντες καὶ ἀσπασάμενοι, χάκεθημίσαντο τὰς ἐπαγγελίας, ἵνα μὴ χωρὶς ἡμῶν τελεωθῶσι. πῶς οὖν ὧδε φησὶν, ἐπέτυχε τῆς ἐπαγγελίας; καὶ φαμὲν, μὴ πρὸ ἐκείνων αὐτῶν ἐληλυθέναι αὐτόν. τὸ μὲν γὰρ ἐπαγγείλασθαι αὐτῷ δέδωκε, πρὸ ἐκείνων νῦν εἶπε. τὸ δὲ ἐκεῖ φυλάττει, πρὸ ἐκείνων τῷ τέλει τῆς ἐπιστολῆς λέγει. καὶ πάσης αὐτοῖς ἀντιλογίας. καὶ πέρας πάσης ἀντιλογίας ἐ ἀμφισβητήσεως ἡ ὅρκος τὸ βεβαιῶσαι τὰ λεγόμενα πρὸ αὐτοῦ, ἐστὶν ὁ ὅρκος.

» Εν ᾧ πρὸ ἐστερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγε-
» λίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο πραγμάτων
» ἀμεταθέτων ἐν οἷς ἀδύνατον ψεύσασθαι θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόν
» τες κρατῆσαι τῆς προκειμένης ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς, ἀσφαλῆ τε ἐ
» βεβαίαν, ἐ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡ-
» μῶν εἰσῆλθεν Ιησοῦς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Εδύνατο μὲν οὖν, φησι, καὶ χωρὶς ὅρκου πιστευθῆναι ἐπαγγειλάμενον τὸν θεὸν, ἀλλ' ἐπεὶ δὲ πρὸ ἐστερον βουλόμενος ὁ θεὸς τί δέ τι ποιῆσαι, ἐμεσίτευσεν ὅρκῳ τὴν ὑπόσχεσιν. ἐπιδεῖξαι τοῖς κληρονόμοις. ἦλθε καὶ εἰς ἡμᾶς. ἡμεῖς γὰρ οἱ κληρονόμοι τῆς ἐπαγγελίας, οἱ κατ' ἐπαγγελίαν σπέρμα ὄντες τοῦ Αβραάμ. εἰ δὲ σπέρμα, καὶ κληρονόμοι. ἐμεσίτευσεν ὅρκῳ. ὅρα τί κατασπεύαζει. ὅτι ὁ υἱὸς ἔκρτε μεσίτης ἀλλὰ θεοῦ καὶ ἀνθρώπων. (καὶ γὰρ καὶ νῦν μεσίτης γέγονεν ἀλλὰ τῇ ἀναστάσει.) καὶ πότε ἐμεσίτευσε τῷ πατρὶ καὶ τὸ Αβραὰμ ὅρκῳ αὐτὸν πληροφορήσας. ὁ λόγος γὰρ ἀλλ' ὁ καὶ ἐπὶ Αβραὰμ καὶ λαλῶν καὶ ὀμνύς. καλῶς δὲ ἔχει ἡ ἕννοια τῆς ἑρμηνείας,

ἵνα οὕτως

ἵνα οὕτως ᾖ. ὁ θεὸς, τουτέστιν ὁ λόγος ἐπιδεῖξαι βουλόμενος τὸ ἀμετάθετον τῶν τῷ πατρὶ δοξάντων ἐμεσίτευσε τῷ πατρὶ καὶ τὸ Ἀβραὰμ ὅρκῳ, τουτέστι μεσίτης ὢν τῷ ὅρκῳ γέγονε. δι' αὐτὸ γὰρ ὡς λόγου, ὤμοσεν ὁ θεὸς ὁ πατήρ. ἵνα δὲ δύο πραγμάτων. δύο γὰρ ἦν μάτια, ὅτε ἐπαγγείλαθαι τὸν θεὸν, καὶ τὸ τὸν ὅρκον πεσεῖναι τῇ ἐπαγγελίᾳ. ἀδύνατον. ἀνύσις, ἐξ ὧν πραγμάτων. ἰσχυρὰν παράκλησιν ἔχωμεν. πρόκειμαι. οἱ καταφυγόντες. εἰς αὐτὸν, φησι. κρατῆσαι ἰσχυρὰν παράκλησιν ἔχωμεν εἰς τὸ κρατῆσαι. τῆς προκειμένης ἐλπίδος. ἀπὸ ἐκείνων, φησι, ὧν πρὸς Ἀβραὰμ ἡρημένων, πίστωσιν καὶ πρὸς τὰ μέλλοντα καὶ τῶν βασιλέων ὧν γράφω. αὕτη γὰρ ἡ ἐλπὶς ἡμῶν. ἣν ἐγὼ μὲν τὴν ἐλπίδα προκειμένην, ὅτε δὲ ἐκβαθμένην, ὡσεὶ ἔλεγεν. ἐξ ἐκείνων ταῦτα πίστου. ἐκεῖ ἐλήφθευσεν, ἵνα ἐν τούτοις πιστευθῇ. ἢ ὅτι διὰ τὸν ὅμοσε ὅτε, ἵνα νῦν σοὶ ὧν μελλόντων πιστεύσωμεν. χθὲς γὰρ ἴσως ἕτερον, φησι, καὶ τὰ τότε μεθ' ὅρκου ἐπαγγελλόμενα, ἢ μέλλουσα ἐλπὶς ὧν πίστων. ἣν ὡς ἄγκυραν ἔχωμεν. ἵνα ἐλπίδα, φησὶν, ὡς ἄγκυραν ἔχωμεν, ἥτις τὰ σαλευόμενα ἴσησι σῶα, καὶ ἡ ἐλπὶς τοὺς σαλευομένους τοῖς πειρασμοῖς, ἀνδρείους καὶ ἑδραίους καὶ ὁρμουντικοὺς τριεῖ. ἀσφαλῆτε καὶ βεβαίαν. χθὲς ἀσφαλῆ ἄγκυραν, σημὰ καὶ ἀσφαλῆ καὶ βεβαίαν. ἀνὶ γὰρ ἄγκυρα μὴ διαφυλάττουσα τὸ σκάφος ἀκλυδώνιστον, ὅταν ᾖ μικροτέρα τῶν δεόντος. καὶ ἐπερχομένων. ἵνα ἡμῶν, φησιν, ἐπὶ νῦν ταῦθα ὑπαρχόντων, ἡ ἐλπὶς ἐσέλθοι εἰς τὴν βασιλείαν ὧν χρανῶν, τουτέστιν ἵνα τοῖς ἐλπίσιν ἤδη ἐκεῖ ὦμεν. ὅρα τί τριεῖ ἡ ἐλπίς. προλαμβάνει τὸ ἐσόμενον. εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος. ἐσώτερον τοῦ καταπετάσματος, τὸν χρανὸν καλεῖ. ὅπου πρόδρομος ὑπὲρ ἡμῶν. χριστὸς μόνον εἰσῆλθεν, ἀνθ' ὑπὲρ ἡμῶν εἰσῆλθεν. ὅπου δὲ ὁ πρόδρομος ἡμῶν, ἐκεῖ καὶ ἡμᾶς, φησιν, ἀνάγκη εἰσελθεῖν. ἢ τὸ, ὑπὲρ, παρέλκεται, ἵνα ᾖ πρόδρομος ἡμῶν. ἢ τὸ μετὰ σαρκὸς αὐτὸν εἰσελθεῖν, ὑπὲρ ἡμῶν ἐστιν, ὅπως καὶ ἡμεῖς οἱ σάρκα ἔχοντες, εἴσοδον σχοίημεν. ἀρχιερεὺς γινόμενος. καλῶς τὸ, γινόμενος, διὰ τῶν σάρκα. ὥυθα ὅμως ὁ ἀρχιερεὺς, ἐκεῖ καὶ ὁ λαός.

Κεφ. θ'. 7

» Οὗτος γὰρ ὁ Μελχισεδὲκ βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν, ᾧ » καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ, πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς » δικαιοσύνης, ἔπειτα δὲ, καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, » ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιω » μένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ » δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.

Θέλει δεῖξαι καὶ νῦν πολὺ τὸ διάφορον τῆς νέας διαθήκης, πρὸς τὴν παλαιὰν, καὶ τὸν δείκνυσιν ἐκ τῶν ἱερέων. ἦσαν δὲ κατὰ τὴν τάξιν Μελχισεδὲκ, δείκνυσιν ὅτι καὶ αὐτὸς ὁ τύπος τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, (τύπον γὰρ αὐτὸν λέγει τοῦ Χριστοῦ,) πολὺ διέφερε τῶν κατὰ νόμον ἱερέων τῶν παρὰ Ἰουδαίοις, τὸν κατασκευάζων, ἢ ὁ τύπος, φησὶ, τοῦ Χριστοῦ τῶν παρὰ Ἰουδαίοις διέφερε, πόσῳ μᾶλλον ἡ ἀλήθεια; τουτέστιν

τουτέστιν αὐτὸς ὁ Χριστός. βασιλεὺς Σαλήμ. ὄνομα πόλεως. ἀπὸ τῆς κοπῆς τῶν βασιλέων. ὅταν τὴν βασιλεῖς τὴν τῶν Λωτ ἁρπαλωτίσαντας κατακόψας, ὑπέστρεφεν. εἶδας πῶς ἱστορίαν. καὶ εὐλογήσας αὐτόν. ἀντὶ τοῦ εὐλόγησεν αὐτόν. ᾧ καὶ δεκάτην. ᾧ, τουτέστι τῷ Μελχισεδὲκ, δεκάτην ἔδωκεν ὁ Ἀβραάμ, φησιν. πρῶτον μὲν ἑρμηνευόμενος. λοιπὸν θέλει δεῖξαι πῶς τύπος ἐστὶ τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, καὶ πόθεν ἐκ τοῦ ὀνόματος τοῦτο πρεῖ. πόθεν γὰρ, φησι, τὸ ὄνομα αὐτοῦ ἑρμηνεύεται, βασιλεὺς δικαιοσύνης. Μελχὶ, βασιλεύς. Σεδὲκ, Δικαιοσύνης. τίνος δὲ ἑτέρου ὤφειλεν εἶναι τύπος, ἢ τοῦ Χριστοῦ τὸ ἀληθῶς βασιλέως δικαιοσύνης; ἔπεται καὶ τὸν ἄλλον λέγει ἑρμηνείαν, τὸν ἀπὸ τῆς πόλεως. Σαλήμ, εἰρήνη ἐστὶν. γοῦν, γὰ μόνον βασιλεὺς δικαιοσύνης, ἀλλὰ καὶ εἰρήνης ὡς ἀπὸ τῆς πόλεως ἧς ἐβασίλευεν. ἀμφότερα δὲ ὁ Χριστός, βασιλεὺς τε δικαιοσύνης καὶ βασιλεὺς εἰρήνης. ἀπάτωρ, ἀμήτωρ. καὶ ἐνεχώρει τοῦτον τὸν Μελχισεδὲκ ἄνθρωπον ὄντα, ἀπάτορα εἶναι καὶ ἀμήτορα, καὶ μήτε ἀρχὴν μήτε τέλος ἔχειν ἡμερῶν; οὐ. πῶς οὖν εἴπεν; ὅρα. ἐπεδὴ ἀντέπιπτον αὐτῷ, πῶς κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ ὁ Χριστός ἐστι, τὸ τελευτήσαντος καὶ μὴ γνωρίζου ἀρχιερέως εἰς τὸν αἰῶνα; βλέπωτε τί λέγει. ἴσμεν, φησὶ, τίνα ἔχει πατέρα ἢ μητέρα, ἢ ποῖον γένος ὁ Μελχισεδὲκ, οὔτε πρὸ γεγένηται, ἢ τετελεύτηκε. καὶ τί τοῦτο; φύσιον ἄντις. εἰ γὰρ μὴ ἴσμεν ταῦτα διὰ τὸ μὴ ἐμφέρεσθαι τῇ γραφῇ, ἀλλ' ὅμως καὶ πατέρα καὶ γένος ἔσχε, καὶ γέννησιν, καὶ τελευτήν. πῶς οὖν ὁ τοιοῦτος ἀπάτωρ, καὶ γὰρ ἔχων ἀρχὴν ἢ τέλος ζωῆς; καὶ φησιν. ὥσπερ ὁ Μελχισεδὲκ τῷ μὴ γενεαλογεῖσθαι ἐν τῇ γραφῇ, μίμιν τοῖς ἀγνοοῦσιν δοκεῖ ἔχειν γονέας, ἢ ἀρχὴν ζωῆς καὶ τέλος, οὕτως ὁ Χριστὸς τῇ ἀληθείᾳ. ὥσπερ γάρ, φησι, τοῦτον γὰρ ἴσμεν τὴν ἀρχὴν καὶ τὸ τέλος, οὕτως γὰρ τοῦ Χριστοῦ τῇ ἀληθείᾳ. ἀλλὰ τοῦ μὲν, διὰ τὸ μὴ ἐγγεγράφθαι, τοῦ δὲ Χριστοῦ, διὰ τὴν ἀλήθειαν. ὁ γὰρ τύπος γὰρ καθ' πάντα ἴσος ἐστὶ τῇ ἀληθείᾳ, ζήτει καὶ αὐτὸς ἀληθεία εὑρίσκεται, καὶ τοῦτο μᾶλλον, ἢ τύπος, ἀλλ' ἔκεινος ἔχει τινὰς καὶ ἐνδάλματα. οἷον. ἀπάτωρ ὁ Μελχισεδὲκ τῇ ἀγνοίᾳ ἡμῶν, ἀπάτωρ ὁ χριστὸς τῶν κατὰ γένννησιν. ἀμήτωρ ὁ μελχισεδὲκ, ἀμήτωρ ὁ χριστὸς τῶν ἄνω γένννησιν, οὐ ἢ οὔτε ἀρχὴν ἔσχον ἡμερῶν. πῶς γὰρ ὁ πρωτότης ὧν χρόνων; καὶ οὕτως ἅπαντα νοήσεις ὅσα εἶχεν ὁ Μελχισεδὲκ ἡμῶν ἀγνοούντων τὰ καθ' αὐτὸν, ταῦτα ὁ χριστὸς ἔχει τῇ ἀληθείᾳ. καὶ γὰρ βασιλεὺς εἰρήνης καὶ δικαιοσύνης ὁ Μελχισεδὲκ ἀχρι φίλων ὀνομάτων, ὁ δὲ χριστὸς τῇ ἀληθείᾳ. ἀγενεαλόγητος. ἀγενεαλόγητον τὸν Μελχισεδὲκ, τῷ μὴ εἶναι μὲν ἐκ τοῦ σπέρματος Ἀβραὰμ, μὴ δὲ ἐκ Μωσέως γενεαλογεῖσθαι, εἶναι δὲ Χαναναῖον τὸ γένος, καὶ ἐκ τῆς ἐπαρά του ἐκείνης σπορᾶς ὁρμᾶσθαι, δίκαιον δὲ ὧν καθ' αὐτὸν ἀτροφανέντα, καὶ ὄκ ἐκπεσόντων ὁρμώμενον δικαίων, ὄδε ἀπόστινος δικαίας σπορᾶς, ὃ θέμις ἦν γενεαλογεῖν, τὸν ἐξ ἄκρου δικαιοσύνης νέουντα. ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος ὁ Μελχισεδὲκ, δείκνυται. ἐξ ἐστι δ' ἡ πρωτοτεκμήραθξ καὶ ἀπ' αὐτῶν ἐκείνων ὧν ἐκράτει καὶ ἐβασίλευε κλιμάτων, ἐξ οἷς ἐπολισίαξε. γείτων μὲν γὰρ ἦν Σοδόμων, πολισιάτερος δὲ τῷ Ἀβραὰμ οἰκοῦντι πρὸς τὴν Δρυὶ τὴν μαμ

βρῆ.

βρη. οἶεσθαι δὲ χρή, ὅτι καὶ Σαλὴμ ἐκείνης ἐτύγχανε βασιλεύσ, ἥτις ἐστὶν Ἱερουσαλήμ. ἀφομοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ. καὶ πῦ ἡ ὁμοιότης; ὅτι καὶ τούτου καὶ τοῦ Χριστοῦ, τὸ τέλος ἀγνοεῖται καὶ ἡ ἀρχή. οὐκ ἐτούτου μὲν, παρὰ τὸ μὴ γεγράφθαι, τοῦ δὲ χριστοῦ, παρὰ τὸ μὴ εἶναι. μένει ἱερεὺσ εἰς τὸ διηνεκές. τούτῳ τῷ τρόπῳ δέξαι τὸ διηνεκές, ᾧ καὶ τἄλλα. ὅτι, φησὶν, ὅδ' ἦκεν εἰς ἡμᾶς ποτ' ἀγνοουμένας πότε τελευτήσας ἀπόθετον τῷ ἱερωζήλῳ, εἰς τὸ διηνεκές ἐστιν ἱερεύς. ὁ γὰρ τύπος ἠκόνας ἀμυδρὰς σώζει τοῦ πρωτοτύπου. ἢ ὅτι καὶ πρόπρος τῆς τοῦ Μελχισεδὲκ ἱερωζήλης, (οἶσθας δὲ τί λέγω,) διηνεκὲς μένει. θεωρεῖτε δὲ πανηλίκως οὗτος. ἐπεὶ δὲ ἐφήρμοσε τῇ ἀληθείᾳ τὸν τύπον, λοιπὸν βούλεται δεῖξαι ὅτι καὶ αὐτὸς ὁ τύπος τοῦ Χριστοῦ, τουτέστιν ὁ Μελχισεδὲκ, μείζων ἦν αὐτῶν ὧν πρὸ Ἰουδαίοις ἱερέων. καὶ τί λέγω ἱερέων; αὐτοῦ μὲν οὖν τοῦ πατριάρχου Ἀβραὰμ μείζων ἦν. ἦ δὲ ὁ τύπος τοῦ Χριστοῦ, φησὶ, μείζων καὶ αὐτοῦ τοῦ πατριάρχου, τί οὖν περὶ τοῦ Χριστοῦ; ἄλλως μὲν, κρείττων ἦν ὁ Ἀβραὰμ τοῦ Μελχισεδὲκ, ἀλλ' ὁ τύπος ἦν ὀνικῶν. οὕτως ὁ θεῖος Κύριλλος τῷ βιβλίῳ δευτέρῳ τῆς δεκάτης εἰς τὸ Γαλατικὸν πρόλογον τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείας. ᾧ καὶ δεκάτην Ἀβραὰμ μέδωκεν. ἵκετεύειν ἦ πᾶν, φησὶν, ὅτι δέδωκεν αὐτῷ δεκάτας, ὡς κεκοινωνικότι τοῦ πολέμου. (ἀλλὰ τοῦτο μὲν εἶπεν ἄνω, ὑπερφέροντι τῆς κοπῆς ὑπολήψεως.) ἀλλὰ καὶ σέβας καὶ τιμήν, ὡς πρὸ ἀπαρχὰς Δαβὶδ. ἐκ τῶν ἀκροθινίων. ἐκ τῶν σκύλων καὶ λαφύρων. ἦ δὲ τοῦ πατριάρχου μείζων, (καὶ τοῦτο δηλονότι ὧν δεκατῶν δόσις,) πολλῷ μᾶλλον ὧν παρὰ Ἰουδαίοις ἱερέων. ἵνα μὲν ἀπλῶς ὁ πατριάρχης προσκείται, ἀλλ' ἵνα δείξῃ, ἦ ὁ πατριάρχης, φησὶν, ἔδωκε, τί δεῖ περὶ ἱερέων λέγειν;

» Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, τὸν νόμον ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν, καίτοι ἐξελευθέρους ἐκ τῆς ὀσφύος Ἀβραάμ. ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας, εὐλόγηκε. χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Ἐπὶ δὲ κατασκευῇ ὅτι ὁ τύπος τοῦ χριστοῦ, μείζων ὢν παρὰ Ἰουδαίοις ἱερέων. οἱ Λευῖται, φησὶν, ὡς τιμιώτεροι ὄντες τοῦ λοιποῦ λαοῦ, τὰς δεκάτας ἀπολαμβάνουσιν. ἐπεί, τί δήποτε παρὰ ἀδελφῶν, τὸν αὐτὸν ἔχόντων πατέρα λαμβάνουσιν; δῆλον δ' ὡς τιμῆς καὶ τοῦ ἱερωτέρους εἶναι, σύμβολόν ἐστιν αἱ δεκάται. τιμῶσι καὶ ὁ Μελχισεδὲκ, καὶ ταῦτα ἀμήτορος ὢν καὶ ἀγενεαλόγητος, ἐκ παρ' αὐτοῦ τοῦ πατριάρχου εἴληφε δεκάτας, ἦ μὴ μείζων ἦν αὐτοῦ. τῷ γὰρ μὴ ὄντι μείζονι ἐκ οἰκείου ἔδωκεν ὁ Ἀβραάμ. ἦ δὲ τοῦ πατριάρχου μείζων, δῆλον ὡς πολλῷ μείζων ὢν παρὰ Ἰουδαίοις ἱερέων. ἀποδεκατοῦν τὸν λαόν. δεκάτας οἷον λαμβάνειν παρ' αὐτῶν. ἐλάμβανον γὰρ οἱ Λευῖται δεκάτας ἀπὸ τοῦ λαοῦ. καίτοι ὄντας ἐξελευθέρους. τοῦτο φησί. καίτοι ὁμοτίμων ὄντων κατὰ τἄλλα πάντα, ὅμως ἐκτοῦ, τοὺς μὲν δίδόναι δεκάτας, τοὺς δὲ λαμβάνειν, πολλὴ ἡ ὑποχή. ἦ πᾶν δείκνυται. ἦ δὲ ἐνταῦθα τοῦτο, δῆλον ὅτι καὶ ἐπὶ τοῦ Ἀβραὰμ καὶ Μελχισεδὲκ, τοῦ μὲν δόντος, τοῦ δὲ λαβόντος. ὥστε ὁ τοῦ Χριστοῦ τύπος, μείζων τοῦ πατριάρχου Ἀβραάμ.

Ἀβραάμ. ἦ δὲ τοῦ Ἀβραάμ, πολλῷ μᾶλλον ἐκ τῶν ἱερέων. ἦδ' ὁ τύπος, τί οὖν εἴποι περὶ αὐτοῦ τοῦ χριστοῦ; ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν. ἐξ αὐτῶν, φυτέστιν ἐξ αὐτοῦ. ὁ γοῦν μὴ γενεαλογούμενος ἐξ αὐτοῦ καὶ ἐγκαταλεγόμενος τῷ γένει αὐτῶν Μελχισεδὲκ εἴληφε τὰς δεκάτας. καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας. ἐξαίρει τὸν Ἀβραάμ, ἵνα πλεῖον ἐξάρῃ τὸν Μελχισεδέκ. τὸ ἔλαττον γὰρ τοῦ κρείττονος εὐλογεῖται. ἐκοῦν κρείττων ὁ τύπος τοῦ χριστοῦ, καὶ αὐτοῦ τοῦ πατριάρχου.

» Καὶ ὧδε μὲν δεκάτας ἀποδιδόντες ἄνθρωποι λαμβάνουσιν. ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ, καὶ, ὡς ἔπος ἦν εἰπεῖν, δι' Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων, δεδεκάτωται. ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

Δεῖξαι θέλει, ὅτι πολὺ τὸ ὑπερέχον τοῦ Μελχισεδὲκ, καὶ διὰ τοῦτο ἔλαβε τὰς δεκάτας, καί φησι. καὶ οἱ Λευῖται μὲν ὧν λαμβάνουσιν, ἀλλ' ὡδέν μοι γα. ἀποδεκατοῦσι γάρ. τίς δὲ φθονήσει τιμῆς τῷ ἀποδεκάτοντι μέλλοντι; ὁ δὲ Μελχισεδὲκ, καὶ ταῦτα μαρτυρούμενος ζῆν, ἔλαβε τὰς δεκάτας. τὸ δὲ, μαρτυρούμενος ζῆν, δεῖξαι κατὰ τὸ τῶν ἀνωφωνοῦντων, διότι, φησὶν, οὐκ εἴρηνεν ἡ γραφὴ τοῦ τελευτᾶν αὐτὸν, ἀλλὰ τοῦ ζῆν μόνον, τὸ ζῆν αὐτῷ μόνον ἔδοξε μαρτυρεῖν, ὡς ἦν εἶπον. προῆλθε δὲ ὁ Ἀβραὰμ ὅτι οὐκ ἔξαι δι' ἣν ἡ τελευτὴ τὸν Μελχισεδέκ. καὶ οὐδὲ τοῦτο ἐποίησεν αὐτὸν φθονῆσαι αὐτῷ τῆς τιμῆς ὧν δεκατῶν. ἤδει γὰρ αὐτοῦ τὸ ὑπερέχον. ἢ ἀπολούστερον δεῖξαι τὸ ἀγνοούμενον, ὅτι ὁ τρόπος τῆς ἱερωζήλης, ὧν μὲν Λευϊτῶν, ἀποδιδόντων. καὶ γὰρ ἐπαύσατο, τῆς ἀληθείας φανείσης. ὁ δὲ τοῦ Μελχισεδὲκ ζῇ. ζῇ γάρ. πῶς δὲ ἐμαρτυρήθη; ᾧ τῷ ἦπειν τὸν θεόν, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. καὶ ᾗθεν ὅτι τὸ διάφορον τοῦ Μελχισεδὲκ, καὶ ὧν παρὰ Ἰουδαίοις ἱερέων. ἀποδιδόντες ἄνθρωποι. ἀδὲ γὰρ εἶπεν ὑπολαβεῖν, φησὶ, μήποτε πρὸς μίαν καιρὸν ἐλάττων μείζων, μᾶλλον δὲ τὸ ἐλάττονα κατέχει μοῖραν. ἐπεὶ οὖν ᾗθεν μὲν τῷ νόμῳ λαμβάνουσι δεκάτας οἱ Λευῖται, οἱ καὶ τελευτῶντες, τὴν ἀξίαν παραπέμπουσιν εἰς ἕτερον. ὥστε μὴ τις αὐτοὺς εἶναι ἀείποτε τοὺς δεκάτους δεχομένους. ἐκεῖ δὲ, μαρτυρούμενον μεμαθήκαμεν. ὥστε ἀεὶ φαίνεσθαι αὐτὸν ὑπερέχοντα, εἴπερ μένει πάντοτε ἐπὶ τῆς οἰκείας ἀξίας. τὸ γὰρ μένειν αὐτὸν, ὡς ἔφην, ἱερέα διηνεκῆ, ἀπὸ τῆς γραφῆς ἔλαβον, ὡς ἐν τῷ λέγειν, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, τοῦτο ἐμφανούσης, ὅτι κἀκεῖνος μοῦνος ἱερεὺς διηνεκής. καὶ ὡς ἔπος ἦν εἰπεῖν. ἵνα μὴ λέγωσι, καὶ τί, φησὶ, πρὸς τοὺς ἱερέας ἡμῶν ἦ ὁ Ἀβραὰμ δεκάτας ἔδωκε; ναί φησιν. ᾧ γὰρ τῷ Ἀβραὰμ ἦν ὁ Λευὶ, ὅταν τὰς δεκάτας ἐδίδου, ἦ ἐ μὴ πω ὢν τῇ ὀσφύϊ. ἦ τοίνυν τῇ σωματικῇ ἐν τῷ Ἀβραὰμ ἦν ὁ Λευὶ, δῆλον ὡς ἐ αὐτὸς ὁ Λευὶ ὁ πρωτόπατωρ ὧν ἱερέων δέδωκε δεκάτας, τῷ Ἀβραὰμ δεδωκότος. ΑΛΛΟ. διότι ὁ Ἀβραὰμ δέδωκε Φωτ.
δεκάτας, δηλονότι τῶν, φησὶ, καὶ Λευὶ ὁ τὰς δεκάτας λαμβάνων, δεδεκάτωται, τουτέστι δέδωκε δεκάτας. ᾧ γοῦν τῷ, δηλονότι Ἀβραὰμ, δεῖ ὑποτίθεσθαι, ἵνα τὸ νόημα παντελῶς ἀβίαστον γένηται). δηλονότι τὸν δεκατωθέντα Ἀβραάμ, φησὶ, πρότερον πῶς ἐ ὁ ἐν τῇ ὀσφύϊ αὐτοῦ ἐτύγχανε ὢν Λευὶ, δεδεκάτωται. ἔτι γὰρ ἐν τῇ ὀσφύϊ. τὸ γὰρ σπέρμα τὸ τῆς ζωῆς αὐτοῦ τοῦ Λευὶ, ᾧδον ἦν ἐν τῇ ὀσφύϊ τοῦ Ἀβραάμ. ἦν γὰρ ὁ Ἰσαὰκ ὁ αὐτὸς τοῦ Λευΐ.

Εἰ μὲν

Κεφ. ι'. » Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομο-
» θέτηται,) τίς ἔτι χρεία κατὰ τὼ τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ
» τὼ τάξιν Ααρὼν λέγεσθαι; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης, καὶ νόμου
» μετάθεσις γίνεται. ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐ-
» δεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. πρόδηλον γάρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν. Ἐις ὣν φυλὴν, οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε.

Δείξας τὸν Μελχισεδὲκ βελτίονα ὄντα τῷ Λευϊ καὶ τῶν ἱερέων, καὶ αὐτῷ τῷ πατριάρχου Αβραὰμ, λοιπὸν δείκνυσιν ὅτι αὕτη ἡ ἱερωσύνη ἡ τῆς νέας, βελτίων τῆς παλαιᾶς, καὶ τῆς διαθήκης, τῆς διαθήκης τελειοτέρα. ἦν τὸ τέλφον εἶχε, φησὶν, ἡ λευϊτικὴ ἱερωσύνη ὧν τοῖς δόγμασι, τίς ἦν χρεία μὴ κατὰ τὼ τάξιν Ααρὼν ὃς καὶ αὐτὸς τῆς λευϊτικῆς ἱερωσύνης ἦν, τὸν Χριστὸν ἀναφῆναι; ἀλ' ἐδεήθη κατὰ τὼ τάξιν ἀναφῆναι τὸν Μελχισεδέκ; γὰρ ἔνδηλον ὅτι διὰ τὸ ἀτελὲς, φησὶ, τῆς λευϊτικῆς ἱερωσύνης τὸν νόμον; ὁ λαὸς γὰρ ἐπ' αὐτὼ νενομοθέτηται. ἦ γὰρ ἦν τελεία ἡ λευϊτικὴ, ἔδει κατὰ τὼ τάξιν Ααρὼν ἀναφῆναι τὸν Χριστὸν, μάλιστα, φησὶν, ὅτι ὁ λαὸς ἐπὶ ταύτῃ τῇ λευϊτικῇ ἱερωσύνῃ νενομοθέτηται, ῥυτέσι ταύτῃ κεχρῆσθαι, ταύτῃ στοιχεῖν, ὑπὸ ταύτης ἄγεσθαι. μεταθεμένης γὰρ τῆς ἱερωσύνης. ὅρα πῶς ἐυφυῶς ἤγαγε τὼν νέαν διαθήκην. ὁ πότε γὰρ φησι μετάθεσις τῆς ἱερωσύνης γέγονε, τῷ μηκέτι κατὰ τὼ τάξιν Ααρὼν, ἀλλὰ τὸ Μελχισεδὲκ ἀνίστασθαι ἱερέα, καὶ τῷ μηκέτι ἐκ γένους Λευϊ, ἀλλὰ ἐκ γένους Ιούδα, (ἔνθεν γὰρ ὁ χριστὸς τὸ κατὰ σάρκα ἤμελλε ἱερεὺς, ἀναγκαῖον ἦν, φησὶ, καὶ τὸν νόμον καὶ τὼν διαθήκην μεταθεῖναι, ῥυτέσιν ἀναγαῖναι, καὶ ἄλλην κρείττονα ἀντεισαγαγεῖν. ἐφ' ὃν γὰρ λέγεται ταῦτα. ἐπὶ τὸν χριστὸν δείλονότι εἴρηται, τὸ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὼ τάξιν Μελχισεδέκ. φυλῆς ἑτέρας μετέσχηκεν. καὶ κρεῖττον, φησὶ, γίνεται μετάθεσις καὶ ἀναλλαγὴ τότε νόμου καὶ τῆς παλαιᾶς διαθήκης, ὅτι καὶ τῆς φυλῆς αὐτῆς, ἥτις τὼν παλαιὰν ἱερωσύνην μετεχειρίζετο, γέγονεν ἀναλλαγή. ὁ γὰρ χριστὸς ἕτερος ἐστὶ φυλῆς, καὶ γὰρ τῆς τοῦ Λευϊ, ἀλλὰ τοῦ Ιούδα, ἥτις Ιούδα φυλὴ, οὐδέποτε ὡς ἱερεύουσα παρέσχηται τῷ θυσιαστηρίῳ. τὸ γὰρ, προσέσχηκεν, ἢ προέσχηται νοήσεις ἢ προσέσχεν. ὅθεν γάρ, φησὶν, εἰς τὸ ἱερατεῦσαι, οὐδεὶς προσέσχε τῷ θυσιαστηρίῳ ἐκ τοῦ Ιούδα φυλῆς. ὅτι δὲ Ιούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν. πρόδηλον ποιεῖ λέξις τὴ καὶ σάρκα χρίσει τοῦ σωτῆρος ἡμῶν θεοῦ τὸ, ἀνατέταλκε. Ἐις ὣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε. ὧν γὰρ εἰς τὸ τοῦ Λευϊ διαλεχθεὶς
» ὁ Μωσῆς. Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, ἡνίκα τὼ ὁμοιότητα Μελ-
» χισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κα-
» τὰ δύναμιν ζωῆς ἀκαταλύτου. μαρτυρεῖ γὰρ, ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὼ
» τάξιν Μελχισεδέκ. Καὶ οὐ μόνον, φησὶν, ὅθεν δῆλον ἐστὶν ὅτι ἀναλλαγὴ γί-
νεται καὶ ἡ διαθήκη ἐκτὸς οὐκ ἕτερας φυλῆς καὶ οὐ τῆς τοῦ Λευϊ εἶναι τὸν ἀνασάντα ἱερέα, ἀλλὰ καὶ ἐξ ἐκείνου σαφέστατα δῆλόν ἐστι. ποίου δέ τινος ἕνεκα τοῦ κατὰ τὼ τάξιν Μελχισεδὲκ, καὶ οὐ κατὰ τὼ τῶ πάλαι ἱερέως Ααρὼν γίνεσθαι ἱερέα τὸν χριστόν. ἦ κατὰ τὼ ὁμοιότητα. τὸ εἰ, ἀντὶ τοῦ, ὅτι, νοήσεις, ἤγουν ἐφεξῆς, ὥστε εἶπε. καὶ

ἐκ τούτου κατάδηλός ἐστιν ἥτε ἀναλλαγὴ, καὶ ἡ μετάθεσις τῆς παλαιᾶς διαθήκης. εἶτα καὶ τὼ ὁμοιότητα. ἐπειδὴ, φησὶ, κατὰ τὼ ὁμοιότητα τοῦ Μελχισεδὲκ ἀνίσταται ἱερεὺς, καὶ οὐ κατὰ τὼ ὁμοιότητα Ααρών. ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν. γέγονε γὰρ ὁ Χριστὸς ἀρχιερεὺς, οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. τί ἐστι κατὰ νόμον ἐντολῆς σαρκίνης; ὅτι ὁ νόμος τὰς ἐντολὰς σαρκικὰς εἶχεν, οἷον τροφὰς, ἀρίας, τὰδε φαγεῖν, καὶ τὰδε μὴ φαγεῖν, ἄτορ σαρκὸς ἰῶν καὶ οὐ ψυχῆς καθάρσια. οὐ γέγονεν οὖν, φησὶν, ἱερεὺς ἀνὰ τὸ νόμου τὸ τὰς σαρκικὰς ῥύτρας ἐν τελλομένου. ἐκεῖνος γὰρ τοὺς Λευϊτὰς οἶδεν ἱερεῖς. ἀλλὰ γέγονε, φησὶν, ὁ Χριστὸς ἱερεὺς διὰ τε σωμάτως Διὰς, καὶ τῆς τοῦ πατρὸς, καὶ διὰ ζωῆς ἀτεράντου. μαρτυρεῖ γὰρ. καὶ ὅτι, φησὶν, οὐ κατὰ νόμον ῥύτρας σαρκίνης γέγονεν ἱερεὺς ὁ Χριστὸς, ἀλλὰ μαρτυρία δείλοι τοῦ πατρός. μαρτυρεῖ γὰρ αὐτὸν ὁ πατὴρ λέγων, κατὰ τὼ τάξιν Μελχισεδὲκ ἱερέα. ἦ γὰρ, φησὶ, κατὰ τὸν νόμον
» ἐγίνετο, ἔδει αὐτὸν κατὰ τὼ τάξιν Ααρὼν γένεσθαι. Ἀθέτησις μὲν γὰρ γίνεται
» προαγούσης ῥύτρας, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. οὐδὲν γὰρ ἐτελείωσεν ὁ
» νόμος. ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος δι' ἧς ἐγγίζομεν τῷ θεῷ, καὶ καθ' ὅσον
» οὐ χωρὶς ὁρκωμοσίας. οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, ὁ δὲ μετὰ ὁρ-
» κωμοσίας διὰ τὸ λέγοντος πρὸς αὐτὸν, ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται, σὺ ἱε-
» ρεὺς εἰς τὸν αἰῶνα κατὰ τὼ τάξιν Μελχισεδέκ. κατὰ τοσοῦτον κρείττονος διαθήκης
» γέγονεν ἔγγυος Ιησοῦς. καὶ οἱ μὲν πολλοί εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ, θανάτῳ
» κωλύεσθαι παραμένειν, ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὼ
» ἱερωσύνην. ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐ-
» τοῦ τῷ θεῷ πάντοτε ζῶν, εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

Εἶπεν ὅτι βελτίων ἡ νέα διαθήκη. καὶ τοσοῦτον δείλοι, φησὶ, τὸ τῶν ἱερέων διάφορον. εἶπεν ὅτι καὶ τὼν ἀναλλαγὴν πάντα. λοιπὸν τὼν αἰτίαν τῆς ἀναλλαγῆς λέγει καὶ φησὶν. ἀθέτησις γίνεται, ῥυτέσιν ἄμφις καὶ ἐκ βολῆ. ἀθέτησις τριβοῶ γίνεται προαγούσης ῥύτρας, ῥυτέσι παλαιοτέρου νόμου, διὰ τὸ ἀσθενὲς, διὰ τὸ τὸ νίνικα ἀσθενὲς καὶ ἀνωφελὲς εὑρέθη. ἐπεὶ μὴ ὄντος μώμου τινὸς, τίς χρεία τῆς ἀναλλαγῆς; τριβοῶ φησι, διὰ τοῦτο καὶ ὁ νόμος. οὔτος γὰρ ἡ προάγουσα ἐντολὴ ἐκβέβληται διὰ τὸ ἀσθενὲς αὐτῆς καὶ ἀνωφελές. οὐδὲ γὰρ ἴσχυεν ὁ νόμος τέλφου τινὰ ἐν αἱρετῇ πρῆσαι. ἔλεγε γὰρ μόνον, τόδε πρῆσαι καὶ τόδε μὴ πρῆσαι, διὰ τὸ καὶ ἐνεδωά μου καὶ σωυπύργῃ πρὸς τὸ γίνεσθαι τὰ λεχθέντα. ἐπάγει δέ. ἀλλὰ κοινοῦ τὸ γίνεται. κρείττονος ἐλπίδος. εἶχε μὲν γὰρ καὶ ὁ νόμος ἐλπίδα, ἀλλὰ τοιαύτην, οἵαν ἀντεισαχθεῖσα. οἱ μὲν γὰρ πολλοὶ τὸν νόμον, ἤλπιζον ἔξειν τὼν γῆν. διὰ τὸ ἀγαθὰ γὰρ, φησὶ, τῆς γῆς φάγεσθε. ἡ δὲ διὰ Χριστοῦ ἐλπὶς, τὼν βασιλείαν δίδωσι τῶν οὐρανῶν, καὶ τὸ ἐγγὺς σήσεσθαι θεοῦ, καὶ λειτουργήσειν αὐτῷ μετὰ ἀγγέλων. καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας ἐστίν. καὶ κρεῖττον, φησὶ, κρείττονος ἀντεισήχθη ἐλπὶς καθ' ὅσον ὁ Χριστὸς οὐ χωρὶς ὁρκωμοσίας γέγονεν ἱερεύς. ἦ γὰρ ὁρκωμοσία τὸ ἀμετάθετον δείλοι τὸ, ἔσεσθαι αὐτὸν ἀρχιερέα εἰς τὸν αἰῶνα. ἡ μὲν γὰρ χωρὶς ὁρκωμοσίας.

εἶπα ἐκτὸς ἐλάττονος αἰ συγκρίσεις ὦν παρὰ Ιουδαίοις ἱερέων καὶ τὸ ἡμῶν ἀρχιερέως. δηλᾷ τὸ λίγοντες πρὸς αὐτόν. οἷον δηλᾷ τὸ θεοῦ. δηλᾷ τὸ Δαυὶδ γάρ ὁ θεὸς ἐλάλη. καὶ τοσοῦτον κρείττονος. καθό, φησιν, οἱ μὲν παρὰ Ιουδαίοις ἱερεῖς δίχα ὅρκου, ὁ δὲ Χριστὸς μετὰ ὅρκου γέγονεν ἀρχιερεύς. οὐκ ἂν δὲ τὸ τηλικοῦτον, φησιν, ἦ μὴ μεγίστη ὦν ἡ διαφορά. τριττῶς καὶ τῆς νέας μεγίστη ἡ διαφορὰ πρὸς τὴν παλαιάν. ἔγγυος. οἷον ἐγγυητής, μεσίτης. καὶ οἱ μὲν πλείονες. καὶ καθ' ἄλλον, φησί, τρόπον μείζονα ἡμῶν ὁ ἀρχιερεύς, ἀ μόνον διὰ τὸν ὅρκον, ἀλλὰ καὶ διὰ τὸ εἶναι αὐτὸν ἀτελεύτητον. διὰ τὸ, θανάτῳ κωλύεσθαι. καθ' ἕτερον γὰρ θάνατον καὶ ἀπαλλαγή, ἱερέως δηλονότι. παραμένειν. ἐν τῇ ἱερωσύνῃ δηλονότι. ἀπαράβατον. ἀδιάδοχον, ἀτελεύτητον. ὅθεν. ἐπειδή, φησιν, ἀεὶ ζῇ. ἐις τὸ παντελές. ἀλλ' οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐκεῖ. τὸ γὰρ τὸ παντελὲς καὶ παντέλειον. τοὺς προσερχομένους δι' αὐτοῦ. διὰ τῆς εἰς αὐτὸν πίστεως. πάντοτε ζῶν. διὰ τὸ, φησίν, εἰς τὸ παντελὲς σώζειν, διὰ τὸ πάντοτε ζῆν. σώζει δέ, φησι, διὰ τὸ ἐντυγχάνειν ὑπὲρ ὧν προσερχομένων τῷ θεῷ καὶ πατρί. εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. ὑπὲρ τῶν καθ' σάρκα Χριστοῦ ἔρηται τὸ ταπεινὸν τοῦτο. ὅταν δὲ ἐπὶ τῶν καθ' σάρκα, ἡ διαίρεσιν δηλῶ, μὴ γένοιτο, μηδ' οἶδα αὐτὸ διαιρέτως, ἀσυγχύτως, ἢ μὴ ὑποτάσσει προσκυνούμενον μετὰ τῆς ἰδίας αὐτοῦ σαρκός. τί δὲ τὸ ἐντυγχάνειν; οἷον δέεται τοῦ πατρὸς αὐτοῦ ὑπὲρ ἡμῶν. ἐσφάλη γάρ ἐστιν αὐτὸν ἱερέα, ἴδιον δὲ ἱερέως τὸ, δεῖσθαι ὑπὲρ τοῦ λαοῦ, δηλοῦτο δὲ τοῦτο, τὸ ἐντυγχάνειν. ὅτι γάρ τοῦτό ἐστιν, ὁ οἰκεία αὐθεντίᾳ νεκρῶν ἐγείρων, ἐ ἁμαρτίας ἀφιείς, ἢ καὶ ἐις τὸ σῶσαι ἐδεήθη τοῦ πατρὸς, ὡς αὐτὸς ἀδυνάτους ὢν οἰκείᾳ σῶσαι δυνάμει. Οἰκουμ. Ἡ τὸ, ἐντυγχάνειν δέξαι, καθὼς τὸ, ἔχομεν αὐτὸν παράκλητον πρὸς τὸν πατέρα. ὃς καὶ τῆς, φησι, τῆς ἀνθρωπότητος πρᾶξις καλεῖ καὶ προστρέπεται τὸν πατέρα ἐλεεῖν ἡμᾶς. Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀναγκαίως ὥσπερ οἱ ἀρχιερεῖς πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ. τοῦτο γὰρ ἐποίησεν ἐφ' ἅπαξ ἑαυτὸν ἀνενέγκας.

Ὁρᾷς ὅτι περὶ τὰ κατὰ σάρκα ταῦτα λέγει Χριστοῦ; πῶς γὰρ οὐκ ἔλεγε περὶ τῆς θεότητος, ἄκακος, τοῦτέστιν ἄδολος; καὶ δόλος γάρ, φησιν, οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. ἐις αὐτὸν γὰρ τὸν πατρικὸν ἐκάθισε θρόνον. τὸ δὲ γενόμενος οὐ φοᾷ ὅτι περὶ τῆς σαρκὸς αὐτοῦ ταῦτα λέγει; ὁ γὰρ θεὸς λόγος, ἐν ἀεὶ ὑψηλότερος τῶν οὐρανῶν. ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀναγκαίως. οὐ μόνον, φησὶν, ἀλλὰ τὸ ἁμαρτητὸν αὐτὸ εἶναι ἐξαίρει διαφορὰ πρὸς τοὺς Ιουδαίων ἱερεῖς, ἀλλὰ ἐ ἀλλὰ τὸ τρόπου τῆς θυσίας, ὅτι οὐχ ὑπὲρ ἑαυτοῦ προσφέρει πρῶτον, ἔπειτα ὑπὲρ τοῦ λαοῦ, καὶ ὅτι ἅπαξ ἐποίησε τὴν θυσίαν ὑπὲρ τοῦ λαοῦ μόνον. ὡσπερ οἱ ἀρχιερεῖς. ὧν Ιουδαίων δηλαδή. τὸν γὰρ ἐποίησεν ἐφ' ἅπαξ. τὸν. ποῖον; τὸ ὑπὲρ τοῦ λαοῦ ἀνθρώπου καὶ αὐτὸν θυσίαν. ὑπὲρ γὰρ ἑαυτοῦ, οὔτε ἅπαξ πεποίηκεν. οὐ γὰρ ἐδεῖτο ἁμαρτητὸς ὢν ὑπὲρ ἑαυτοῦ ἀναγαγεῖν. μὴ γένοιτο ἀρχιερέα αὐτὸν ἀκούων, νόμιζε αὐτὸν ἀεὶ ἱερᾶσθαι. καὶ γὰρ τὸν προῖσας ἅπαξ, λοιπὸν ἐις τὸν πατρικὸν

πατρικὸν ἐκάθισε θρόνον. λειτουργοῦ μὲν γὰρ καὶ ἱερέως, τὸ ἑστάναι. τὸ δὲ καθῆσθαι δηλοῖ ὅτι ἅπαξ τὴν θυσίαν προσαγαγών, τετέλεσται τὸ ἴδιον σῶμα, λοιπὸν κεκάθικε λειτουργούμενος ὑπὲρ ὧν ἐσωμάτωσε λόγων.

» Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν. ὁ λόγος δὲ 8
» τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, ὑὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ
» ἐπὶ τοῖς λεγομένοις τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς
» μεγαλωσύνης, λῃτουργὸς τῶν ἁγίων καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς. ὃν ἔπηξεν
» ὁ κύριος καὶ οὐκ ἄνθρωπος. Καὶ πάνυ ἔνεκεν οὐκ ἐδεήθη, φησὶν, ὑπὲρ ἑαυτοῦ θυσίαν ἀναγαγεῖν, οὐδὲ ὑπὲρ τοῦ λαοῦ πολλάκις ὥσπερ οἱ ἀρχιερεῖς, ἀλλὰ ἅπαξ ἀνενέγκας ἱκανὸς ἦν; διὰ τί; ὅτι οἱ μὴ ἀπὸ τοῦ νόμου προβαλλόμενοι ἱερεῖς, ὑπὸ ἁμαρτίας ἦσί. διὸ δέονται ἀεὶ ὑπὲρ τε ἑαυτῶν καὶ τοῦ λαοῦ ἀναφέρειν θυσίαν. ὁ δὲ θεὸς διὰ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον νομοθεσίας προβαλλόμενος ἀρχιερέα τὸν Χριστὸν ὄντα, αὐτὸν κατέστησεν ἱερέα τετελεσφορημένον, καὶ μὴ τὸν ἴσην τοῖς καθ' τὸν νόμον ἱερεῦσι προσκεκλιμένον ἀσθένειαν καὶ ἁμαρτίαν, ἅπαξ ὡς ὑὸν θεοῦ καὶ θεόν. εἰς τὸν αἰῶνα τετελεσφορημένον. ἀπὸ κοινοῦ, καθίστησιν ἱερέα, φησὶν, εἰς τὸν αἰῶνα τετελειωμένον, τοῦτέστιν γένων ὄντα μόνον ἀναμάρτητον, ἀλλὰ καὶ εἰς τὸν αἰῶνα τοιοῦτον ἐσόμενον. ἢ τίνων ὑὸς τέ ἐστι καὶ εἰς τὸν αἰῶνα παντέλειος, τίνος ἕνεκεν ἔμελλε δεῖσθαι πολλῶν θυσιῶν; κεφάλαιον δέ. ἀεὶ τὸ μέσον λέγει κεφάλαιον. τοιοῦτον ἔχομεν ἀρχιερέα. ἀναμίγνυσιν ἑαυτὸν τοῖς ταπεινοῖς τοῖς ὑψηλοῖς, ἵνα δηλῶ ὧν ταπεινῶν, ὁδοποιήσῃ τοῖς ὑψηλοῖς. ταπεινά, τὸ, ἀρχιερέα καὶ λειτουργόν. ὑψηλά, τὸ, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ. καὶ τῶν τοῖς ἁγίοις. ὧν ἁγίων λειτουργός. ἀρχιερεῖς, φησι, ὧν ἡγιασμένων παρ' αὐτοῦ ἀνθρώπων. ἡμῶν γάρ ἐστιν ἀρχιερεύς. ἢ ἐκάθισεν ἐκ δεξιῶν τοῦ πατρὸς, πῶς ἐστι λειτουργός; λειτουργοῦ γὰρ ἴδιον, τὸ ἑστάναι καὶ λειτουργεῖν, τὸ δὲ καθῆσθαι, θεοῦ, ᾧ ἡ λειτουργία ἀναφέρεται. ἀπὸ ὡς εἴρηται, τὰ ταπεινὰ τοῖς ὑψηλοῖς μίγνυσιν, ἵνα δηλᾷ μὲν τὸ καθῆσθαι, τὸν θεότητα δείξῃ, δηλᾷ δὲ τὸ λειτουργεῖν, τὸν περὶ ἡμᾶς κηδεμονίαν καὶ ἀνθρωπότητα. Ἡ τὸν λειτουργῶν καὶ τὸν ἱερατεύων, τὸν τοῖς ἀνθρώποις ἀποκαθαίρειν ὧν ἁμαρτιῶν καὶ ἁγίοις ποιεῖν. τῷ γὰρ τοιούτῳ λειτουργῷ καὶ αὐτουργῷ ὧν ἁγίων, πρέπει ὡς θεῷ ἀληθινῷ καὶ ὑῷ, ἐκ δεξιῶν τοῦ πατρὸς καθῆσθαι. καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς. σκιὰν τοῦτο τὸν οὐρανὸν φησιν. ἐπειδὴ γὰρ ἔλεγον ἴσως οἱ ἐξ Ιουδαίων πιστοί, ἢ ἀρχιερέως ἐστὶ, πῦ ἡ σκιὰ ἐν ᾗ ἱερουργεῖ; δείκνυσιν εἶναι καὶ σκιὰν, καὶ τὸ διάφορον αὐτῆς ὡς πρὸς τὴν Ιουδαϊκὴν σκιὰν δεῖξαι θέλων, φησὶν, ὃν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος. Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται. ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ. ἢ μὲν γὰρ ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεύς ὄντων ἐκ τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα, οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκιάν. ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης. ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

» νενομοθέτηται. Επειδὴ γάρ, φησιν, ἱΔιον ἱερέων τὸ προσφέρειν δῶρα καὶ θυσίας, (ἐπὶ τούτῳ γὰρ καθίσανται,) ἀναγκαῖον ἔχειν τι καὶ τὸν Χριστὸν ὃ προσενέγκη, θυσίας λόγῳ. Διὸ ἔσχε τὼ σάρκα τὼ ἰδίαν, ἵω καὶ προσενέγκε. τοῦτο δὲ εἶπεν, ἵνα μή τις λέγῃ, ἡ ἀρχιερεὺς ἐστιν ἐις τὰ ἄνω, κἀκεῖ ἀπέθανε; δηλονότι; ἵνα προσενέγκῃ θυσίαν ἐαυτόν. Δίχα γὰρ θυσίας, οὐδὲ ἀρχιερεὺς ἂν ἦν. ἀναγκαῖον ἔχειν τι, καὶ τοῦτο ὃ προσενέγκῃ. εἶον τὸν Χριστόν. ἦ μὲν γὰρ ἵω ἐπὶ γῆς. τοῦτο δὲ ἵω, ἦ μὴ ἐτεθνήκη μὴ δὲ ἐκεῖθεν ἀνελήφθη, οὐδ' ἂν ἵω ἱερεύς. ἦσαν γὰρ ἕτεροι, καὶ λοιπὸν ἵω σάρις ὧ τῷ πράγματι. νῦν δὲ ἀπέθανε μόνῳ, ἵνα τὼ θυσίαν προσενέγκῃ. ἀναστὰς δὲ ἐκ νεκρῶν ἀνελήφθη, ἵνα σχοίη ὅθεν τὸν ἀγρίον ἔλαιον αὐτὸν ἱερᾶσθαι δεῖ. ἱερᾶσθαι δὲ νόει, τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν. ταῦτα δὲ πάντα ὅτε τὰ τοιαῦτα ῥήματα, διά τε τὼ ἀνθρωπότητα εἴρηκε, καὶ ὅλα τὸ νηπιώδες ὧν ἀκουόντων. οἵτινες ὑποδείγματι. οἵτινες, ἱερεῖς ὧν Ιουδαίων, φησί. καὶ τοῖς ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι ὧν ἐπουρανίων; πρεπῶν λέγῃ. ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντά σοι ὧ τῷ ὄρει. τὰ δὲ δειχθέντα αὐτῷ, γράμμα ἦν. ἦσαν δὲ καὶ λατρεῖαι, καὶ εὐχαὶ, καὶ θυσίαι, ἐις ἃ τὴ σκηνῆς κατασκευή. καθὼς κεχρημάτισται Μωϋσῆς. ἀκήκοεν, οἶδεν. καὶ κατὰ τὸν τύπον τὸν δειχθέντά σοι. ἐυμαθέστερα ἢ ὅτις τῆς ἀκοῆς. νυνὶ δὲ διαφορωτέρας. νυνὶ δέ, φησιν, ἐπειδὴ μὴ ἔστιν ὧ τῇ γῇ, οὐδ' ὧ τῷ οὐρανῷ, βελτίονος ἐστὶ τυχεῖν λειτουργίας, ρητέον ἐπὶ βελτίονα λειτουργίαν ἐστὶν ἀρχιερεύς. ὅρα δὲ πῶς οὐ διαπρίβει τοῖς παρεισοῦσι, ἀλλὰ τὸ ὧν ἀκουόντων ἀσθενές. ὑψηλὸν δὲ εἴρηται τοῦτο, εὐθὺς ἀπαλλάττεται, διδοὺς μὴ γε πρὸς δεχθῆ. ὅσῳ κρείττονός ἐστι. ῥητέον, φησίν, ἐστὶν ἡ λειτουργία βελτίων τὴ παλαιᾶς, ὅσῳ καὶ διαθήκη ἡ νέα, ἧς μεσίτης ἐστὶν ὁ Χς, νέαν λέγων διαθήκην, τὴ εἰς αὐτὸν πίστιν. ἐν ᾗ πίστει ἑαυτῷ ἐμεσίτευσε τὸ πατρί. ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. ἥτις διαθήκη, φησίν, ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. εἰ μὲν γὰρ παλαιά, τὰ ἀγαθὰ τὰ γῆς ἐπήγγελτο, ἡ δὲ νέα, βασιλείαν οὐρανῶν. καὶ οὕτως κρείττονες αἱ ἑκατέρας ἐπαγγελίαι, ὅτι ἡ μὲν ἀσθενέχθη, ἐκβέβληται δὲ εἰ παλαιά. διὰ τοῦτο γὰρ εἰ νέα κρατεῖ, ὅτι βελτίων, καὶ ἐπὶ βελτίοσιν. ἐπαγγελίαις δέδοται. ἡ δὲ βελτίους ἔχουσα τὰς ἐπαγγελίας ὅτι βελτίων ἐστὶ, παν

Κεφ. ιά'. » τὸ πρῶτον δῆλον. Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. μεμφόμενος γὰρ αὐτοῖς λέγει. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κς, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ιούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει κύριος. Εἰ οὐδὲν εἶχε, φησὶν, ἐλλιπτὸς, ἢ ἀμέμπτοις ἐποίει τοὺς ἀνθρώπους, πῶς οὕτως δι' ἐρεύνης; μεμφόμενος γὰρ αὐτοῖς. αὐτοῖς. Τίσι; τοῖς ἐν τῇ παλαιᾷ νομοθετουμένοις καὶ διευθυνομένοις Ιουδαίοις. ἰδοὺ ἡμέραι ἔρχονται. μετὰ τὸ δηλῶσαι πολλῶν ἐν τοῖς ἄνω κατασκευάσαι τὼ μέσον τῆς παλαιᾶς ἀμείνω, νῦν φανερῶς καὶ τὼ ἐκβολὼ τῆς παλαιᾶς κομῳδεῖ, ἵνα μὴ ζώντων φορτικὸς, τὸν δὲ Ιερεμίαν παραφέρει λέγοντα, ὧ ἡμέρᾳ ἐπιλα-

βομένου μγ.

βομένου μου. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φησὶν, ἐν ᾗ ἐπελαβόμην τῆς χειρὸς αὐτῶν ἐπὶ τῷ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἵνα μὴ ὑπονοήσωσι τῆς πρὸς τὸν Αβραὰμ διαθήκης εἶναι τὼ ἐκβολώ. ἐις χρισὸν γὰρ ἐκείνη ἐλεγόμη. καὶ τῷ αἱρματίσαι μου χαρ, φησιν, ὅς ἐστι χρισός. ἐπάλαι ποτὲ διαθήκης γέγονεν ἐκβολή. τῆς δὲ τῇ Ἐξόδῳ, φησὶ διὰ Μωσέως γνωμολύης. τῷ γὰρ ἄπειν χ καὶ τὼ διαθήκῃ ἐκείνῃ, δείκνυσιν ἐκβεβλημένῃ, ὡσεὶ ἔλεγεν. ἄλλῃ δώσω διαθήκῃ, χ' οἵαν ἔδωκα ἐκείνῃ. ἐκείνη γὰρ διὰ τὸ ἀσθενὲς αὐτῆς, ἐκβέβληται παρ' ἐμοῦ. ὅτι αὐτοὶ οὐκ ἐνέμειναν· ὥσπερ ἀπολογία ἐστὶ τῆς ἀμελείας τὸ θεοῦ τὸ ἠρημῶσθαι. ὅτι, φησὶν, αὐτοὶ χ' ἐνέμειναν ἐν τῇ διαθήκῃ μου. ἤρξατο γὰρ ὀξ αὐτῶν ἡ πρᾶξις, καὶ οὕτως ἡ τοῦ θεοῦ ἀμέλεια ἐπικολουθήσεν.

» Οτι αὕτη ἡ διαθήκη μου ἣν διαθήσομαι τῷ οἴκῳ Ισραὴλ μετὰ τὰς ἡμέρας ἐκεί» νας, λέγει κύριος, δοὺς νόμους μου ἐις τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπι» γράψω αὐτούς. καὶ ἔσομαι αὐτοῖς ἐις θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι ἐις λαόν. καὶ οὐ μὴ » διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν » κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν, ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως » ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ ὧν ἁμαρτιῶν αὐτῶν καὶ ὧν ἀνομιῶν αὐτῶν οὐ μὴ μνη» σθῶ ἔτι. Ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὼ πρώτην. τὸ δὲ παλαιούμενον καὶ » γηράσκον, ἐγγὺς ἀφανισμοῦ. Οτι αὕτη ἡ διαθήκη. αὕτη. πρίας ἡμέρα νέα διαθήκη. μετὰ τὰς ἡμέρας ἐκείνας. πρίας ἡμέρας; τὰς τῆς Ἐξόδου, ἐν αἷς ἔλαβον τὸν νόμον. διδοὺς νόμους μου. ἵω διαθήσομαι, διδοὺς νόμους μου. καὶ ἐπὶ καρδίας αὐτῶν. χδὲ ἐν γράμμασι νομοθετηθεῖσαν τὼ νέαν πρελάβομεν, ἀλλὰ διὰ πνεύματος ἁγίου. καὶ τοῦτο διηλοῖ ὁ χρισὸς λέγων τοῖς ἀποστόλοις, ἐκεῖνος, τουτέστιν ὁ παράκλητος ἐλθὼν, ἀναμνήσει ὑμᾶς καὶ διδάξῃ ὑμᾶς πάντα. ὁρᾷς ὅτι χὶ ἐν γράμμασιν ἡ νέα, ἀλλὰ διὰ πνεύματος ἁγίου; λογίζου δὲ ὅσω ὅσῃ καὶ ἡ ὑποροχὴ τῆς νέας. καὶ ἔσομαι αὐτοῖς ἐις θεόν. ὅτι γὰρ τοῦτο ἐστὶν, δῆλον διηλον. τίς μετέπεισεν ἐν χερσὶ τινὰ ἐν τῇ παλαιᾷ ἀποστῆναι τῆς Ἰδίας δυσιδαιμονίας; τοὐναντίον μὲν ὅσω ἀπὸ τῆς θεογνωσίας ὁ Ισραὴλ, ἐις τὼ πολύσω μετεπέθη. καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ. διδαχὴν οὐ ταῦθα, πῶ ἐπιπρωτέραν διδασκαλίαν λέγει. ἰδοὺ γὰρ ὁρᾶμεν ὅτι οὔτε πολλῶν λόγων χρεία πρὸς τὸ ὑγιαίνοντας τὸν νοῦν, ἐις τὸ πεῖσαι πιστεύειν χρι» στῷ. Θεοδίδακτοι γὰρ ἅπαντες ἐσὶν ἄνθρωποι. ἐπὶ γὰρ ταῖς καρδίαις ἡμῶν, τοὺς νό» μους αὐτοῦ ἔγραψεν ὁ χρισός. ὅτι πάντες ἐγνώκασί με. ἡ μὲν γὰρ Ιουδαϊκὴ γνῶσις καὶ πίστις, ἐις μίαν τῆς οἰκουμένης γωνίαν ἐκέκλειστο, τὼ Παλαιστίνῃ, ἡ δὲ ὧν Χριστιανῶν, ἅπασαν ἐπελάβετο τὼ γῆν. ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν. ταῖς πρεσκυνομούσαις. ἵλεως δὲ γίνεται, ἀφεὶς ἡμῖν αὐτὰς ἐν τῷ βαπτίσματι. καὶ ὧν ἀνο» μιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ὧν γὰρ ἐν τῷ βαπτίσματι ἀφεθῶσιν, οὐκ ἔτι μιμνή» σκεται. ἐν τῷ λέγειν καινὴν. αὐτὸ γὰρ τὸ ὅλως ὀνομάσαι καινὴν, τὼ πρώτην παλαιὰν ἐποίησεν. τὸ δὲ παλαιούμενον καὶ γηράσκον. νῦν λαβὼν παῤῥησίαν παρὰ τὸ πρεσφύγου, καὶ αὐτὸς ἀποφαίνεται. οὗτοι μὲν, φησι, καινὴ, παλαιὰ δὲ ἐκείνη. τὸ δὲ παλαιούμενον, ἠφάνισαι, φησι. γηγαροῦν καὶ ἐκβέβληται, καὶ καταλέλυται ἐκ

ςς τῆς γήρως,

τῦ γήρως, ὡς ἠέλειψ. ὁκ ἀκαίρως κατέπαυσεν ἡ νέα τὴν παλαιάν, ἀλλὰ δηλᾶ τὸ γῆρας καὶ τὴν παλαιότητα αὐτῆς, ρυτέτηδηλᾶ τὸ ἀσθενὲς καὶ ἀνωφελές. τὸ γὰρ ἀδύνατον, φησὶν ἀμαχοῦ, τῦ νόμου, ᾗ ὦ ἠσθένη δηλᾶ τῆς σαρκός.

» Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν.
» σκηνὴ γὰρ κατεσκευάθη ἡ πρώτη, ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθε-
» σις τῶν ἄρτων, ἥτις λέγεται ἅγια. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λε-
» γομένη, ἅγια ἁγίων, χρυσῶν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης πα-
» ντοθεν περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ᾗ ἣ στάμνος χρυσῆ ἔχουσα τὸ Μάννα, καὶ ἡ ῥάβ-
» δος Ααρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς Διαθήκης. ὑπεράνω δὲ αὐτῆς, Χερου-
» βὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον. περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.

Εἰσῆλθεν ἅπαξ ἐπὶ τὴν ἁγίαν τὴν ἀλλαγῆς τῦ ἱερέως, τῆς ἱερωσύνης, τῆς Διαθήκης, ὅτι τέλος εἴληφεν ἡ παλαιά, καὶ ὅτι ἀμείνων ἐκείνης ἡ νέα πολλῷ πρόπις, νῦν δεῖξαι θέλᾳ ἐξ αὐτῦ τῦ σχήματος τῆς σκηνῆς, ὅτι τύπος ἦν ἐκεῖνα ὧν ἀληθινῶν. ὁ δὲ τύπος, τῆς ἀληθείας ἐπισάσης, τέλος λαμβάνει. τὸ, εἶχε, δηλοῖ, ὅτι νῦν οὐκ ἔχᾳ. ὥστε ᾗ καὶ μὴ παντελῶς ἐπαύσατο δηλᾶ τὸ, πινας αὐτὴ ἔτι στοιχεῖν, τοῖς μόνοις Δικαιώματα οὐκ ἔχᾳ. ΑΛΛΩΣ. τὸ, εἶχε μὲν ἡ πρώτη Δικαιώματα λατρείας, οὐ περὶ τῆς σκηνῆς ἠρῆσθαι νομίζω, ἀλλὰ περὶ αὐτῆς τῆς παλαιᾶς διαθήκης. οὐ γὰρ τὴν σκηνὴν τὴν νέᾳ συνέκρινε διαθήκῃ, ἀλ' ὅλην τὴν παλαιὰν Διαθήκην τὴν νέᾳ, καὶ πρὸς ὅλην ἐκείνην ταύτης ἐδείκνυ τὴν ὑπεροχήν. ἰδοὺ γὰρ, φησὶν, ἡμέραι ἔρχονται, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ισραὴλ καὶ ἐπὶ τὸν οἶκον Ιούδα διαθήκην καινὴν οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν. καὶ πάλιν. ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην. καὶ παλαιούμενον, ἐγγὺς ἀφανισμῦ. εἶχε μὲν οὖν καὶ ἡ πρώτη. ὥστε δῆλον, ὅτι περὶ τῆς διαθήκης αὐτῷ ἦν ὁ λόγος. ἐστὶ γὰρ κατέβαλον αὐτὴν τῇ πρὸς τὴν νέαν προθέσει, ἵνα μή τις εἴπῃ, ὅτι σκοῦ ἀεὶ ἀπρόβλητος ἦν, πολλαχοῦ, φησὶν, ὅτι εἶχε καὶ κείνη δικαιώματα λατρείας, νόμους, φησὶ, καὶ τάξιν καὶ ἀκολουθίαν ἐμπρέπουσαν λατρείᾳ θεῦ. ἡμῶν δὲ καθ' ἡμᾶς ὅτι εἶχε δικαιώματα λατρείας, ἐπεξέρχεται καὶ καθ' μέρος ἀρξάμενος ἀπὸ τῆς σκηνῆς. εἶχε, φησὶ, τὸ ἅγιον κοσμικόν. εἶθ' μετὰ τὸ ἅγιον τὸ κοσμικὸν καὶ πᾶσι βατὸν, εἶχε πάλιν ἑτέραν σκηνὴν, μετατεταγμένην τῆς μυστικωτέρας ἔτι καὶ ἁγιωτέρας σκηνῆς. καὶ ἣν μὲν τὴν μετατεταγμένην, ἥτε λυχνία καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις σκηνὴ, ᾗ λέγεται κοσμικὴν ἅγιον, ὡσανεὶ πασῶν σκηνὴ πρώτη, ἀλλὰ ἁπλῶς ἅγια. μετ' ἐκείνην δὲ σκηνή. Η πρώτη, εἶπεν, ὡς πρὸς τὰ ἅγια τῶν ἁγίων, ἐστὶ νῦν πρώτη, ἀλλὰ μόνη. πρώτη γὰρ ἦν, ἣν τὸ χαλκῶν θυσιαστήριον τῶν θυσιῶν καὶ τῶν ὁλοκαυτωμάτων. δευτέρα αὖτη, περὶ ἧς φησιν, ἐν ᾗ ἡ λυχνία, καὶ ἡ πρόθεσις τῶν ἄρτων ἐν τῇ τραπέζῃ. τρίτη ἐν ᾗ τὸ χρυσοῦν θυμιατήριον καὶ ἡ κιβωτὸς τῆς διαθήκης. δικαιώματα λατρείας. σύμβολα, θεσμοὶ σὺ λατρευτῶν καὶ εὐχῶν. Τό τε ἅγιον κοσμικόν. κοσμικὸν αὐτὸ λέγει, διὰ τὸ πᾶσιν ἔξεῖναι ἐσιέναι. ἅγιον δὲ νῦν αὐτὸ καλεῖ τὸν ναὸν ἤγουν, νῦν ᾧ τὴν λειτουργίαν ἀπροδίδοσθαι τῷ θεῷ

Φωτ.

Οἰκουμ.

συνέβαινεν, εἴτε καὶ τὴν σκηνὴν, ἐπειδὴ ταύτην ἐτάξει τὸν ναὸν πρότερον εἶχον, οὕτως αὐτὴν καλοῦντες. καὶ τοῦτο μαθεῖν ἔστιν ἀπὸ τῆς πρώτης τῶν Βασιλειῶν σαφῶς λεγούσης, καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ κυρίου, οὗ ἦν ἡ κιβωτὸς τῦ θεοῦ. τὸ οὖν ἅγιον, φησὶν, ἡ τῆς παλαιᾶς διαθήκης ἦν κοσμικὸν, ἵνα εἴπῃ ὅτι κατεσκεύασε ὁ ναὸς ἡμῖν τὸν τῦ κόσμου. περιῄκε μὲν οὖν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ὡς ὁ Μωυσῆς φησιν, ἐν ἀρχῇ, οὐρανὸν τὸν ἀνώτερον λέγων, τῇ δευτέρᾳ ἡμέρᾳ, τὸν ὁρώμενον τοῦτον οὐρανὸν ἐν μέσῳ τῶν ὑδάτων ὑπῆναι παρασκευάσας. ὥστε καὶ ὑψωθέντα, ἔχειν ὑπὸ νότον τὰ ὕδατα. ὥσπερ οὖν σύμβολον τὸν κόσμου κατασκευάσας καὶ τὸν πρὸ τὴν Μωσεῖ κελεύων ὁ θεὸς, τὴν σκηνὴν προσέταξεν αὐτῷ, πρίβολον τρισὶ μὲν ἦν κατατεταμάτων μέσῳ διειλημμένον ἑτέρῳ, οὕτω δὴ καὶ ὁ ναὸς κατ' τὸν αὐτὸν ὕστερον ἐλθόντα τύπον. καὶ ἦν ὁ πᾶς οἶκος, μέσῳ διειλημμένος τοίχῳ. ὥστε τὸν μὲν ἐκτὸς οἶκον, ᾧ ᾧ δεῖ τοὺς ἱερεῖς τὴν δι' αὐτῶν θυσιῶν θεραπείαν καὶ ὧν λοιπῶν δὴ πάντων ἀποδιδόναι τῷ θεῷ, συνέβαινε σύμβολον εἶναι τοῦτον δὴ τὸ περὶ ἡμῶν τοῦτο, ἐφ' οὗ διαζῆν νῦν ἡμᾶς συμβέβηκε. τὸν δὲ ἐνδότερον, ᾧ ᾧ τὸν ἀρχιερέα ἅπαξ μόνον τὸ ἐνιαυτῷ ἱστάναι ἐχρῆν, σύμβολον ὧν ὑπουρανίων, ἐν οἷς τὸν θεὸν ἐδόξαζον οἰκεῖν οἱ Ιουδαῖοι. σκηνὴ γὰρ κατεσκευάθη ἡ πρώτη. τρεῖς ἐσημήναμεν ἐν τῷ ὀκτάτευχον σκηνὰς οὔσας. μίαν μὲν, περὶ ἧς φησι τὸ ἅγιον κοσμικὸν, ἔνθα ἦν τὸ χαλκῶν θυσιαστήριον ὧν ὁλοκαυτωμάτων, ἐ παντὶ ἔξὸν τῷ λαῷ ἱστάναι, καὶ τὰς θυσίας ἐπιτελεῖν. δευτέραν δὲ, ἔνθα τῆς ἱερεῦσιν ἔξὸν ἀεὶ τὰς λατρείας ἐπιτελεῖν, ἔνθα ἦν ἡ λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις ὧν ἄρτων. τρίτην, ἔνθα ἦν τὸ θυμιατήριον καὶ ἡ κιβωτὸς, ἐν ᾗ ἅπαξ τὸ ἐνιαυτῷ ἱστάναι μόνος ὁ ἀρχιερεύς. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα. ἀρα γὰρ ἦν ἓν μόνον καταπέτασμα. σκηνὴν δὲ πάντα χοῦ καλεῖ, παρὰ τὸ σκηνοῦν ἐκεῖ. τὴν κιβωτὸν τῆς διαθήκης. τὴν φέρουσαν τὰ τῆς διαθήκης σύμβολα, οἷον τὰς πλάκας τὸ νόμου, καὶ τὰ ἄλλα. ἐν ᾗ στάμνος χρυσῆ. πάντα ταῦτα ἦν ἐν τῇ κιβωτῷ, τὴν ἀγνωμοσύνην ὧν Ιουδαίων ἐλέγχοντα. ἡ μὲν ῥάβδος, διὰ τὴν τῦ Ααρὼν ἐπανάστασιν, αἱ δὲ πλάκες, διὰ τὴν πρόφασιν ζηνέσθαι τοῖς Ιουδαίοις καταγῆναι τὰς πλάτας. τὸ δὲ Μάννα, διὰ τὴν τρόγοντας ἀπογογγύζειν. ἔδει οὖν ἐξ ἐκγόνοις ταῦτα τὰ σύμβολα παρατεμφθῆναι πρὸς φόβον αὐτῶν. ὑπεράνω δὲ αὐτῆς. τῆς κιβωτῦ. Χερουβὶμ δόξης. ἡ τὰ ὕδατα, ἡ τὰ ὄντα τῆς δόξης, ρυτέτηδὲ τὸ θεοῦ. κατασκιάζοντα τὸ ἱλαστήριον. ἦν γὰρ ἐπάνω τῆς κιβωτῦ, ὡσανεὶ τράπεζά τις τετράγωνος χρυσῆ, ὅπερ ἱλαστήριον ἐκαλεῖτο. τυποῦσα τὸν Χριστὸν, τὸν λεγόμενον ἡμῖν ἱλασμὸν καὶ ἀπολύτρωσιν. ὅρα τὰ ὦ τῇ ὁδῷ προγραφῶ, ὦ τοῖς περὶ τούτων τρόποις. περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν. θέλει δεῖξαι ὅτι αἰνίγματά τινα ἦν τὰ ὁρώμενα, ἐ τύποι ὧν ἀληθινῶν. οὐκ ἔστιν οὖν νῦν, φησὶ, καθ' μέρος λέγειν περὶ αὐτῶν. πλειόνων γὰρ δεόνται λόγων, ἢ καθ' τὴν προῦσαν ὁρμήν.

» Τούτων δὲ οὕτως κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς ἱστᾶσιν
» οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τὸ ἐνιαυτῷ, μόνος ὁ
» ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτῦ, καὶ ὧν τῦ λαοῦ ἀγνοημάτων.

Καὶ σωέβαινε τοὺς Ιουδαίους μὴ τε ὁρᾶν τὰ γινόμενα, διείργοντος τοῦ καταπετάσματος. ὥστε γὰρ ἐκείνους μᾶλλον ἢ, ἢ οἷς περὶ τυπτῶν, τυτέστιν ἡμῖν. ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς. ἐπεὶ διὰ πρόσταγμα αὐτοῖς ἔπ νηπίοις οὖσι, ὡς ἰσχυσε μία θυσία ἡ τοῦ Χριστοῦ, ῥύσασθαι τοὺς τοῦ κόσμου ἁμαρτίας; δείκνυσι καὶ ἐν τῇ παλαιᾷ τύπον, ἅπις ἢ τύπος τῆς νέας. Οἰκουμ. ᾧ τῇ Ἐξόδῳ ᾧ τοῖς ὠρὶ Ὠυτως Ὠ πρὶς φησὶν, ὅπ δὶς τῆς ἡμέρας ἡσήει ὁ ἀρχιερεύς, τοῖς ἁγίοις ὧν ἁγίων θυμιάσων. γέγραπται δὲ οὕτως. καὶ θυμιάσει ἐπ' αὐτοῦ, τυτέστιν ἅπ τοῦ χρυσοῦ θυμιατηρίου οὗ ἦν ἐν τοῖς ἁγίοις ὧν ἁγίων ὁ Ααρὼν θυμίαμα σωθέσεως λεπτῆς τὸ ὠρὶ ὠρὶ, ὅταν ἅπτηται τοὺς λύχνους, θυμιάσει θυμίαμα ἐνδελεχισμοῦ. πῶς οὖν ᾧδε, φησὶν, ὁ ἅγιος Παῦλος, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς; καὶ φαμὲν, ὅπ μετὰ αἵματος μὲν ἅπαξ ἡσήει τοῦ ἐνιαυτοῦ. ὡς καὶ ἐν αὐτῷ τῷ Ὠτῳ τῆς Ἐξόδου φησί, θυμιάσων δὲ δὶς τῆς ἡμέρας. καὶ γὰρ καὶ ᾧδε φησὶν, ὃ χωρὶς αἵματος, τυτέστι μετὰ αἵματος, ἵνα ᾖ οὕτως, ἅπαξ τοῦ ἐνιαυτοῦ ὁ ἀρχιερεὺς μὴ αἵματος, ὃ μὴ θυμιάματος. ὃ χωρὶς αἵματος. μὴ θυσιῶν, φησιν. ὥστε καὶ τὸ τοῦ αἵματος, τύπος ἦν τοῦ Χριστοῦ. ὃ προσφέρῃ ὑπὲρ ἑαυτοῦ. πάντα γὰρ τὸ, ὑπὲρ ἑαυτοῦ πέφυκε, δείκνυς τὸ διάφορον τοῦ Χριστοῦ καὶ τοῦ πρὸς Ιουδαίους ἀρχιερέως. καὶ ὧν τοῦ λαοῦ, φησιν, ἀγνοημάτων. καὶ ᾗδεν τὸ διάφορον δείκνυσιν, ὅπ αἱ μὲν κατὰ νόμον θυσίαι, ὑπὲρ ἀγνοημάτων προσέφερον. τὸ γὰρ ᾧ ἀγνοίᾳ σωε
» χώρουν ἁμαρτήματος, ἢ δὲ χριστοῦ θυσία, καὶ τοῦ ᾧ γνώσει. Τοῦτο δηλοῦντος τοῦ
» πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν ὧν ἁγίων ὁδὸν, ἔπ τῆς πρώτης σκηνῆς
» ἐχούσης στάσιν. ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα καθ' ἣν δῶρά τε καὶ θυσίαι
» προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελφῶσαι τὸν λατρεύοντα, μόνον ἐπὶ βρώ
» μασι καὶ πόμασι καὶ διαφόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορ
» θώσεως ἐπικείμενα. Διὰ τοῦτο δέ, φησιν, οὕτως κατεσκεύασται σκηνὴ, ἵνα τῆς πρώ
της ἐχούσης ᾧθεν ἡ λυχνία καὶ ἡ πρόθεσις ὧν ἄρτων, καὶ ἡγουμένης ἀναβαίνειν τοὺς λοιπὸς ἱερεῖς εἰς τὰ ἅγια ὧν ἁγίων, δῆλον γίνεται ἄβατον ἔτι εἶναι τὸ ὑρανόν. τύπος γὰρ τοῦ ὑρανοῦ, τὰ ἅγια ὧν ἁγίων. τὸ δὲ μόνον τὸν ἀρχιερέα ἡσέναι ᾧ αὐτοῖς, τύπος ἦν τοῦτο τοῦ τὸν χριστὸν μόνον τὸν ἀληθινὸν ἀρχιερέα ἀνελήλυθέναι ᾧτῷ ὑρανῷ. ἀφ' οὗ λοιπὸν ἀνελθὼν, σωεισήγαγε τὸ γένος ὧν ἀνῶν. ἕως μὲν γὰρ πρὸ τούτου ἄβατος. νῦν δὲ διὰ τοῦ χριστοῦ, βατὸς γέγονεν. μήπω πεφανερῶσθαι. μήπω εἶναι βατὴν καὶ λιπαρὴν τὴν εἰς ὑρανοὺς ὁδὸν, ἕως πρῶτος ᾧτεκαίνισεν ὁ χριστός. ἐχούσης στάσιν. ἑστώσης, φησὶ, καὶ ἡγουσης τρόπον τινὰ τῶν εἰς τὰ ἅγια ὧν ἁγίων παροδὸν. ἥτις παραβολή. ὅστις, φησὶ, τύπος ὧν ἐν τῇ σκηνῇ, εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, ὃς ὧν πεπλήρωται, φησὶ, καὶ τέλος ἔλαβε. καὶ δικαίως. ἡ γὰρ τοῦ χριστοῦ ἕως ἐκεῖνα τύπος, ἡκότως τοῦ χριστοῦ φανέντος, καὶ οἱ τύποι πεπλήρωνται, καὶ τέλος ἔχουσι. καθ' ὧν δῶρά τε καὶ θυσίαι προσφέρονται. καθ' ὧν παραβολὴν καὶ καθ' ὃν τύπον αἱ προσφοραὶ ὧν δώρων τε καὶ θυσιῶν ἐλέγοντο, ὧν μὴ δυναμένων τελφῶσαι κατὰ συνείδησιν, ὡς ἡ ἐπερὸ ἐν ᾧ τύπῳ, τυτέστιν ἐν τῇ κατὰ νόμον ἱερουργίᾳ προσφέρονται μὲν αἱ θυσίαι, ἰσχύουσαι

ἰσχύουσαι ψυχικῶ καὶ σωτείδησιν καθαρίσαι. σωματικαὶ γὰρ οὖσαι, σῶμα ἐκάθαιρον. κατὰ συνείδησιν. οἷον ψυχικῶς. τελειῶσαι τὸν λατρεύοντα. ᾗδὲ αὐτὸν τὸν τῆς θυσίας προσφέροντα, φησὶν, ἐδ' ὡσαύτως καθαρίσαι. μόνον. τὸ ὑπερβατὸν ἐπικείμενα. ἅπ' βρώμασι καὶ πόμασι. αἱ θυσίαι αἱ προσφερόμεναι, φησὶ, καὶ αἱ λατρεῖαι, ᾗκ ἴσχυον ψυχικῶς τινὰ τελφῶσαι, ἀφ' ὧν πρὸ τῶν σαρκῶν εἶχον τὸ ᾧ ἐργάζεσθαι καὶ τὸ σαρκικά, καὶ εἰς τὸν διελύοντο τοῖς προσφέρουσι, φησὶν, εἰς τὸ, τὸ δὲ φαγεῖν, ἢ μὴ φαγεῖν, καὶ ὕδατι λούεσθαι τοῖς κεκοινωμένοις. ἅπερ, φησὶ, δικαιώματα σαρκὸς εἰσι, τυτέστι σάρκα καθαίροντα, καὶ ᾗδαμοῦ ψυχήν, ᾗδαμοῦ νοῦν ᾗδὲ τὸν ἔσω ἄνθρωπον, ἀφ' ὧν πρὸ τὸν ἔξω ἠσχολοῦντο. καὶ δικαιώμασι σαρκὸς. εἰς δικαιώματα σαρκὸς, κάτω τὸ, ἐπικείμενα. μέχρι καιροῦ διορθώσεως. δύο, φησὶν, ὅπ τε σωματικὸν μόνον καθαρισμὸν ἐποίουν, καὶ αὐτὸν τοῦτον ᾗκ εἰς, ἀφ' ἅπερ καιροῦ διορθώσεως. πρὸς δὲ ὁ τῆς διορθώσεως καιρὸς; ὁ τῆς τοῦ σωτῆρος ἐπιδημίας δηλονότι, ὡσανεί εἰπων. ἐπέκειτο δὲ αὐτῶν βάρος τοῖς ἀνθρώποις, ἄχρις οὗ φανῇ χριστός. αὐτὸς δὲ φανέντος, ἐπάυσαν. ἐπικείμενα. καλῶς τὸ, ἐπέκειτο, βάρος γὰρ ἦν μόνον τὸ ᾧ τῷ νόμῳ, καθὼς φασιν οἱ ἀπόστολοι. οὐ οὔτε ἡμεῖς, φησιν, οὔτε οἱ πατέρες ἡμῶν ἰσχύσαμεν βαστάσαι.

» Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς ὧν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ Κεφ. ιβ΄
» τελειοτέρας σκηνῆς χειροποιήτου, τυτέστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τρά
» γων καὶ μόσχων. διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφ' ἅπαξ εἰς τὰ ἅγια αἰωνίαν λύ
» τρωσιν εὑρόμενος. Επὶ τούτῳ, φησὶ, παραγενόμενος, ἅπ τῷ γενέσθαι ἀρχιερεὺς καὶ προσενέγκαι τὸ θῦμα. ἀφ' οὗ ᾗκ εἶπε τὸ θῦμα. πῶς ἐκ τοῦ θύματος δὲ παρασῶσαι σωτηρίαν βουλόμενος, φησὶ. ὧν μελλομένων ἀγαθῶν εἰς ἡμᾶς δηλονότι. διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς. σκηνὴ τὸ σῶμα χριστοῦ λέγει, διὰ τὸ ἐν αὐτῷ κατῳκικέναι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. μείζονα δὲ, διὰ τὸ, θεὸν εἶναι. τελφοτέραν δὲ, διὰ τὸ τελειοῦν τοὺς προσερχομένοις αὐτῷ. οὐ χειροποίητον. οὐ κατὰ μίμησιν, φησὶ, τῆς παρὰ Ιουδαίοις σκηνῆς. ἥτις γὰρ σκηνὴ ἀχειροποίητον, πῶς ἀνθρωπείαν φύσιν ἐπάλεσεν ἵνα ἀνέλαβον ὁ δεσπότης χριστός. οὐ γὰρ κατὰ γαμικὸν ἐλήλυθεν γάμον, ἀφ' ὃ πανάγιον πνεῦμα πῶς σκηνὴ κατεσκεύασε. τὸ δὲ, οὐ ταύτης τῆς κτίσεως, ἀντὶ τοῦ, οὐ κατὰ νόμον φύσεως τῆς ἐν τῇ κτίσει πολιτευομένης. οὐ ταύτης τῆς κτίσεως. τὸ σῶμα χριστοῦ, καὶ ταύτης ἴσα τῆς κτίσεως, καὶ οὐ ταύτης, ταύτης μὲν, κατὰ τὸ ἴδιον εἶναι καὶ διὰ πάντων ὅμοιον τῷ ἡμετέρῳ σώματι, οὐ ταύτης δὲ, κατὰ τὸ ἔχειν ἀσυγχύτως καὶ ἀδιαιρέτως πῶς θεότητα. τὸ οὖν ἀρνηθὲν τῷ ἀποστόλῳ, οὐ ταύτης τῆς κτίσεως, δεῖξαι ὡς πρὸς τὸ ἔχειν πῶς θεότητα. ὡς ὅλως σῶμα αὐτὸ καθ' αὑτὸ, ὁμοούσιον ἴσα τῷ ἡμετέρῳ, ἢ ὅπ οὐκ ἴσα ταύτης τῆς κτίσεως, φησὶν, ὡς ἡ Ιουδαίων σκηνή. ἐπειδὴ γὰρ σκηνὴ τὸ σῶμα ἐκάλεσε τοῦ Χριστοῦ, ἐδείκθη τοῦτο τοῦ προσδιορισμοῦ. οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων. ἅπερ ἴσα Ιουδαϊκά, καὶ δι' ὧν ἡσήει ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια ὧν ἁγίων. αἰωνίαν λύτρωσιν εὑρόμενος. αἰωνίαν λυτρωσάμενος, αἰωνίαν λύτρωσιν εὗρατο. οὐχ ἑαυτῷ, (πῶς γὰρ ὁ ἀναμάρτητος,) ἀλλὰ τῷ λαῷ αὐτοῦ.

ἢ ἐπειδὴ κεφαλὴ τῆς ἀνθρωπότητος ἤξιωσεν εἶναι, τὰ ἡμῖν καταρθωθέντα, αὐτῷ καὶ-
» ταρθῶσθαι λέγει ὁ ἀπόστολος. Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς
» δαμάλεως ῥαντίζουσα, τὸ κεκοινωμένοις ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,
» πόσῳ μᾶλλον τὸ αἷμα τοῦ χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου, ἑαυτὸν προσήνεγκεν ἄ-
» μωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν
» θεῷ ζῶντι; Εἶτα, ἐπειδὴ ἀπίθανον εἶναι ἐδόκει τὸ διὰ μιᾶς θυσίας καὶ αἵμα-
τος ἑνὸς λύτρωσιν αἰωνίαν παρασχεῖν, κατασκευάζει αὐτὸ, καὶ δείκνυσι πιθανὸν καὶ μὴ
ἀπόδον ὑπάρχον. ἐ σποδὸς δαμάλεως. τὸ αἷμα ἐῤῥαντίζετο, ἡ σποδὸς τῆς δαμά-
λεως ὕδατι μιγνυμένη, ἐπίνετο πρὸς καθαρισμὸν σὺν τῇ παλαιᾷ. ἁγιάζει πρὸς τ' τῆς σαρ
κὸς καθαρότητα. ἁγιάζει δὲ, ὁ ψυχικῶς, ἀλλὰ πρὸς καθαρισμὸν τῆς σαρκός. ὅρα αὐ
τὸν ἀκριβῶς λαλοῦντα. ὃς διὰ πνεύματος. ὁ διὰ πυρὸς καύσας, ὡς ἡ δαμάλης
ἐν τῇ παλαιᾷ, ἀλλὰ διὰ πνεύματος ἁγίου προσενέγκας. ἄμωμον τῷ θεῷ. καὶ τὸ ἐν
τῇ παλαιᾷ προσαγόμενον ἱερεῖον, ἄμωμον εἶναι ἐπεζητεῖτο. τύπος δὲ ἦν τὸ σώμα-
τος τοῦ χριστοῦ τὸ ἀμώμου καὶ πάντοτε καθαροῦ. ἁμαρτίαν γάρ, φησὶν ὁ Ησαΐας
οὐκ ἐποίησε, καὶ δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. καθαριεῖ τὴν συνείδησιν ὑμῶν.
Ἐπὶ μὲν τὸ αἷμα τῶν ταύρων, καὶ τῆς σποδοῦ τῆς δαμάλεως εἶπε, πρὸς τὴν τῆς
σαρκὸς καθαρότητα, ἐπὶ δὲ τὸ αἷμα τοῦ χριστοῦ, φησὶ, τὴν συνείδησιν ὑμῶν. ὅρα
διαφορὰν καθαρμοῦ. Τί ἐστι τὴν συνείδησιν; φυτεύει, καὶ τὴν ψυχὴν ὑμῶν καθαί-
ρει, ὡς μὴ δὲ συνειδέναι τι ἑαυτῇ τὸ λοιπὸν παράπτωμα. ἀπὸ νεκρῶν ἔργων. ὧν
φαύλων, ὧν μιαινόντων τὴν ψυχήν. ὁ νεκροῦ γὰρ ἅψασθαι παρὰ Ιουδαίοις, ἐμο-
λύνετο, παρ' ἡμῖν δὲ τὰ ἄτοπα ἔργα μολύνει. ἵνα τὸ λατρεύειν θεῷ ζῶντι. δι-
ηλοῖ ἄλλως μὴ δύνασθαι λατρεύειν θεῷ, ἡ μὴ καθαρὸν ὄντα ἀπὸ νεκρῶν ἔργων. ὡς οἱ-
μεν μετ' ἐκείνων λατρεύοντες, ἢ λατρεύουσιν, ἀλλὰ κατακρίνονται.

» Καὶ διὰ τοῦτο, διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως θανάτου γενομένου εἰς ἀπολύ
» τρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλη
» μένοι τῆς αἰωνίου κληρονομίας. Η βούλεται ὁ παῦλος, κληρονόμους ἡμᾶς γενέ-
σθαι τῶν ἐπαγγελιῶν, ἀφ' ἧς κινδυνεύομεθα ἐκπεσεῖν ὄντες καὶ ἐκ περιτομῆς ἐν πολέμοις πρὸς αὐ
τόν. πῶς; ὁ υἱὸς ἐμεσίτευσε, καὶ κατήλλαξεν ἡμᾶς τῷ οἰκείῳ πατρί. ἀφ' ἑαυτοῦ δὲ
ἔδει καὶ πρωτίαν δοῦναι τοῖς ἐπὶ τῆς γῆς διὰ ἐσκληκηκέναι. (ὢ τοῦ φιλαν-
θρώπου γὰρ καὶ δικαίου ὁ θεός.) καὶ ταύτην αὐτὴν ὑπὲρ ἡμῶν ὑπέμεινεν ὁ υἱὸς τοῦ θεοῦ.
ὅπως θανάτου γενομένου. θανάτου γὰρ βεβαιοῦται ἡ διαθήκη. διὰ, τοῦτο ἐγκε-
καίνισται ὁ χριστὸς, ἵνα ἡ ἐξ ἡμᾶς αὐτὸ διαθήκη βεβαιωθῇ. τοῦτο δὲ ἔθεσιν, ἐπειδὴ
μάλιστα τοῖς ἀθετεῖς ὁ θάνατος τοῦ χριστοῦ ἐπάρατος. ἧς ἀπολύτρωσιν. γέγονε γὰρ
ὁ θάνατος τοῦ χριστοῦ πρὸς τὸ ἀπολυτρώσασθαι καὶ παῦσαι τοὺς ἐπὶ τῇ πρώτῃ διαθήκῃ
παραβάσεις, ἵνα τοῦτο τῷ τρόπῳ τὴν ἐπαγγελίαν λάβωμεν τῆς αἰωνίου κληρο-
νομίας οἱ κεκλημένοι. ἀφ' ἡμετέρας ἑαυτοῖς ἀποστερήσαμεν ἁμαρτήσαντες. τοῦτο δὲ ὧν
» δι ὀρθοῦται ἐπιφανεὶς ὁ Χριστός. Οπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέ
» ρεσθαι τοῦ διαθεμένου. Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία. ἐπεὶ, μήποτε ἰσχύει ὅτε ζῇ

ὁ διαθέμενος;

» ὁ διαθέμενος; ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

Τοῦτο τὸ παράσημον αὐτοῖς, τὸ θανάτου τοῦ χριστοῦ. ὅπως, φησὶν, ἔχῃ ἡμῖν δοῦναι
τοῖς ἐπαγγελίας ὁ ἀπόστολος; πῶς ἐφθάσαμεν ἐκπεσεῖν, οὐκ ἄλλως ἡμᾶς δυνα-
μένους λαβεῖν τὴν κληρονομίαν ἐ τὴν ἐπαγγελίαν, ἡμῶν ἐτετελευτήκει ὁ χς. ἐπεὶ
μήτε ἰσχύσῃ ὁ πεζὸς ὁ διαθέμενος; καθ' ἑρώτησιν ἀναγνωτ. ὅθεν οὐδὲ ἡ πρώτη.
καὶ οὕτω, φησὶ, θανάτῳ βεβαιοῦται ἡ διαθήκη, ὅτι καὶ ἡ πρώτη ἀντὶ θανάτου, αἷμα
εἶχε τὸ τοῦ θανάτου σύμβολον. Ἐπὶ δὲ τῆς νέας, τὸν ὄντως θάνατον ἔχει. καθὰ ἐκεῖνα
μὲν τύποι ἦσαν, ἀλήθεια δὲ, τὰ τῆς νέας. χωρὶς αἵματος ἐγκεκαίνισται. ὡς ἔφθην.
οὐ διέλαθε βραχύ γοῦν χρόνον τὸ αἷμα, ἀλλ' ἅμα τὸ ἐγκαινίζεσθαι τὴν διαθήκην,
» καὶ τὸ αἷμα ἔσχε συνακόλουθον. Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ
» Μωσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ
» ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν, ἐῤῥάντισε λέ
» γων. τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θεός. καὶ τὴν σκηνὴν
» δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας, τῷ αἵματι ὁμοίως ἐῤῥάντισε.

Μετὰ γὰρ τὸ λαλῆσαι τὴν ἐντολὴν, τότε τῷ αἵματι ἐῤῥάντισεν ὁ Μωσῆς κατὰ
τὸν νόμον, καθὼς, φησὶν, ὁ θεὸς ἐνομοθέτησε. τί τ' τοῦ θεοῦ νόμον. λαβὼν γὰρ τὸ αἷμα
τῶν μόσχων. τοῦτο τὸ αἷμα τοῦ αἵματος τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, τὸ κα-
θαῖρον τοὺς ἡμᾶς ἀπὸ πάσης κηλίδος. μετὰ ὕδατος. τὸ ὕδωρ, τύπος ἐστὶ τοῦ βαπτίσματος.
καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου. ἔῤῥαν καὶ ὕσσωπον ἐλαμβάνετο, διὰ τὸ κρατη-
τικὸν αὐτῶν. τὸ γὰρ ὕσσωπον πυκνὸν ὑπάρχον καὶ ἁπαλὸν, ἐκράτει τὸ αἷμα·
καὶ ἐῤῥάντιζεν, καὶ τὸ ἔριον ὁμοίως. κόκκινον δὲ ἦν τὸ ἔριον, ἵνα ἐκ τῆς χροιᾶς, τύ-
πον φέρῃ τοῦ αἵματος τοῦ Χριστοῦ. αὐτό τε τὸ βιβλίον. τύπος ἦν ὧν πίστων τὸ βι-
βλίον, ὧν ἦσαν οἱ ἐχόντων τὸν νόμον τοῦ θεοῦ. καὶ τὴν σκηνὴν δέ. καὶ ἡ σκηνὴ
τύπος ἦν ὧν πίστων, διὰ τὸ ἐνοικεῖν ἐν αὐτοῖς καὶ ἐμπορεύεσθαι σφῶν.

» Καὶ σχεδὸν τὰ αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον. καὶ χωρὶς αἵματος ἐκχυ-
» σίας, ἄφεσις γίνεται. ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις
» καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια, κρείττοσι θυσίαις παρὰ ταύτας.

Σχεδὸν διὰ τοῦτο εἶπεν, ἐπειδὴ μὴ καθαρῶς καὶ εἰλικρινῶς τότε ἐκαθαίρετο.
Τότε γὰρ σωματικοὶ ἦσαν οἱ καθαρισμοὶ, τύποι ὄντες τῶν νῦν ψυχὰς καὶ σώματα
καθαιρόντων. καὶ χωρὶς αἵματος ἐκχύσεως οὐ γίνεται ἄφεσις. ἐδόκουν γὰρ καὶ τότε
οἱ τοιοῦτοι καθαρμοὶ ἄφεσιν παρέχειν. ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν
τοῖς οὐρανοῖς. οὐράνια τὰ τῆς καινῆς λέγει, ἐπειδὴ ἐν αὐτῇ μυσταγωγία οὐράνια
ἐστὶ, καὶ οὐρανοπολῖται εἰσὶν οἱ πιστοὶ, ἡ καὶ ἐπὶ γῆς τέως πολιτεύονται. ὑποδείγμα-
τα γὰρ τὰ τῆς παλαιᾶς, ὡς τύποι ὄντα τῆς νέας. τούτοις καθαρίζεσθαι. τοῖς ἐρη-
μένοις. αὐτὰ δὲ τὰ ἐπουράνια. τὰ τῆς νέας. κρείττοσι θυσίαις. ἐπεὶ οὖν ἐχρη-
ζε καὶ τὰς ἀξίας αὐτῶν κρείττονος θυσίας, αὐτὸς ὁ τοῦ θεοῦ υἱὸς ἐτύθη. ὅς τε ὁ
θάνατος τοῦ κυρίου, οὐ μόνον πρὸς τὸ βεβαιῶσαι τὴν διαθήκην ὠφέλησε καὶ ἐνήρ-
γησεν, ἀλλὰ καὶ πρὸς τὸ, καθαρισμὸν ἀληθῆ καὶ ψυχικὸν ἀπεργάσασθαι. ἄνω δὲ

καὶ κάτω τὸν θάνατον ἀπροσδεήκτως τὸ κυρίου, τὼ σωτηρίαν τῷ γένει ὧν ἀνθρωπαρέσκως
ἐργασάμενον, δηλ. τὸ τινας ὧν ἀσθενεστέρων σκανδαλίζεσθαι ἢ τῷ σαυρῷ.

» Οὐ γὰρ ἡς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα ὧν ἀληθινῶν, ἀλλ' εἰς αὐ-
» τὸν τὸν οὐρανὸν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν, οὐδ' ἵνα πολ-
» λάκις προσφέρηται ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια καθ' ἐνιαυτὸν ἐν αἵ-
» ματι ἀλλοτρίῳ. ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου.

Ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ τῷ ναῷ οἱ Ἰουδαῖοι, ὅρα πῶς καθαιρεῖ αὐτὸ τὴν παραθέσει τοῦ οὐρανοῦ. ἀντίτυπα ὧν ἀληθινῶν. ὁ γὰρ ναὸς χειροποίητός τε ἦν, καὶ ἀντίτυπος τοῦ οὐρανοῦ κατεσκέναζο. εἰς εἰς αὐτὸν τὸν οὐρανόν. τὸ, εἰς αὐτὸν εἰσῆλθεν τὸν οὐρανὸν, ἀπὸ κοινοῦ λαμβάνεον, οἷον ἀλλ' ἵνα πολλάκις προσφέρηται ἑαυτὸν, εἰσῆλθεν εἰς τὸν οὐρανόν. τὸ γὰρ πολλάκις θυσίας οὐ αἵματι προσφέρειν, ὧν εἰσερχομένων εἰς τὰ ἀντίτυπα ὧν ἀληθινῶν ἐστιν, εἰ μὴ καὶ τοῦ εἰσελθόντος εἰς τὸν οὐρανὸν αὐτόν. νῦν ἐμφανισθῆναι. μετὰ τῆς σαρκὸς φησιν ἐμφανισθῆναι. τῷ προσώπῳ τοῦ θεοῦ. τί λέγεις, ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανὸν, οὐκ ἐμφανίζεται τῷ προσώπῳ τοῦ πατρὸς, ὁ πάντα χοῦν πλήρων, καὶ τὰ πάντα πληρῶν; ὁρᾷς ὅτι τῆς οἰκονομίας ἐστὶ τὰ τοιαῦτα; ὑπὲρ ἡμῶν. μὴ θυσίας ἀνῆλθε τῆς τοῦ ἰδίου σώματος, ἵνα ὀφθῇ τῷ πατρὶ ὑπὲρ ἡμῶν, τουτέστι καταλλάσσων ἡμᾶς αὐτῷ. τῆς γὰρ σαρκὸς ἐπλαβόμενος ὁ μακάριος Παῦλος, πάντα τὰ ταπεινὰ, ἀδρῶς λαλεῖ. οὐδ' ἵνα πολλάκις προσφέρηται ἑαυτόν. τοῦτ' ἐποίησε, φησί, τὸ, ἀνελθεῖν εἰς τὸν οὐρανὸν. ὥσπερ ὁ ἀρχιερεύς. ὁρᾷς διαφοράν; οὗτος καθ' ἑνιαυτὸν, ὁ δὲ Χριστὸς ἅπαξ. οὐ αἵματι ἀλλοτρίῳ. οὗτος ἐν αἵματι ἀλλοτρίῳ, ταύρων καὶ τράγων, ὁ δὲ Χριστὸς οὐ τῷ ἰδίῳ. ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν. ἦ γὰρ ἐχρῆν αὐτὸν πολλάκις προσφέρειν θυσίαν, ἐδείκνυτο ἂν οὗ κατελήφθη εἰς κλῆσιν ὁ κόσμος, πολλάκις ἀπρεπῶν, ὡς οἰκεῖον αἷμα προσφέροντα. Νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ ὧν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. ἐ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, οὕτως καὶ ὁ Χριστὸς, ἅπαξ προσενεχθεὶς εἰς τὸ, πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκδυτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. Ἐπὶ συντελείᾳ ὧν αἰώνων. τουτέστιν ἐπ' αὐτῇ τῇ πληρώσει ὧν αἰώνων, καὶ ἐπ' αὐτῷ τῷ τέλει. τὸ ὑπερβατὸν, πεφανέρωται. πεφανέρωται δὲ, εἰς τὸ ἀθετῆσαι καὶ σβέσαι τὼν ἁμαρτίαν τὸ κόσμου διὰ τῆς θυσίας αὐτοῦ, ὡῶ ὑπὲρ ἡμῶν προσήνεγκε. διὰ τῆς θυσίας αὐτοῦ. πεφανέρωται, τουτέστι μετὰ τῆς σαρκὸς οὐ τῷ κόσμῳ. καὶ καθόσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ, φησὶ, τὼν ἀνθρωπότητα πᾶσαν ἐχρῶ ἀποθανεῖν. τοῦτο τὸ ἅπαξ ὑπὲρ ἡμῶν ἀποθανὼν ὁ Χς. ὥστε ἐ ἀποθνήσκοντες νῦν, χ κρατούμεθα ὑπὸ τὸ θανάτου, ὁ τὴ σωτῆρ, χ διὰ ἀποθανεῖν ἐστι. οὕτως ἐ ὁ χς. ἐπεὶ δὲ ἄνοσίων μετὰ τὸ εἶναι θς, ἐαυτὸς, φησι, τὸ κοινὸν ὧν ἀνῶν ὑπέμεινεν. ὥσπερ γὰρ οἱ ἄνοι ἅπαξ ἀποθνήσκουσιν, οὕτως ἐ ὁ χς. ἅπαξ προσενεχθείς. αὐτὸς ἑαυτὸν προσενέγκας. χ γὰρ ἐστι μόνου ἀρχιερέως, ἀλλ' ἐ θύμα. ἀνενεγκεῖν ἁμαρτίας. ἀνήνεγκε τὰς ἁμαρτίας ὧν ἀνῶν τῷ πατρὶ, ἵνα αὐτὸς συγχωρήσῃ ἐ ἐξαλείψῃ αὐτὰς. διὰ τί ἦ εἶπε πολλῶν, ἐ μὴ πάντων; ὅτι μὴ πάντες ἐπίστευσαν.

ἐπίστευσαν. ὧν γὰρ πιστευόντων ἀφαιρεῖται τὰς ἁμαρτίας. ἀπέθανε γὰρ, ἵς τὸ πάντας σῶσαι τοὺς ἤκειν ἐς αὐτὸν, τοὺς δὲ ἁμαρτίας ἀφίησι, τοῖς πιστοῖς μόνοις. ἢ τὸ, εἰς ὧν πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐν τῷ σαυρῷ φησιν, ἵνα αὐτὰς καὶ σβέσῃ, δικαίως τὼν ὑπ' αὐτῶν δίκαιον. ἐκδυτέρου χωρὶς ἁμαρτίας. ἢ τοῦτο λέγει, ὅτι ἐκδυτέρου ἐρχόμενος, χ ἵνα ἐξ ἁμαρτίας πάλιν δικαστὰς ὑμῶν ἁμαρτίας ὀφείλων ἀποθανεῖν, ἢ ὅτι χ κἐτι ῥύσεται ὑμᾶς τοὺς ἁμαρτιῶν ὥσπερ καὶ νῦν ἀφαιρῶν αὐτὰς, ἢ ὅτι χ ἁμαρτήσει κολάζων τοὺς ἀπίστους καὶ ὀνόχους, μᾶλλον τὸ σωθῆναι ὑπὲρ ἡμῶν. νῦν γὰρ ἁμαρτίαν πρίσας αὐτὸν ὁ πατὴρ ἐπεμψε. καὶ γὰρ ἰῶ σφόδρα ἁμαρτωλὸς ὁ Χριστὸς, ὡς τοὺς τὸν κόσμου ἀναλαβὼν καὶ οἰκειωσάμενος ἁμαρτίας. ἀγαπᾷ τὼν ἡμῖν τοῖς ἁμαρτωλοῖς προσήκουσαν καὶ ὀφειλομένην δίκαιον διδοὺς διὰ τὸ σαυροῦ, λοιπὸν μετὰ τῆς πατρῴας ἕξει δόξης, χ κἐπὶ ὡς ἁμαρτωλὸς καὶ μετὰ ἀνόμων καταλογιζόμενος. ὅτι γὰρ ἁμαρτωλὸς ὁ Χριστὸς, ἄκουε. τὸν γὰρ μὴ γνόντα, φησὶν, ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, οἷον αὐτὸ χρῆμα ἁμαρτίαν. Οἰκουμ.

» Σκιὰν γὰρ ἔχων ὁ νόμος ὧν μελλόντων ἀγαθῶν οὐκ αὐτὼ τὼν εἰκόνα ὧν πραγμάτων, 10
» καθ' ἰσιαν τὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύνασθαι τοὺς προσερχομένους τελειῶσαι. ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμενοι διὰ τὸ μὴ
» δὲ μίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας ἅπαξ κεκαθαρμένους; ἀλλ' ἐν
» αὐταῖς ἀνάμνησις ἁμαρτιῶν, καθ' ἰσιαν. ἀδύνατον γὰρ αἷμα Ταύρων καὶ Τράγων ἀφαιρεῖν ἁμαρτίας. Σκιὰν γὰρ ἔχων ὁ νόμος. τύπον μόνου ὧν μελλόντων ἀγαθῶν, τῆς νέας διαθήκης δηλονότι. Δύνη καὶ οὕτως νοῆσαι. εἴρηται τῷ ἐν ἁγίοις Γρηγορίῳ ἐν τῷ ἀπολογητικῷ, καὶ ἐν τῷ πὸς τοὺς πολιτευομένους, τὰ νῦν θεῖα μυστήρια, ἀντίτυπα εἶναι μελλόντων μυστηρίων. καὶ πάλιν ἐν τῷ περὶ ἀναστάσεως. μετὰ λίγον μεθ' τὸ πάσχα, φησί, νῦν μὲν τυπικῶς ἔτι, ἐς ὕστερον δὲ τελειότερον. τὸ γὰρ νομικὸν πάσχα πολλῶ καὶ λέγω, τύπου τύπος ἰῶ. Τούτων οὕτως ἐχόντων, οἶδεν ἐν Τύπος ὁ ἀπόστολος σκιὰν καὶ εἰκόνα, καὶ μέλλοντα ἀγαθὰ, ἃ καὶ πράγματα καλεῖ, τουτέστιν ἀληθῆ. ὡς γὰρ πὸς πρᾶθεσιν σκιᾶς καὶ εἰκόνος, τὰ πράγματα ἀληθειαν δηλοῖ, ἐ χαρέσιν ἀληθῆ. σκιὰν μὲν οὖν οἶδε, τὸ ἐν νόμῳ, εἰκόνα δὲ τὰ ἡμέτερα ὧν Χριστιανῶν, μέλλοντα δὲ καὶ ἀγαθὰ καὶ πράγματα ἀληθῆ, τὸ ἐν τῷ μέλλοντι αἰῶνι. ἐ γὰρ ὅσον ἀπάδει εἰκὼν ἀληθείας, τοσοῦτον εἰκόνος σκιά. ἢ μὲν γὰρ εἰκὼν ἡ καὶ μὴ αὐτὼ ἔχει τὼ ἀλήθειαν, πλὴν μίμημα ἐναρμόζεσιν ἀληθείας, τὸ σχῆμα σώζουσα διὰ ὧν χρωμάτων, καὶ τὼν ἀναλογίαν ὧν μελῶν, καὶ τὸ χρῶμα τὸ ὑποκειμένου. ἡ δὲ σκιὰ, ἴνδαλμά ἐστιν ἀμυδρὸν τῆς εἰκόνος, οὐδὲν τούτων ὧν ἡ εἰκὼν, ὑποφαίνουσα. ἐ ἡγοῦμαι τὸν θεολόγον, ἐκ τούτων ὧν ἀποστολικῶν ῥητῶν τροαχθῆναι ἢ τὰ προκείμενα. ὁμοια δὲ τούτων, καὶ ἄλλοι πλείους εἶπον πρεῖς. οὐκ αὐτὼ τὼν εἰκόνα. τὼν ἀλήθειαν. ὧν πραγμάτ. πράγματα καλεῖ, τὸν μέλλοντα βίον, εἰκόνα δὲ πραγμάτων, τ' ἐναγγελικὼ πολιτείαν, σκιὰν δὲ τῆς ὧν πραγμάτων εἰκόνος, τὼν παλαιὰν διαθήκων. ἡ γὰρ εἰκὼν ἐναργέστερα δείκνυσι τὰ ἀρχέτυπα. ἡ δὲ σκιαγραφία τ' εἰκόνος ἀμυδρότερον ταῦτα παραδηλοῖ. ταύτη γὰρ τ' παλαιᾶς διαθήκης ἀσθένειαν. πολλὰς

γάρ, φησι, θυσίας καὶ τὰς αὐτῶς κατ' ἰδίαν τὸν προσφέροντες, τελειῶσαι τοὺς κατὰ νόμον πολιτευομένους δύνανται. κατ' ἰδίαν δέ. Τί οὖν; καὶ ἡμεῖς καθ' ἑκάστην θυσίας ἀναμάκτους προσφέρομεν; ἀλλὰ καὶ ἑνὸς θανάτου χριστοῦ ἀναμνήσεις ποιούμεθα. καὶ ἓν δὲ σῶμα χριστοῦ πάντες ἐσθίομεν. ὑγρὸν μὲν ἄλλου χριστοῦ, ἄλλοτε δὲ ἄλλου, ἀλλ' ἀεὶ τοῦ αὐτοῦ. αἱ δὲ τῶν Ἰουδαίων θυσίαι, διάφορα εἶχον θύματα, οἷον πρόβατα βόας, αἶγας. διὸ πολλαὶ θυσίαι. αἱ γὰρ ἡμῶν ἡ καὶ τὴν ὑπερβολὴν πολλαί, τῇ μιᾷ δυνάμει μία. ταῖς αὐταῖς θυσίαις. ταῖς αὐταῖς τῷ τρόπῳ. τίς γὰρ θύμασι διαφόροις. ἐς τὸ διηνεκές. καθ' ἑνὸν γὰρ προσφέροντες ἐς ἀτέλεστον. οὐδέποτε δύνανται. ὁ νόμος φυτέσιν, τοῖς προσερχομένοις τελειῶσαι. δηλονότι τύπος ἐστίν. ἡ γὰρ ἀλήθεια, φυτέσιν ὁ χριστός, τοῦτο ἐτρίησε, δηλαδὴ μιᾶς θυσίας καθαρισμὸν ἐργασάμενος. ἐπεὶ οὖν ἐπαύσαντο, καθ' ἑρώτησιν ἀναγνωθι. ἐπαύσαντο γάρ, φησίν, ἁμαρτίας ἐκεῖναι αἱ θυσίαι, πάντως οὖν ἐπαύσαντο προσφερόμεναι; δηλονότι μηκέτι περιλείφθαι συνείδησιν ἁμαρτιῶν, δηλονότι καθαρίσθαι; ἀπὸ ταύτης ἀναμνησις ἁμαρτιῶν. ἐν αὐταῖς, φησι, ταῖς θυσίαις, ἀνάμνησις μόνον καὶ ἔλεγχος ἁμαρτιῶν, ἄφεσις δὲ οὐκ ἔτι. καὶ δεῖγμα τὸ μὴ εἶναι ἄφεσιν, τὸ ἀεὶ εἶναι θυσίας. ἡ γὰρ μόνον, φησίν, ἐπὶ ταῖς ἐπιγινομέναις ἁμαρτίαις αἱ θυσίαι προσφέρονται, ἀλλὰ μᾶλλον ἐπὶ πάσαις, ὡς μὴ ἀφεθείσαις, ταῖς ἤδη γινομέναις θυσίαις. ἀδύνατον γὰρ αἷμα Ταύρων. λοιπὸν δείκνισιν ἀληθῆ τὸ ἐρημόω, ἐκ τῆς ἐντελείας τοῦ ἅμαρτος.

Κεφ. ιγ'. » Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει. Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα
» δὲ κατηρτίσω μοι. ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. τότε εἶπον ἰδοὺ
» ἥκω. ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι ὁ θεὸς τὸ θέλημά σου,
» ἀνώτερον λέγων ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ
» ἠθέλησας οὐδὲ εὐδόκησας, αἵτινες κατὰ τὸν νόμον προσφέρονται. τότε εἴρηκεν. ἰδοὺ ἥ-
» κω τοῦ ποιῆσαι ὁ θεὸς τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. ἐν ᾧ
» θελήματι ἡγιασμένοι ἐσμὲν, οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ, ἐφ' ἅπαξ.

Ο χριστὸς, φησίν, ἐν σώματι εἰς τὸν κόσμον εἰσερχόμενος, λέγει διὰ μέσου τοῦ Δαυίδ. ἡ ἀνωφελεῖς, φησιν, αἱ θυσίαι, διὰ τί ὅλως ἐλέγοντο; διὰ τί; διὰ τὴν φιλονεικίαν τῶν Ἰουδαίων, καὶ διὰ τὸ ἀεὶ θύειν τοῦτο τῷ θεῷ. καὶ λοιπὸν δείκνυσιν αὐτοῖς καὶ πρὸ τῆς ἐνανθρωπήσεως τὸν κύριον, μεμισημένας θεῷ. ὑγρὸν ἔπειτεν, εἰσελθὼν ὁ χριστὸς,
Φωτ. ἀνῄρησε χόμενος, δείκνυσι ὅτι πρὶν εἰσελθεῖν ἐμεμίσηντο. ΑΛΛΩΣ. Εἰσερχόμενος εἰς τὸν κόσμον, εἶπεν, ὁ χριστὸς, ἀνῄρηκε τὰ εἰσελθών. εἰσήρχετο δὲ δηλονότι, ὅτε τῷ Δαυὶδ ὑπισχνεῖτο καὶ διετείνετο, ἐκκαρπῦν τῆς κοιλίας αὐτοῦ, καθίσαι αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ ἕως τοῦ αἰῶνος. εἰσερχόμενος οὖν εἰς τὸν κόσμον δηλαδὴ τοῦτον πρὸς τὸν Δαυὶδ σωθηκῶν, καὶ τότε λέγει δι' αὐτοῦ. ὅτι ἐστὶ θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, οὐδὲ ηὐδόκησας τὰ ἐν τῷ νόμῳ τελούμενα. καὶ οὐκ ἔπειτεν ὅτι οὐκ εὐδόκεις οὐδὲ θέλεις, ἀλλ' οὐκ ἠθέλησας, οὐδὲ ηὐδόκησας, μονονουχὶ λέγων, ὡς ἀπ' αὐτῆς τῆς καταβολῆς αὐτῶν καὶ τῆς εἰσαγωγῆς, οὐκ ἦσαν θεῷ τὸ ὅλον καταθύμιοι καὶ εὐάρεστοι αἱ θυσίαι. ἀλλὰ καὶ ἔτι αὐτῶν ἀπροδέκτα εἰσὶ διὰ τὸ ἀθέτειν ἀπροδέκτα τῶν προσαγόντων.

ἐπεὶ οὖν

ἐπεὶ οὖν καὶ ταῦτα ἀτόπου, καὶ σῶμα κατηρτίσθαι μοι, τότε ἥκω, ἐπὶ τῷ ποιῆσαι τὸ θέλημά σου. τοῦτο γὰρ καὶ εἴρηται πρὸ ἐμοῦ ἐκεῖ ἁπλῶς καὶ κατὰ πάροδον, ἀλλὰ κεφάλαιον καὶ ὑπόθεσιν τοῦ βιβλίου τοῦ πρὸ ἐμοῦ προφήτου τοῦ Μωυσέως. βιβλίον δέ, ὅλως λέγει τοὺς παλαιούς. τὸ γὰρ κεφάλαιον καὶ ἡ ἀξιολογωτάτη ὑπόθεσις τῆς παλαιᾶς, αἱ περὶ χριστοῦ προφήτεύσεις ἦσίν. θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. ἡ τοῦ θεοῦ φωνὴ προσφέρεται τὸ τοῦ χριστοῦ πρόσωπον, λέγον πρὸς τὸν πατέρα. ἐπειδή, φησιν, ὦ πάτερ, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, τοῦτο καθ' ὁλοκληρίαν τοῦ νόμου διανύουτι προσφερομένου, οὔτε μὴν εὐδόκησας ἡ ὁλοκαυτώμασι περὶ καθ' ὁλοκαυτώματα εὐδόκησας, ἤγουν ἠθέλησας. καὶ περὶ ἁμαρτίας. φυτέσι προσφορὰν περὶ ἁμαρτίας. ἀπὸ κοινοῦ τὸ, εὐδόκησας. καλῶς δέφησι περὶ ἁμαρτίας. ὧν γὰρ θυσιῶν, αἱ μὲν ὑπὲρ σωτηρίας, αἱ δὲ ὑπὲρ ἁμαρτίας προσφέροντο, ὡς ἔφην. ἐπεὶ οὐδένα τρόπον προσφορᾶς οὐδὲ θυσίας ἠβουλήθης, οὐδὲ ὁλοκαυτώματα, οὐ περὶ σωτηρίας, οὐ περὶ ἁμαρτίας, ἥκω σῶμα λαβών, τὸ ὀφεῖλον γενέσθαι θυσία εὐάρεστος, ὅπερ αὐτός μοι κατηρτίσω. τὸ πνεῦμα γὰρ ἅγιον καὶ ὑψίστου δυνάμις, ἐπεσκίασε τῇ παρθένῳ. ἥκω δέ, ἵνα τὸ σὸν πρίσω θέλημα τοῦ πατρός. ἵνα ὅσα δέδωκάς μοι, μὴ ἀπολέσω ἐξ αὐτῶν. κεφαλίδα δὲ βιβλίου Ἑβραῖοι τὸν νόμον φασίν. Ησαΐας δὲ τὸ περὶ τῆς γενησομένης ἐνσωμάτωσεως μυστήριον τοῦ μονογενοῦς διδασκόμενος, ἥκουε. γράψον μοι ἐς αὐτὸν γραφίδι ἀνθρώπου. ὅτι θυσίαν καὶ προσφοράν. ὁρᾷς ὅτι αἱ θυσίαι ἐξ ἐβραίων καὶ πρὸ τῆς ἐνανθρωπήσεως; μετὰ γὰρ τὸ μὴ θελῆσαι σέ, φησι, τὰς θυσίας καὶ τὰ ὁλοκαυτώματα, τότε εἶπον, ἰδοὺ ἥκω. τίς εἶπεν, ἰδοὺ ἥκω; ὁ Χριστὸς δηλονότι. ἥκω δέ, ἐπὶ τῷ τὸ θέλημά σου ποιῆσαι. τί δὲ τὸ θέλημα τοῦ πατρός; ἵν' ἐν υἱὸν σωθῇ ναι; ὅτι δὲ καὶ ἥξω, φησί, καὶ τὸ θέλημά σου ποιῆσω, ἐν κεφαλίδι βιβλίου γέγραπται, φησι, περὶ ἐμοῦ ταῦτα. οὕτως χρὴ σωτάξαι. προφητικὰ γὰρ ὄντα, σκολιά ἐστιν. οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας. αὐτὸς αὐτὸ ἑρμηνεύει σαφέστερον. οἵτινες κατὰ τὸν νόμον. τὸν Ἰουδαϊκὸν δηλονότι. καὶ οὐδὲ ὧν Ἰουδαίων δὲ προσφέρονται. ὁρᾷς ὅτι πρὸ τῆς καταβάσεως, ἐμεμίσητο αἱ θυσίαι; τὸ ποιῆσαι ὁ θεὸς τὸ θέλημά σου. τί οὖν; αἱ κατὰ νόμον θυσίαι οὐκ ἦσαν θελήματι θεοῦ; ἦσαν μὲν, ἀλλ' ἀναγκαστῶς. μόνον γὰρ ὅτι οὐδὲ τοῦτο εἶπεν αὐτοῖς. καθόλου μὲν αἱ ζωῦλοι θυσίαι ἐμοὶ τῷ αὐλῷ, βδελυκταί φησιν. ἀλλ' ἐπιθυμεῖτε θύειν, ἐμοὶ γοῦν καὶ μὴ τοῖς ἡδώλοις θύετε, ὅπερ οὐκ ἐν καθαροῦ καὶ πρωτοτύπου θελήματος. ἀναιρεῖ τὸ πρῶτον. ποῖον ἐστὶ τὸ πρῶτον; αἱ θυσίαι. ποῖον δὲ τὸ δεύτερον; ὁ σαυρός. αἱ θυσίαι οὖν ἐκβάλλονται, καὶ ὁ σαυρὸς, φυτέσιν ἐν τῷ χριστοῦ θυσία, ἀντεισάγεται. ἐν ᾧ θελήματι, ἡγιασμένοι ἐσμέν. διὰ οὗ θελήματος, φησίν, ἡγιασμένοι ἐσμέν. ποῖου τοίνυν; τοῦ σαυροῦ, τῆς προσφορᾶς, τοῦ σώματος τοῦ χριστοῦ. οὐ γὰρ μόνον ἀφέσεως τετυχήκαμεν, ἀλλὰ καὶ ἁγιασθημεν. οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ. ἰδοὺ ἑρμήνευσε, τί ἐστι τὸ θέλημα τοῦ πατρός. ἐν προσφορὰ τοῦ σώματος τοῦ χριστοῦ. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω περὶ θελήματος ἔλεγε, εἶπε λοιπὸν τί ἐστι τὸ θέλημα. ἐφάπαξ, φησί, φυτέσιν ὑ κατὰ τὸν τρόπον τῶν Ἰουδαϊκῶν θυσιῶν, ἀλλ' ἐφ' ἅπαξ. ἐφ' ἅπαξ. οἱ διὰ τῆς

ἐφ' ἅπαξ

ἐφ' ἅπαξ προσφορᾶς τῦ σώματος Ιησῦ Χριστοῦ.

» Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσ-
» φέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας. αὐτὸς δὲ μίαν ὑπὲρ
» ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τῦ θεοῦ, τὸ λοι-
» πὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτῦ ὑποπόδιον τῶν ποδῶν αὐτῦ.

Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε. ἆρα τὸ ἑστάναι, σημεῖον ἐστὶ τῦ λειτουργεῖν. τὸ δὲ καθῆσθαι, ὥσπερ ὁ Χριστὸς ἐκάθισεν ἐν δεξιᾷ τῦ πατρὸς, σημεῖον ἐστὶ τῦ λελειτουργηκέναι οἷα θεὸν ὄντα. καθ' ἡμέραν λειτουργῶν. τὰς αὐτὰς, φησὶν, ὅτι ὑπὲρ τῶν αὐτῶν προσφέροντα ἀεὶ, μὴ ἰσχυόντων τῶν μεγονότων καὶ μνομένων θυσιῶν καὶ προσφορῶν, μηδεμίαν ἁμαρτίαν καθαρῶς περιελεῖν καὶ ὁλοκλήρως. αὐτὸς δὲ μίαν. ὁ Χριστὸς δηλονότι. ὑπὲρ ἁμαρτιῶν. τῶν ἡμετέρων, ὑπὲρ ὧν πέπονθεν. εἰς τὸ διηνεκὲς. μίαν, εἰς τὸ διηνεκὲς ἀρκοῦσαν. τὸ λοιπὸν ἐκδεχόμενος. καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἐτέθησαν ὑπὸ τοὺς πόδας αὐτῦ οἱ ἐχθροὶ αὐτῦ; δηλ. τοὺς μέλλοντας γίνεσθαι καὶ πίστεσθαι πιστούς. οὐ γὰρ Δαίμονες μόνον ἐστὶν ἐχθροὶ, ἀλλὰ καὶ ἄπιστοι. ἕως τεθῶσιν. οὐκ εἶπεν ὑποταγῶσιν, ἀλλὰ τὸ μέσον τῆς ὑποταγῆς σημαίνων, τεθῶσιν εἶπεν. ὑποπόδιον τῶν ποδῶν αὐτῦ. τῦ δὲ τεθῆναι αὐτοὺς ὑποπόδιον, ἀπόδειξις τὸ καθῆσθαι αὐτὸν ἐν δεξιᾷ τῦ πατρὸς.

» Μιᾷ γὰρ προσφορᾷ, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. μαρτυρεῖ δὲ
» ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον. μετὰ γὰρ τὸ προειρηκέναι, αὕτη ἡ διαθήκη ἣν διαθήσο-
» μαι πρὸς αὐτοὺς, μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος, δώσω νόμους μου ἐπὶ καρδίας
» αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτοὺς, καὶ τῶν ἁμαρτιῶν αὐτῶν,
» καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ὅπου δὲ ἄφεσις τούτων, οὐκ ἔτι προσφο-
» ρὰ περὶ ἁμαρτίας. Μιᾷ προσφορᾷ. ὡς προσηνέγκατο ὁ Χριστὸς τετελείωκεν. τελείους ἀπεργάσατο, τελείως ἀπήλλαξε τῶν ἁμαρτιῶν. τοὺς ἁγιαζομένους. τουτέστι τοὺς πιστούς. οὐ περὶ γὰρ ἐκτὸς ἀθρήτως προσφορᾶς ἁγιάζονται. μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα. τί μαρτυρεῖ; ὅτι ἀφέθησαν ἡμῶν αἱ ἁμαρτίαι. εἰ δὲ ἁμαρτιῶν αὐτῶν. προσέθηκε, φησὶ, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ὁρᾶς ὅτι ἐμαρτύρησεν ἄφεσιν ἁμαρτιῶν; τότε δὲ ἄφηκεν, ὅτε τὴν νέαν ἐδίδου διαθήκην. τὴν δὲ νέαν διαθήκην, διὰ τῆς θυσίας ἔδωκε τῦ ἰδίου αὐτῦ Ιησῦ Χριστῦ τῦ κυρίου ἡμῶν. ὅπου δὲ ἄφεσις τούτων. τῶν ἁμαρτιῶν δηλονότι. οὐκ ἔτι προσφορὰ περὶ ἁμαρτίας. τίς γὰρ φησι χρεία πολλῶν προσφορῶν, τῆς μιᾶς ἵνα τοιαύτης προσήγαγεν, ἰσχυσάσης περιελεῖν
» τὰς ἁμαρτίας; Ἔχοντες οὖν ἀδελφοὶ παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ
» αἵματι Ιησοῦ ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τῦ καταπετάσματος
» τουτέστι τῆς σαρκὸς αὐτῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τῦ θεοῦ, προσερχώμεθα μετὰ
» ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως
» πονηρᾶς, καὶ λελουσμένοι τὸ σῶμα ὕδατι καθαρῷ. κατέχωμεν τὴν ὁμολογίαν τῆς
» ἐλπίδος ἀκλινῆ. πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος.

Ἐπειδὴ ἀπέδειξε πολὺ τὸ μέσον τῆς νέας ὡς πρὸς τὴν παλαιὰν, ἦλθεν εἰς τὸν περὶ πίστεως

περὶ πίστεως καὶ βίου λόγον. παῤῥησίαν εἰς τὴν εἴσοδον. ὥσπερ φησὶν ἠσχυώμεθα πρότερον ἁμαρτιῶν γέμοντες, οὕτως νῦν ἔχομεν παῤῥησίαν ἑστάναι οὐ τῷ οὐρανῷ, ἀλλὰ τὴν δωρηθεῖσαν ἡμῖν ἄφεσιν. εἴσοδον γὰρ ἁγίων, τὸν οὐρανόν φησι, καὶ τὴν πρόοδον τὴν εἰς τὰ πνευματικά. ἐν τῷ αἵματι Ιησῦ. διὰ τῦ αἵματος. διὰ γὰρ τῦ αἵματος τῦ σταυροῦ τῦ Χριστοῦ, τὴν ἄφεσιν ἔχομεν καὶ τὴν παῤῥησίαν. ἣν ἐνεκαίνισεν ἡμῖν. ἣν ἐδόθη ὡς ἁγίων, καὶ ὁδὸν ἀπαίρουσαν εἰς αὐτὴν, νῦν νεωστὶ ἔτεμε. τὴν γὰρ, ἐνεκαίνισε. πρόσφατον. ἐκῶν ἡμετέρων, φησὶν, ἀρξαμένων χρόνων. καὶ χάσμα δὲ ἦν τὴν, ὅτι ἐπὶ ὧν χρόνων ὧν ἀμφὶ τὸν Αβραὰμ, ἐκ τῶν αὐτὴ ἦν ὁδὸς, οὐκ ἐφ' ἡμῶν. καὶ ζῶσαν. ἦν γὰρ τρώτη ὁδὸς, ἐπὶ θάνατον ἦγε καὶ εἰς ἀπιστίαν. αὕτη δὲ, καὶ εἰς ζωὴν ὄντως φέρει, ὅτι καὶ αὐτὴ ζῇ καὶ διαιωνίζει, πρόσφατον ἡμῶν, ἵνα μή τις εἴπῃ, ἐκοπίασε καὶ πρόσφατος καὶ παυθήσεται. γηράσκουσα γὰρ καὶ παλαιουμένη καὶ αὕτη, ὥσπερ καὶ ἡ τῆς παλαιᾶς διαθήκης καταλυθήσεται. οὐ μενοῦνα φησιν. ἀλλὰ πρόσφατος οὖσα, ἀεὶ νεάζουσα καὶ ζῶσα ἔσται, οὐδέποτε ἔχουσα θάνατον καὶ κατάλυσιν. διὰ τῦ καταπετάσματος. τοῦτο γὰρ πάντα τὰ ἀγαθὰ, διὰ τῆς τῦ Χριστοῦ σαρκὸς ἐκ τῆς σφαγῆς αὐτῆς, γέγονεν ἡμῖν. αὕτη καὶ κατεσκεύασε τρόσφατος τὴν εἰς οὐρανοὺς ὁδὸν, τρώτη βαδίσασα αὐτήν. καλῶς δὲ τὴν τῦ Χριστοῦ σάρκα καταπέτασμα καλεῖ. ὅτε γὰρ ἐπῆρθη εἰς ὕψος, ῥυτέον ἦν τῷ σταυρῷ, τότε ἐφάνη τὰ ἐν οὐρανοῖς, ὅπερ οἰκεῖον καταπετάσματος, καὶ ὅτι ἐκρύβη ἐν ἑαυτῇ τὴν θεότητα. καὶ τοῦτο γὰρ ἴδιον καταπετάσματος. καὶ ἱερέα μέγαν. τὸ ἔχοντες ἀντὶ τοῦ κοινοῦ. ἱερέα δὲ φησὶ τὸν κύριον. ἐπὶ τὸν οἶκον τῦ θεοῦ. οἶκον θεοῦ, τοὺς πιστοὺς λέγει, κατὰ τὸ, ἐνοικήσω ἐν αὐτοῖς, ἐμπεριπατήσω. προσερχώμεθα μετ' ἀληθινῆς καρδίας. τῇ πίστει τῦ Χριστοῦ μετὰ ἀληθείας, μηδὲν νόθον ἢ ὑπουλον ἔχοντες. ἐν πληροφορίᾳ πίστεως. ἐπειδὴ γὰρ λοιπὸν οὐκ ἔστιν ὁρατὸν σκιὰ, οὔτε ὁ ναὸς, τουτέστιν ὁ οὐρανὸς, οὔτε ὁ ἀρχιερεὺς, τουτέστιν ὁ Χριστὸς, οὔτε ἡ θυσία, τουτέστι τὸ σῶμα αὐτῦ, χρεία λοιπὸν πίστεως. καὶ ἐπειδὴ ζῶμεν καὶ πιστεύομεν καὶ διδασκόμεθα, φησὶν, ἐν πληροφορίᾳ πίστεως, τουτέστιν ἵνα πεπληροφορημένοι ἐσμὲν περὶ τούτων. ἐῤῥαντισμένοι τὰς καρδίας. δείκνυσιν ὅτι οὐ πίστεως μόνης χρεία, ἀλλὰ καὶ ὀρθοῦ βίου. ἐῤῥαντισμένοι. οἱ Ιουδαῖοι, φησὶν, ῥαντίζονται τὰ σώματα αὐτῶν, ἡμεῖς δὲ ῥαντίσωμεν καὶ καθαίρωμεν τὰς συνειδήσεις ἡμῶν, εἰς τὸ μηδὲν ἡμᾶς ἑαυτῆς συνειδέναι πονηρόν. ὕδατι καθαρῷ. τουτέστι τῷ βαπτίσματι. Ιουδαῖοι μὲν γὰρ λουόμενοι, τὸ σῶμα μόνον ἐκάθαιρον, ἡμεῖς δὲ ψυχὴν καθαίρομεν τῷ βαπτίσματι. καθαρὸν γάρ ἐστι τὸ παρ' ἡμῖν ὕδωρ, τουτέστι καθαρτήριον. κατέχωμεν τὴν ὁμολογίαν. κατέχωμεν, φησὶ, τὴν περὶ τῆς ἐλπίδος ταύτης ὁμολογίαν βεβαίαν καὶ ἀσάλευτον. τρίας ἐλπίδος; τὸ ἐλπίζειν διὰ τῦ αἵματος τοῦ χριστοῦ, τὴν εἰς οὐρανοὺς εἴσοδον. τὸ, ἀφεῖσθαι ἡμῖν διὰ αὐτῦ τὰς ἁμαρτίας. τὸ, ἀξιωθῆσεσθαι ὑποστάσεως δι' αὐτῦ. πιστὸς γὰρ, τουτέστιν ἀληθὴς ὁ ἐπαγγειλάμενος. τί δὲ ἐπηγγείλατο; τὸ σωθῆναι ἡμᾶς εἰς τὴν βασιλείαν αὐτῦ. θέλω γὰρ, φησὶν, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσι μετ' ἐμοῦ. τὸ γὰρ Κεφ. ιδ'
» οὗτοι, διὰ τοὺς πιστοὺς εἶπεν. Καὶ κατανοῶμεν ἀλλήλοις εἰς παροξυσμὸν ἀγάπης καὶ

» τοις δὲ καλῶν ἔργων, μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τι
» σὶν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέποντες ἐγγίζουσαν τὴν ἡμέραν.
Καὶ καταναοήσωμεν ἀλλήλους, ὅτι, φησὶν, ἀδελφοί ἐσμεν, ὅτι ποίμνη μία τοιμὴν εἷς.
τοῦτο γὰρ αὐξήσει τὴν εἰς ἀλλήλους ἀγάπην. ἢ καταναοῶμεν εἴτις θαύμαστος, ἵνα τοῦτον
ζηλώσωμεν. ἢ πρὸς ἐκεῖνα ἀλλήλους κινοῶμεν. ὧν ἡ πλουσιαγαμοζύνη ἐξέρευνα δὲ καταν-
όησις εἰς ἀγάπην ἀκονᾷ καὶ παραθήγει. τοῦτο δέ τοιοῦσιν, οἱ φαῦλον μὲν οὐδὲν ἀλλή-
λων μηδὲν ἀνεχόμενοι, πάντα δὲ εἰς τὸ ἀγαθὸν καὶ ἄμεμπτον ἐκλαμβάνοντες, καὶ ἃ
δοκεῖ εἶναι ἐλαττώματα. εἰς παροξυσμὸν ἀγάπης. εἰς τὸ παροξύναι καὶ αὐξῆσαι τὴν
εἰς ἀλλήλους ἀγάπην. καὶ καλῶν ἔργων. καὶ ἵνα προκοπτώμεν ζηλοῦντες τοὺς ἐν
ἀγαθοῖς ἔργοις. τὴν ἐπισυναγωγὴν ἑαυτῶν. τὸ γὰρ ἀεὶ σωὴ χθαι ἐπαναπαύεται, ἀγάπης
ἐστὶ γνωρισμός. διὸ τὸν χωρισμὸν ἀπαγορεύει. ἔργον γὰρ τῆς ἀγάπης, οὐχὶ διαίρεσις, ἀλλ' ἡ ἀκριβὴς ἕνωσις. ἐπισυναγωγὴν, τὴν συμφωνίαν ἐπαίνεσεν. ἀλλὰ πα-
Φωτ. ρακαλοῦντες. Τίνα; τὴν ἐπισυναγωγὴν ἑαυτῶν, τουτέστιν ἀλλήλους. ἀντὶ κοινοῦ γὰρ τὴν ἐπισυναγωγὴν ἑαυτῶν λητέον. παράκλησις δὲ ἐπισυναγωγῆς, τὸ, προ-
θύμως καὶ διὰ μακροῦ τοῦ χρόνου ἐπισυνάπτεσθαι ἑαυτοῖς. ΑΛΛΩΣ.
Αλλὰ παρακαλοῦντες. τοῖς ἀσθενεστέροις δηλονότι. καὶ τοῦτο, φησὶ, μᾶλ-
λον δεῖ ἡμῖν ἀγάπης καὶ καλῶν ἔργων ἀντιποιεῖσθαι, ὅσῳ μᾶλλον τλησιάζῃ ἡ ἡμέρα τῆς κρίσεως. τοῦτο δὲ καὶ πλημμύρια ἴσως αὐτοῖς, ἀπειρηκόσι πρὸς τὴν πειρασμούς.
» Εκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας,
» οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία. φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς
» ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. ἀθετήσας τις νόμου Μωυσέως χωρὶς οἰ-
» κτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται
» τιμωρίας, ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησά
» μενος; ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας. οἴδαμεν γὰρ τὸν εἰπόντα,
» ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω λέγει κύριος. καὶ πάλιν. κύριος κρινεῖ τὸν λαὸν αὐ-
» τοῦ. φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος.
Εκουσίως γάρ. ὡς πάλιν ἀκούσια, ἐλαφροτέραν ἔχει τὴν τιμωρίαν. ἁμαρτανόν-
Οἰκουμ. των ἡμῶν. σημειώσαι ὅτι οὐκ εἶπεν ἁμαρτησάντων, ἀλλὰ τῷ παρατατικῷ ἐχρήσα
το, δεῖξαι θέλων τὸ ἄχρι τελευτῆς ἐπιμένειν τῇ ἁμαρτίᾳ. ὅθεν γὰρ μάλιστα δῆλον, ὅτι οὐκ ἀναιρεῖ τὴν μετάνοιαν. μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν. τουτέστι τὴν περὶ
χριστοῦ πίστιν. οὐκ ἔτι περὶ ἁμαρτιῶν. ἢ τὸ ὁλοσχερὲς ψιλὸν τὰς ἁμαρτίας. ἦσαν γὰρ πρὸ
Ιουδαίοις προσφερόμεναι θυσίαι ὑπὲρ ἀφέσεως αὐτῶν, μὴ ὅτι καὶ ἐκεῖναι ὑπὲρ ἀκουσίων. ἀπολείπεται θυσία. οὐκ ἀναιρεῖ τὴν μετάνοιαν, μὴ γένοιτο, ἀλλὰ τὸ εἶναι δεύτερον βάπτισμα ἀπαγορεύει. θυσίαν γὰρ ὠνόμασε, τὸν σωτῆρα καὶ τὸ βάπτισμα καλεῖ, καθὼς καὶ ἀλλαχοῦ φησι. μιᾷ γὰρ θυσίᾳ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. καὶ πυρὸς ζῆλος. ὥσπερ γὰρ ὁ ζῆλος τινὸς κεκτουμένου ἐκεῖνο τὸ πῦρ, δαπανᾷ καὶ κατεσθίει τοὺς ἐμβλιθέντας. ὑπεναντίοις δὲ λέγει, ἢ μόνον τοὺς ἀπί
στους, ἀλλὰ καὶ τοὺς ἀντικρισὼς πραγμάτων τὸ χριστοῦ πράττοντας. ἀθετήσας
τὸν νόμου

τὸν νόμου Μωυσέως. ἀπὸ τοῦ ἐλάττονος ἡ σύγκρισις. βούλεται γὰρ δεῖξαι τὸν τοῦ
πυρὸς καῦσιν δικαίως οἴσειν καὶ τῶν ὑπεναντίων. νόμου δὲ Μωυσέως λέγει, διὰ τὸ
τὰ πολλὰ ὧν ἐν τῷ νόμῳ αὐτοῦ διατετάχεναι. ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν. ἐὰν γὰρ
δύο ἢ τρεῖς ἐμαρτύρησαν, οὐκέτι ἦν μοιχὸς ἢ συγγνώμη, ἀλλὰ τεθνήσκει. ἡ δὲ τῶν
ἀνθρώπων τοῦ νόμον, φησὶ, τουτέστι Μωυσέως νόμον παραβαὶς ἀσυγγνώστως μετὰ τῶν
μαρτυρίαν ἀποθνήσκει, τί δοκεῖτε δεῖν ὑπομένειν τοὺς τοῦ Χριστοῦ τοὺς νόμοις καταπα
τήσαντας; ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας. πῶς δὲ τις καταπατεῖ τὸν υἱὸν τοῦ θεοῦ;
ὅταν αὐτοῦ παρακούῃ. ὅταν αὐτοῦ μεταλαμβάνων, ἁμαρτίας ἐργάζεται. τοῦτο γὰρ
καταπατήσας, τὸ καταφρονήσας. καὶ τὸ αἷμα τῆς διαθήκης. αἷμα διαθήκης, τὸ αἷ
μα χριστοῦ φησι. διαθήκην γὰρ τὴν νέαν ἐλήφαμεν διαθήκην. κοινὸν ἡγησάμενος.
κοινὸν, τὸ μηδὲν τῶν ἄλλων διαφέρον, οἷον λέγουσιν οἱ φάσκοντες αὐτὸν φιλὸν ἄν-
θρωπον. οὔτι γὰρ, ὑδὲν τοῦ ἰδιωτέρου διαλάττον ἡγοῦνται αὐτόν. εἶτα τὸ
ἀχάριστον αὐτῶν δεικνὺς, φησὶν, ᾧ τῷ ἰδιώτῃ. καὶ τὸ πνεῦμα τῆς χάριτος ὑβρί-
σας. ὁ γὰρ τὸν Διάβολον ἐνεργείαν μὴ δεχόμενος, ὕβρισε τὸν παρέχοντα. ἐποίη
σεν οὖν θεοῦ, σὺ δὲ βούλει εἶναι δοῦλος πάθους. ἦλθον οἰκῆσαι ἐν σοί, σὺ δὲ ἐπει
σάγῃς σαυτῷ τὸν Διάβολον. ἆρα ταῦτα οὐχ ὕβρις κατὰ τοῦ πνεύματος; οἴδαμεν γὰρ τὸ ἡηθέν
τα. ἐὰν ὅτι ταῦτα ἀληθῆ, φησὶν, αὐτὸς ὁ θεὸς μαρτυρεῖ, λέγων. ἐμοὶ ἐκδίκησις. ποῦ
τέστι πᾶν ἐμοὶ τὸ ἐκδικεῖν. ἐγὼ ἀνταποδώσω λέγει κύριος. ῥῆμα δὲ τοῦτο ἔφασαν, ἐπαραμυ
θεῖται αὐτῇ ἐφ' οἷς ἐκακοῖς ἔπασχον ὑπὸ ὧν ἐδόκουν συμφυλετῶν, ὡσεὶ ἔλεγε. τί ἀδη-
μονεῖτε, ἔχετε τὸν ἐκδικοῦντα ἐν ἀνταποδιδόντα τοῖς ἐπηρεάζουσιν ὑμᾶς δίκην.
» Αναμιμνήσκεσθε δὲ τοὺς πρότερον ἡμέρας ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν Κεφ. ιε.
» ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο
» δὲ κοινωνοὶ ὧν οὕτως ἀναστρεφομένων γενηθέντες. καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσα
τε, καὶ τὴν ἁρπαγὴν ὧν ὑπάρχοντων ὑμῶν, μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔ-
χειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. μὴ ἀποβάλητε οὖν τὴν παρ
ρησίαν ὑμῶν, ἥτις ἔχει μεγάλην μισθαποδοσίαν. ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ
θέλημα τοῦ θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν.
Παρὰ τὴν ἀρχὴν, φησὶ, τῆς πίστεως ὑμῶν ἠγωνίσασθε. τοῦτον οὖν ἔχετε τὸν ἀ-
γῶνα, μὴ ποτὲ διὰ ῥᾳθυμίας ἀπολέσητε τὰ προηγωνισμένα. ὁρᾶ εὐφυΐαν. καταστή
σας αὐτῶν τὰς ψυχὰς ἐπὶ μνήμην τοῦ πυρὸς ἐκείνου, ναὶ δὴ ἐγκωμίων αὐτοὺς ποιεῖται. ἐν αἷς φωτισθέντες. ἢ περὶ τοῦ βαπτίσματος φησὶ, τὸ, φωτισθέντες, ἢ περὶ τῆς ἐ-
πιγνώσεως τοῦ χριστοῦ. τοῦτο μὲν, ὀνειδισμοῖς. γυναῖας δεῖται ψυχῆς τὸ φέγγεσθαι
ὀνειδισμοὺς καὶ ὕβρεις ἢ καὶ κατ' ἰδίαν γίνωνται. ἐπειδὴ δὲ φανερῶς καὶ ἐπὶ πάν-
των, (τοῦτο γὰρ τὸ θεατριζόμενοι,) γυναιοτέρας χρήζει. τοῦτο δὲ κοινωνοί. ἡ μόνον, φησὶ, τοὺς εἰς ὑμᾶς ὕβρεις γυναίως ἠνέγκατε, ἀλλὰ καὶ κοινωνοὶ ὧν ὑβριζομέ-
νων ἐλύσατε, τοῖς ἀναστρεφομένων δὲ. ἐν ὀνειδισμοῖς καὶ θλίψεσι. καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε. ἡ μόνον, φησὶν, ὑμεῖς ἐκεκλήθητε παρα-
κλήσεως, ἀλλὰ καὶ ἄλλοις δεδεμένοις, χεῖρας ὠρέξητε. καὶ γὰρ τὴν ἁρπαγήν.

μέγα

μέγα τὸ ὑπεγκεῖν τὴν ἀρπαγὴν ὧν ὑπαρχόντων, τὸ δὲ καὶ μετὰ χαρᾶς, ἀπροσδόκητον. μετὰ χαρᾶς προσεδέξαθε. τὴν ἐκούσιον αὐῶν ὑπομονὴν ἐπῄνεσε. γινώσκοντες ἔχειν. ἰδοὺ καὶ πίστιν αὐτῆς μαρτυρεῖ. καὶ μένουσαν. ῥητέσι βεβαίαν, ἀλλ' ὡς τὴν ἐνταῦθα τὴν ἀπρλλυμένην, καὶ μεταβαίνουσαν ἀπ' ἄλλων εἰς ἄλλους. μὴ ἀπροβάλητε οὖν. δείκνυσιν ἐπὶ αὐτοῖς ἐχομένους ὧν αὐῶν. τὴν παῤῥησίαν ὑμῶν. ἔχουσι γὰρ παῤῥησίαν πρὸς θεῷ, οἱ πιστῶς δι' αὐτὸν ὑπομένοντες. Μὴ ἀπροβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, τὴν αὐτὸ τῶν ἔργων ὑμῶν, τὴν αὐτὸ τῆς πίστεως, τὴν ἀπ' ὧν πειρασμῶν, τὴν ἀπὸ τῆς ὑπομονῆς. ταῦτα γὰρ ἔστι τὰ μεγάλα ἡμῖν τὴν παῤῥησίαν, ὅτι τυγχάνομεν τῆς ἐπαγγελίας, χαριζόμενα. ἥτις ἔχει μισθαποδοσίαν. καὶ πρόθεν τὸν δῆλον; ὑμεῖς, φησι, μάρτυρες οἱ γινώσκοντες ἔχειν κρείττονα ὕπαρξιν ἐν οὐρανῷ καὶ μένουσαν. ὑπομονῆς γὰρ ἔχετε χρείαν. ἀλλὰ περσθήκλιν. ἀπ' ὑπομονήν, ἵνα τοῖς αὐτοῖς ἡμείνητε. ἵνα τὸ θέλημα τοῦ θεοῦ. θέλημα τοῦ θεοῦ, τὸ ἄχρι τέλους ἡμεῖναι τοῖς αὐτοῖς, ἐστὶ τὸ ὑπομεῖναι τὴν ἀναβολὴν τῆ ἀνταποδόσεως ἐπὶ τῆ ἐπαγγελίας. Θέλημα τοῦ θεοῦ, τὸ πιστεύειν ἀληθινῶς εἰς αὐτὸν, ἐστὶ πράττειν τὰς ἀρετάς, ἐστὶ ἔτι τὸ ὑπ' αὐῶν καιροῦ καλοῦντος μὴ χρὶς αἵματος ἀγωνίζεσθαι. οἱ γὰρ τοιοῦτοι κομίζονται τὴν ἐπαγγελίαν.

» Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ, ὁ δὲ Δίκαιος ἐκ πίστεως ζήσεται. καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

Καὶ πρότε, φησὶν, ἐρχόμενον κομίσασθαι τὴν ἐπαγγελίαν; μὴ ἀποκνήσητε, φησὶν. ἐγγύς ἐστιν ὁ παρέχων. ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. τὸ δὲ, ὅσον ὅσον, τὸ πάνυ μικρὸν δηλοῖ. ὁ δὲ Δίκαιος ἐκ πίστεως ζήσεται. δεῖ οὖν πιστεύειν ὅτι ἥξει. ὁ γὰρ Δίκαιος ἐκ πίστεως ζήσεται). ἐὰν δέ, φησὶ, ῥᾳθυμήσας ὑποστηλῆ, ἢ ἐκ τῆς πίστεως, ἢ ἐκ τῶν πειρασμῶν, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ὡς ἀπὸ τοῦ Χριστοῦ δέξασθαι τὸν ὅλον. τὸ δὲ οὐκ εὐδοκεῖ, ῥητέσιν ὡδὲν ἀγαθὸν βουληθῆ ἢ θελήσει ἡ ψυχή μου. ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν. ἐπειδὴ κατέστειλεν αὐτοὺς ἀθρικώς, ἐὰν ὑποστείληται, φησὶν, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. διορθοῦται αὐτὸ, καὶ φησὶν. ἡμεῖς οὐκ ἐσμὲν τῆς ὑποστολῆς καὶ τῆς ῥᾳθυμίας, ἀφ' ἧς ἀπώλειαν ἄγει, ἀλλὰ τῆς πίστεως, φησὶν, εἰς τὸ περιποιῆσαι ἑαυῶν τὰς ψυχὰς καὶ σωθῆναι.

Κεφ. ιε΄. 11 » Ἐστὶ δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. πίστει πλείονα θυσίαν Ἄβελ προσήνεγκε τῷ θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι Δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.

Λοιπὸν ἐκφράζει τί ἐστι πίστις, καί φησι, πίστις ἐστὶν, αὐτὴ ἡ ὑπόστασις καὶ οὐσία ὧν ἐλπιζομένων πραγμάτων. ἐπειδὴ γὰρ τὰ τῆ ἐλπίσιν ἀνυπόστατά ἐστιν ὡς τέως μὴ παρόντα τῆ πίστις οὐσία τίς αὐῶν καὶ τῆ ὑπόστασις γίνεται, εἶναι αὐτὰ καὶ παρεῖναι τρόπον τινὰ παρασκευάζουσα, διὰ τὸ πιστεύειν εἶναι. ἔστι δὲ τῆ πίστις ἔλεγχος καὶ ἀπόδειξις ὧν οὐ βλεπομένων. ἀποδείκνυσι δὲ ὁρατὰ τὰ ἀόρατα ἡ πίστις. ὡσὼς τῷ νῷ

ἀρνίου τοῦ ἐσφαγμένου. ἐπεὶ ὧν γέγραπται, ἀπὸ καταβολῆς κόσμου γέγραπται. οὕτω γὰρ δεῖ νοεῖν, οὐχ ὡς, ἐν γραφῇ ἔχει, ὅτι μηδὲ ἀπὸ καταβολῆς κόσμου ἐν τῷ ἀρ
νίου σφαγή. Τίνων δὲ τὰ ὀνόματα μὴ προσκυνησάντων τῷ δράκοντι ἐν τῇ βίβλῳ τοῦ ἀρ
νίου ἐγράφησαν; οἱ τριοῦ τριφέρειαν εἰπεῖν ὡς ὁ Ἰωὴβ καὶ οἱ τέσσαρες αὐτοῦ φίλοι καὶ πάντες οἱ
Δι' εὐσέβειαν μαρτυρούμενοι ἐν τῇ παλαιᾷ. Τούτου τοῦ βιβλίου καὶ τὸν κύριον Ἰησοῦν
Χριστὸν καὶ Λουκᾶς φησιν ἐν τῷ εὐαγγελίῳ μνημονεῦσαι ἐνίοτα λέγει. χαίρε-
τε ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.

» Εἴτις ἔχει οὖς ἀκουσάτω. εἴτις αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν ὑ-
» πάγει. εἴτις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι. ὧδε δέ
» ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

Εἴτις φησὶν ἔχειν οὖσι, τῷ ἐγκειμένῳ παραπόμπων πρὸς δηλοῦν τῶν ῥημάτων ἐκφε-
ρομένῳ ζώνοιαν, ἀκουσάτω τῶν ῥηθέντων καὶ γνώτω, ὅτι ὁ τοῦ τὸ αἰχμαλωτίζειν
ἑτέροις προσήκειν, δέξεται τὰ ἐπίσης τῶν πεπραγμένων αὐτῷ. τότε γὰρ βούλεται
παρίστασθαι τὸ ὑπάγειν, οἷονεὶ, εἰς ἀνέκπτωσιν ἑαυτῷ τὸν μόχθον καταβάλλειν, τὸ καὶ αὐ
τὸν αἰχμαλωτισθῆναι ὑπὸ τοῦ θηρίου μηδεμιᾶς ἀναλήψεως τυγχάνων ὑπὸ τοῦ θεοῦ τοῦ
μὴ ἀπαχθῶσαι.

μὴ ἀπαχθῶσι. ὧδε νοοῦνται ἡ ὑπομονὴ τῶν ἁγίων καὶ οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Σατανᾶ ἐγνωμένους τοῖς εὐσεβέσι καρτερικώτατα διαβεβοημένων, καὶ διὰ τῆς πίστεως δεδοκιμασμένων ἀγίων, ὅτι καὶ αὐτοὶ πίστει κατώρθωσαν τὰ ἐπαινετὰ πάντα, εἶπε Παύλῳ πιστεύσαντι Ἑβραίοις οὕτω διεξιόντι ταῦτα πλατύτερον.

» Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα ὅμοια ἀρνίῳ, » καὶ ἐλάλει ὡς Δράκων. καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον » αὐτοῦ. καὶ ἐποίει τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας ἵνα προσκυνήσουσι τὸ » θηρίον τὸ πρῶτον. Πολλὰς ἐκδρομὰς ποιησάμενος ἐκ τῶνδε τῶν ἀρχῶν, εἰς προλαβεστέρας ἀρχὰς ἀναβας, ἔφθασεν εἰς τὸ ἀσυνδιάλυτον. ὅπερ γὰρ ἄλλο, ἢ τὸ διαγνῶσαι τὸ περὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου. καὶ ὅρα τί φησι περὶ αὐτοῦ, ἐκ τῆς γῆς δηλαδὴ ἀναβαίνειν αὐτὸν, ὅπερ καὶ πᾶσιν ἀνθρώποις ἡ γένεσις. ἄνθρωπος γὰρ καὶ αὐτὸς κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ὡς καὶ Παύλῳ τῷ θείῳ δοκεῖ. τὰ κέρατα δὲ γὰρ ἀρνίου, ἀλλ' ὅμοια ἀρνίῳ, ἐπειδὴ φαντάζεται ἑαυτὸν εἶναι ὡς ὁ χριστὸς, ἵνα πλανᾷ. δηλοῖ τῷ μὴ ὁμοιότητα τῶν κεράτων, ἤγουν τῆς δόξης. καὶ ὡς δράκων λαλεῖ οὐκ ὡς Δράκων. ἀλλ' ὁ Σατανᾶς ἐστιν αὐτὸ χρῆμα, ἀλλ' ὡς ἐκεῖνος πολυπραγμονῶν, τοιοῦτος διάδοχος γίνεται τῆς ἐξουσίας τοῦ Διαβόλου. ἔμπροσθεν δὲ, οἱονεὶ ἀκολούθως ἐκείνῳ, κατ' ὀλίγον παραλλάττων τῆς παρουσίας τὸ πρώτου Σατανᾶ.

» Οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ.

Εἰπὼν ὅτι τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖται ἐνώπιον αὐτοῦ, πρῶτον δὲ πάντων εἶρηκε τὸν Δράκοντα τὸν πυρρὸν ὃν εἶδεν ἐν τῷ οὐρανῷ γεγραμμένον ἐν τῇ ὀπτασίᾳ, ἵνα μήτις νομίσῃ νῦν λέγειν αὐτὸν περὶ ἐκείνου, ὃς τὴν ἐξουσίαν ἔλαβε τοῦ πρώτου θηρίου, ἀλλὰ περὶ ἐκείνου φησὶ τοῦ πρώτου λέγω, ἀλλὰ τοῦ μετ' ἐκεῖνον μὲν, πρὸ δὲ τοῦ ἀντιχρίστου, ὃν ἡ ὀπτασία εἶδεν ἐκ τῆς θαλάσσης ἀναβαίνειν, ὅμοιον ὄντα Παρδάλει. τοῦτον γὰρ ἡ πληγὴ ἰάθη κατὰ τὸ πρότερον ἡμιμένον. σημεῖα γὰρ καὶ τέρατα αὐτὸν ποιεῖν κατ' ἐνέργειαν τοῦ Διαβόλου. τὰ δὲ σημεῖα πυρὸς ἀπ' οὐρανοῦ καταφορὰ, καὶ ἕτερά τινα μεγάλα, ὡς τὴν μεγαλειότητι ἐκπλήσσοντα λαβεῖν καὶ πιστοῦσθαι. τέρας γὰρ δηλοῖ τὸ θαῦμα καὶ πλανᾶ τοὺς ἐμοὺς σημαίνει. ἵνα δὲ παρασήμῃ τίνας πλανήσῃ ὧν χρισοῦ παῖδων, ἐπήγαγε γνώρισμα τούτων, τοὺς κατοικοῦντας προφθείς ἐπὶ τῆς γῆς, ὃ δηλοῖ λων ἀγγέλους ἀνθρώπων. τίνας γὰρ ἔχουσιν ἀπαντᾶν ὧν ἀγγέλων εἰσὶ φυσικὴ καθαριότης ὃ δὴν ἡ ἐπίκρυψιν ἀληθείας ἐμπροδὼν γίνεσθαι ἐκείνοις δὲ οὕτως ἐκπλῆσσειν ὧν τὸ φρόνημα, ὃ κ ἀνθρώπινον, ἀλλὰ γήϊνον.

» Καὶ ποιεῖ σημεῖα μεγάλα. καὶ πῦρ, ἵνα ἐκ τοῦ οὐρανοῦ καταβαίνῃ ἐπὶ τὴν γῆν ἐνώ- » πιον ὧν ἀνθρώπων. καὶ πλανᾷ τοὺς ἐμοὺς τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

Κλέπτων τοὺς ὀφθαλμοὺς ὧν ὁρώντων, ταῦτα πράξει φησὶν ὁ τοῦ Ἀντιχρίστου πρόδρομος διὰ γοητείας, πρὸς τὸ νομισθῆναι τὸν Ἀντίχριστον Χριστὸν, ὡς ἐπὶ τοιούτου τεραστουργοῦ μαρτυρούμενον καὶ ἀναμφισβήτητον τὴν δόξαν λαμβάνοντα, καὶ μίμησιν τοῦ βαπτιστοῦ Ἰωάννου χριστοῦ μαρτυροῦντος τῷ Φωτὶ, καὶ τούτου προάγοντος.

» Διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς

» τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ ὃ εἶχε πληγὴν καὶ ἔζησεν ἀπὸ τῆς μαχαίρας. καὶ ἐ- » δόθη αὐτῷ πνεῦμα δοῦναι τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ » ποιήσῃ ὅσοι ἐὰν μὴ προσκυνήσωσι τῇ εἰκόνι τοῦ θηρίῳ ἵνα ἀποκτανθῶσιν.

Ἐπειδὴ, φησιν, εἰκὼν ἀνεστυλώθη τῷ θηρίῳ, ἐδόθη καὶ πνεῦμα δοῦναι τῇ εἰκόνι, ἵνα δηθεν λαλήσῃ ἡ εἰκών. τὸ δὲ πρὸς τὰ ἀγάλματα λογιστέον, ἃ πολλὰ καὶ ἱδρυνται ἐλαλοῦντα ἰσόρηται τοῖς ἑλληνικοῖς χρόνοις ἐνεργείᾳ διαβολικῇ. καὶ τοῦ κοινοῦ δὲ τὸ, ἵνα, λιτέον, ὡς ἂν ᾖ οὕτως. ἵνα καὶ λαλήσῃ, ἵνα καὶ ποιήσῃ, ὅσοι μὴ προσκυνήσουσι τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ οὗτοι ἀποκτανθῶσιν. ὅτι δὲ τὰ ἀγάλματα, ὡς εἴρηται, ἐλάλει, ἐξ ἱστορίας μαθεῖν ἔνεστιν, ὡς δηλοῖ γοητείας ἱστόρηται καὶ δένδρα καὶ ὕδατα λαλῆσαι, διάτε Ἀπολλωνίου καὶ ἑτέρων πολλῶν.

» Καὶ ποιεῖ πάντας τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτω- » χοὺς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δώσουσιν αὐτοῖς χαράγματα.

Διωπτικοτέρα ἡ ζήτησις, Διὸ καὶ ἀνόητος. πρότερον γὰρ λέγει τοὺς μικροὺς καὶ τοὺς μεγάλους λαβεῖν, ἢ δοῦναι; Διὸ προσθητικὴ τῆς, ἢ, προθέσεως, τὸ ἀνόητον ἐπανορθωθεὶν οὐ πρὸς ζήτησιν, οὕτω, καὶ ποιεῖ εἰς πάντας τοὺς μικροὺς καὶ τοὺς μεγάλους καὶ τοὺς ἐφ' ἑξῆς, ἵνα δώσουσιν αὐτοῖς χαράγματα ἐπὶ τῆς δεξιᾶς χειρὸς, ἢ ἐπὶ τοῦ μετώπου. τοῦτο δὲ εἰς γνώρισμα φησὶ τοῦ ἐμπρευστέου καὶ μή.

» Ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τὸ μέτωπον αὐτῶν. καὶ ἵνα μή τις » δύνηται ἀγοράσαι ἢ πωλῆσαι. Ἐπὶ χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ μετώπου τὸ γνώρισμα. ἀντιθετικῶς γὰρ ὧν ἀγαθωνὶ τοῦ ὀλεθρίου ὀνόματος ἐγχάραξις. ὃ μὲν τοῖς δεξιᾶς, ἵνα ὧν ἀγαθῶν ἔργων ἐκκόψῃ τὴν ἐνέργειαν. ὃ δὲ τοῖς μετώποις, ἵνα τὸ τοῖς ὀφθαλμοῖς ἐπικείμενον μέρος προσλιφθὲν, σποτασμὸν ἐμποιήσῃ τοῖς ἀπατωμένοις τοῦ μὴ ὡς ὅλη μέρει εὐσχημόνως ἀντέχεσθαι τῆς εὐσεβείας. ἀμφότερα δέ ἔχοντα τοῦτο οἱ τὸ πρόσωπα σημειωθέντες τῷ θείῳ τοῦ προσώπου φωτί.

» Εἰ μὴ ὁ ἔχων τὸ χάραγμα ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. Κεφ. λϛ΄
» ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων νοῦν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου. ἀριθμὸς γὰρ ἀν- » θρώπου ἐστὶν, καὶ ὁ ἀριθμὸς αὐτοῦ χξ ϛ.

Καὶ τί τὸ χάραγμα, φησὶ, τὸ ὄνομα τοῦ θηρίου. διττὴ δὲ τούτου ἡ γνῶσις. ἢ δηλοῖ παραφορᾶς αὐτοῦ τοῦ ὀνόματος, ἢ δηλοῖ ψήφου. καὶ τὸ ψῆφον δὲ τοῦ ὀνόματος τοῦ θηρίου, πανταχοῦ πλατύνει ἑστηκεύθη, ὥστε φράσεσι καὶ ὠναῖς, ἵν' ὁ μὴ τοῦτο φέρωμος, ἐν ταῖς ὧν ἀναγκαίων ἐνδείαις τελευτήσῃ. ἀριθμὸν δὲ ἀνθρώπου τὸ ὄνομα εἶναι, ἀντὶ τοῦ ξένου γὰρ ἀληθὲς καὶ ἐπικεκρυμμένου καὶ διπλόης ἐχόμενον, ἀλλὰ ψῆφον φυτρίβῃ καὶ ἐγνωσμένῳ ἀνθρώποις. ἀριθμὸς δὲ τοῦ ὀνόματος τὸ ψήφῳ, ἑξακόσια ἑξηκοντάεξ. σαφῶς γὰρ αὐτὸ τὸ ὄνομα γε παρέθετο, δηλοῦτο μηδὲ ἄξιον εἶναι τῆς ἐν βιβλίῳ γραφῆς. διόπερ γυμνασίας χάριν ἐπανελέσθαι γε καὶ καιρὸν, τὰ τῶν ψῆφον ἐπιφερόμενα ὀνόματα κύριά τε καὶ προσηγορικά. κύρια μὲν οἷον Λαμπέτης Τιτᾶν. καὶ ἀπὸ τοῦτο νῦν μᾶλλον τος, ὥσπερ καὶ ἀπὸ τοῦ αστερῶ, αστέρος, Λατεῖνος ὁμοίως δηλοῦτο τοῦ θεός. προσηγορικὰ δὲ, ὁ Νικητής. ἴσως γὰρ οὕτως ἑαυτὸν ὀνομάσει,

μάσει, ἐ κακὸς ὁδιώγος, ἐ ἀληθὴς βλασφερὸς, ἐ πάλαι βασανος, καὶ ἀμνὸς ἄδικος, ἃ ἐκῶν ῥωμαίων αὐτῷ ἐπικληθήσεται, τὴν οἰκείαν δόξαν ἐν τῇ αἰσχύνῃ καρπούμενος.

ΕΚ ΤΩΝ ΤΟΥ ΑΝΔΡΕΟΥ. τὴν μὲν ἀκρίβειαν τῆς ψήφου, ὡς καὶ τὰ λοιπὰ περὶ αὐτὴν γεγραμμένα, ὁ χρόνος ἀποκαλύψει καὶ ἡ πεῖρα τοῖς νήφουσιν. ἤγαρ ἐδύνατο, καθὼς φασι τινὲς ὧν διδασκάλων, σαφῶς γνωσθῆναι τὸ θεοῦ-ρημα ὄνομα, ὁ τετραμμένος αὐτὸ ἀν ἀποκαλύψειν. ἀνὴγκ᾽ ἠυδόκησεν ἡ θεία χάρις ἐν θείᾳ βίβλῳ τὸ τῆς λυμεῶνος παγῆναι ὄνομα. ὡς δὲ ἐν γυμνασίας λόγῳ, πολλὰ ἔστιν εὑρεῖν, καὶ τὸν μακάριον Ἰωάννην καὶ ἑτέρους πολλοὺς, ὀνόματα τὸν ἀριθμὸν τῶν περιέχοντα προσηγορικά τε καὶ κύρια.

Κεφ. λθ' 14

» Καὶ εἶδον. καὶ ἰδοὺ τὸ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιών.

Οὐ τῆς παλαιᾶς. ὅτι μηδὲ αὐτὴ ὑποπτώσεως τῷ ἀρνίῳ ὁ ἐστιν ὁ Χριστὸς, ἀλλ᾽ ἐπὶ τῆς νέας ἥτις ἐστὶ πόλις θεοῦ ζώσης, ἧς νῦν δείκνυται ἐπιβεβηκὼς τὸ ἀρνίον τῶν ἐσχάτων ἐπιφροντίδα παιδιλούσης τῆς οὐσίας τῶν ἁγίων. ὧν ἐ Παῦλος ὁ θεῖος ἀνέφανδ᾽ ὧν φησιν. ὅτε τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται οἰκειωθεὶς τῷ χῷ.

» Καὶ μετ᾽ αὐτὸ ἀριθμὸς ρμδ χιλιάδες ἔχουσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ὄνομα » τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν.

Ο ἀριθμὸς δὲ τῶν χιλιάδων χ᾽ ὁ αὐτὸς ὢν ἀφ᾽ ἑκάστης φυλῆς πεσφραγισμένων τῶν πιστευκέναι τῷ χριστῷ. ἤγ᾽ ἂν μετὰ τὸ ἄρθρον πεπνεγκὼν, αἱ ρμδ χιλιάδες, ἤτοι ὧν. ἀνὴγ᾽ ἐπειδὴ ἀσωμάτως, λέγεται τις ἀπὸ τῶν ἐθνῶν νοεῖν αὐτὸν ἠρηκέναι, τῆς ἑνὸς ἑκάστῳ χάριτος τοῦ θείου πατρὸς καὶ ἀποστολικοῦ δωδεκάκις χιλιοστὸν ἀπεργαζομένης, τέλειον τὸν καρπὸν τῆς ὧν σωζομένων πίστεως, ὃς πρόθεσιν καταπεπωθευκέναι προσμαρτυρεῖ, ὁ παύλιος παρ᾽ Ἑβραίοις. τὸ δὲ ἔχειν τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον καὶ αὐτὸ ἐπὶ μετώπων, δηλοῖ, ὡς τῷ θείῳ φωτὶ τοῦ προσώπου αὐτοῦ τοῦ θείου σφραγίζονται, δι᾽ οὗ τῆς ἀντιμίμους ἐπὶ τοῦτο ὀλεθρίοις δαίμοσι, φοβεροὶ γίνονται.

» Καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης. καὶ ἡ φωνὴ ἣν ἤκουσα, ὡς κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις » αὐτῶν. καὶ ᾠδουσιν ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων. καὶ οὐδεὶς ἐδύνατο μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ ρμδ » χιλιάδες οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς.

Ἡ τῶν ὑδάτων καὶ τῶν βροντῶν καὶ τῆς κιθάρας φωνὴ, τὸ διαφρύσιον δηλοῖ τῆς τῶν ἁγίων ὑμνῳδίας καὶ τῆς ἐμμελοῦς αὐτῶν καὶ εὐήχου καὶ συμφώνου ᾠδῆς τῆς πᾶσαν πορισχούσης τὴν τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων ἐκκλησίαν πρωτοτόκων, καὶ πανήγυριν, ὃς ἡ πρωτότοκος ἐπιφημίζεται κλῆσις. ἐγὼ δὲ οἶμαι, ὅτι οὐδὲ ἀκοῦσαί τις δύναται τῆς καινῆς ᾠδῆς μυστήρια, ἢ μὴ οἱ τὴν ᾄδειν αὐτὰ ἠξιωμένοι. ἐπάσῃ γὰρ ἡ γνῶσις καὶ τὴν ἀναλογίαν τῆς καθαρότητος.

» Οὗτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν. παρθένοι γάρ εἰσιν. οὗτοί εἰσιν οἱ » ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἐὰν ὑπάγῃ. οὗτοι ὑπὸ Ἰησοῦ ἠγοράσθησαν ἀπὸ τῶν ἀν- » θρώπων, ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ, καὶ οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτῶν ψεῦδος.

ἄμωμοι

» ἄμωμοί γάρ εἰσιν. Οὐκ ἀπομυμένου τὸ γάμου τὸ παρόντα. Ἅμιος γάρ ὁ γάμος. καὶ ὁ τῷ ἀξιεπαίνῳ τῆς παρθενίας ὁ γάμος ἐπρόνεπαι τὸ ἀνάξιον, ἀνὴγ᾽ ἐπειδὴ καὶ ἀσὴρ ἀστὴρ διαφέρει ἐν δόξῃ, οὕτως μᾶλλον τοὺς ἀκηστεύσαντας πρεσβυτέρους ὧν λοιπῶν εἶναι ἡγούμεθα πρὸ χρόνου, διότε τὴν παρθενίαν καὶ τὸ ἐν γλώσσῃ τε καὶ ἐν χερσὶν ἄμωμον, μᾶλλον τὴν τοῦ Χριστοῦ παρουσίαν κτωμένοις τὴν ἐν ἀρεταῖς λαμπρότητα, δι᾽ ἧς καὶ τὴν καινὴν ᾠδὴν ᾄδειν διδάσκονται, τοῖς πολλοῖς δ᾽ μόνον κατὰ τὸν παρόντα βίον, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἄγνωστον. ἤγ᾽ καὶ τὸ τέλειον τῆς γνώσεως ἐκεῖ, καὶ τὸ ἐν ἀπρόσιτον, ἀνὰ ἀναλόγως τῇ ἑαυτοῦ καθάρσει ἑνὸς ἑκάστῳ ἐφαπλοῦ » μένης τῆς γνώσεως. Οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ.

Οὐ διαφορὰν παριστῶντες τοῦ ἀρνίου, ἀλλὰ τὸ πρὸς ἀρετὴν διάφορον δηλοῦντες τὸν τῆς μαθήσεως τῆς ᾠδῆς κατευτυχισάντων. οἱ μὲν γάρ ἀπλότητι ψυχῆς καὶ ἀνακίᾳ πορικρὰ ζύμενοι, ἀκολουθεῖν τῷ ἀρνίῳ ἐπιτηδειοι γεγόνασιν. οἱ δὲ ἀνδρικώτερον διακείμενοι καὶ λελογισμένῃ διαθέσει πορισοί χύμενοι, τῷ ἀνδρωθέντι Χῷ πρόσκαιρα χήσαν, πρός τε τὰ πάθη, πρός τε τοὺς τυράννους τὸ νικητήριον ἀνελόμενοι κράτος. οἱ καὶ ὀλίγα τὸ μιμήσασθαι τοὺς μὲν τοῦ ἀποκάλου Χῦ τὸ διδασκάλου, τοὺς δὲ τὸ ἀρνιοῦ πρὸς τοὺ ὑπ᾽ αὐτοῦ τοῦ διδασκάλου τὸ ἴδιον αἷματος ἔκχυσιν, οὕτω τῆς ἀπ᾽ αὐτοῦ κτίσεως ἔτυχον. ὥσπερ δὲ τῆς δόξης αἱ μοναὶ διάφοροι, οὕτω ἐ κολάσεως. διὸ καὶ εἴρηται τὸ ἕκαστον τὸν ἑαυτοῦ μισθὸν λήψεσθαι κατὰ τὸν ἴδιον κόπον.

» Καὶ εἶδον ἄγγελον πετόμενον ἐν μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον εὐαγ- » γελίσαι τοὺς καθημένους ἐπὶ τῆς γῆς, καὶ πᾶν ἔθνος, καὶ φυλὴν, ἐ γλῶσσαν, καὶ λαὸν, » λέγων ἐν φωνῇ μεγάλῃ. φοβήθητε τὸν κύριον, ἐ δότε αὐτῷ δόξαν ὅτι ἦλθεν ἡ ὥρα » τῆς κρίσεως αὐτοῦ. Τὸ μεσουράνημα, διττῶν νόησιν ἐμπρίει. καὶ γὰρ τὸ ὑψηλὸν καὶ μετέωρον καὶ ἀπ᾽ οὐρανοῦ, τό τε εὐαγγελιζόμενον ὑπ᾽ αὐτοῦ, καὶ αὐτὸς ὁ ἐκ θεοῦ ἀποσταλείς, καὶ ὅτι ἤγγικεν ἡδὺ τὸ ἀπ᾽ αἰῶνος ἐλπιζόμενον κριτήριον, καὶ ἡ καὶ σωτήριον τῶν τῆς ἐκπάντος ἔθνους τὰ ἐναίρεσθαι διαπραξαμένοις θεῷ, ἀλλὰ καὶ ἔμφοβον δαίμοσι καὶ ἁμαρτωλοῖς. ἀμφότερα δὲ ὑποπτεύειν, τοῖς μὲν ἀγαθοῖς δηλοῦτὸ μεγάλου, τὸ καταθύμιον εἶναι τὸν τοῦ δικαίου κριτοῦ παρουσίαν, καὶ ὅτι ἀπαπαύσει αὐτοὺς πρὸς τὸν Διὸν ῥυαθλεῖν αὐτοὺς ὑπῆρξε τῷ μαχθηρῷ τούτῳ βίῳ ὧν πρεσταγμάτων αὐτοῦ ἀντεχομένοις, τοῖς δαίμοσι δὲ καὶ τοῖς ὑπ᾽ αὐτῶν ἐκβακχευθεῖσιν ἀνθρώποις φόβον, ὁ πρὸς ἀσφάλειαν, ἀλλ᾽ ἐκπρεσδοκίας ὧν ἔργων ὧν ἔφθασαν. διὸ καὶ ὁ προφήτης φησίν. ἰδοὺ κύριος ἔρχεται, καὶ τίς ὑποστήσει ἡμέραν ἤσοδου αὐτοῦ, Καὶ προσκυνήσατε αὐτὸν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν » καὶ τὴν θάλασσαν, καὶ πηγὰς ὑδάτων.

Ενδίκως τὸ μὲν προσκυνεῖν, ὡς πρωτὴν οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. δηλοῖ μὲν γὰρ τὸ οὐρανοῦ καὶ τῆς γῆς καὶ θαλάσσης, ἡ ὁρωμένη διαλοῦται κτίσις, δηλοῖ δὲ ὧν πηγῶν, ἡ ὑποχθόνιος. ἄδηλον γὰρ ὁπόθεν ταῖς πηγαῖς ἡ ἀνάδοσις, ὥσπερ καὶ τὸ ὑπὸ γῆν. ἡ δὲ τούτῳ ἐπαξίως ὡς παραπίπτουτων ἡ δουλικὴ ὑπόπτωσις, ἐνδίκως ἂν καὶ τῷ ἀντιτρίῳ διαβόλῳ ἡ ἀτιμία καὶ ὀδουδένωσις.

ωω Καὶ ἄλλος

Κεφ. μά. » Καὶ ἄλλος δεύτερος ἄγγελος ἠκολούθησε λέγων. ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ πό-
» λις ἡ μεγάλη, ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάντα τὰ ἔθνη.
Τὸ δεύτερον ἤχ ἁπλῶς εἴρηται. ἀπ' ἄλλων δ' ἡλωσιν τῶν φιλαρχαμένων ὧν τιμωρητικῶν
ἀπειλῶν, ἄλλος ἄγγελος τὰς αὐτὰς ἐπιῤῥωννύων συμφορὰς παραλέγονται. ὅπερ μὴ παρεμφαίνει τὸ ἀκολουθῆσαι. ἐπὶ μὲν γὰρ τῇ ἐκβάσει ὧν ἀπηγγελμένων, οὐδὲν πρὸς ὑστέρησιν τοῦ μὴ πᾶσαν τὴν τοῦ πρόντος βίου σύγχυσιν πεπωσθαι ὑπολιθῆναι. ἐπὶ μὲν ἄλλο ἡ πεπωσις πρασήσῃ, ὡς περ ἤδη ἡ Βαβυλών, ἤδειν ἕτερον ἢ μὴ τὴν σύγχυσιν. καὶ τίς ἡ Βαβυλὼν; ἤκ ἄλλη, ἢ οὗτος ὁ φθαρτὸς κόσμος, ταύτης δηλαδὴ τῆς Βαβυλῶνος ἤκ ἀλλοθέν πρόσω καταστοιβείσης, ἢ τοῦ ζῆσαι. πορνείαν δὲ ἤ μόνον οἶδεν ἡ γραφὴ τὴν πρὸς τὸ θῆλυ τοῦ ἄῤῥενος ἀσελγῆ συνδρομήν, ὀπὰ καὶ πᾶσαν τὴν ἀπὸ τοῦ ἀγαθοῦ ἔκκλισιν εἴτε πίσω τε, ἐξωλοθρευσας πάντα τὸν πρεμένοντα ἀπὸ θοῦ. ἐὸπ μὲν ἐς Βαβυλῶνα ὁ κόσμος μετείληπται διὰ τοῦ μεγάλην πρεσπεμπων. ἤ πρὸς ἀντιδιασολὴ μικρᾶς, ἀπ' αὐτὸ τὸ ὁμ ἠσυχούμενον. ἢ δὲ καὶ πρὸς τὴν Χαλδαίαν Βαβυλῶνά τις κατευθύνειν ἐθέλει τὸν λόγον, ἤδειν δοίσει τῷ καὶ τὸ ζῆλον ἐκείνης ματαωθέντι πόσῳ πρεῖττα σωλυτικότα, αὐτὴν ἐκείνην τὴν ἀρχέτυπον ὑπρεῖναι, ἐπερ πρὸς τὸ αὔπιον πᾶν τὸ ἐπ' ἐκείνου συμβαῖνον ἀναφέρεται.

Κεφ. μβ' » Καὶ τρίτος ἄγγελος, ἠκολούθησεν αὐτοῖς λέγων, φωνῇ μεγάλῃ. εἴπις προσκυνεῖ
» τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ ἐπὶ τὴν
» χεῖρα αὐτοῦ, καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ τοῦ κεκερασμένου ἀ-
» κράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ.
Τὸ ἀκολουθεῖν εἴρηκεν, ὡς τὸ σωτεχὲς καὶ ἀδιάσπαστον καὶ ἀνένδοτον βουλόμενος παριστᾶν. ἢ δὲ μεγάλη φωνὴ, τὸ ἐκτονικτικὸν καὶ τὸ διὰ πάσης χωρεῖν ἀκοῆς τὸ δηλοῦ μεναισημαίνει. ἡ δὲ τοῦ θηρίου προσκύνησις καὶ τὸ λαβεῖν αὐτοῦ τὴν σφραγῖδα, τὸ τὸν Αντίχριστον ἡγήσασθαι θεὸν, καὶ λόγῳ ἢ ἔργῳ τὰ καταθύμια τούτῳ διεξιέναι καὶ κηρύσσειν. τοῦτο γὰρ τὸ ἐπὶ τοῦ μετώπου καὶ τῆς χειρὸς χάραγμα σημαίνει, ἀντὶ τοῦ λόγου τοῦ μετώπου, καὶ ἀντὶ ἔργου τῆς χερὸς πραλιφθέντων. ἤκιστα δὲ τὴν δύναμβ πρλιτείαν καλεῖ, οἶνον δὲ τὴν ὀργὴν ἤκ ἀπὸ τῆς εὐφροζύνης ἔφασκον ἀπ' ἐκπῆς σκοτώσεως καὶ τῆς παραφορᾶς. τριοῦτο γὰρ καὶ ὁ θυμός. κεκεράσθαι δὲ, ἀντὶ τοῦ ἐκχεῖσθαι ἢ ἐπιδίδοσθαι. εἴρηται δὲ οὕτω καθ' ὅτι ἑκάτερα παρὰ τοῖς παλαιοῖς τὰ πρτήρια. οἶνος δὲ θυμοῦ εἴρηται, ὡς καὶ εὐφραίνων οἶνος. ὡς γὰρ ὁ εὐφραίνων οἶνος λήθην ἐμποιεῖ ὧν δυσχερῶν, οὕτω καὶ νοῦ οἶνος θυμοῦ εἴρηται ἡ κόλασις ἐ-
» πακολούθημα. Καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον ὧν ἁγίων
» ἀγγέλων, καὶ ἐνώπιον τοῦ ἀρνίου. ἐ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν, εἰς αἰῶνα αἰώ-
» νων ἀναβαίνει. καὶ ἤκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ
» θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴτις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.
Επτευκτικῶς τὸ ἄκρατον τοῦ θυμοῦ, οἱνῷ ἀπείπασιν ἀκράτῳ κεκερασμένῳ ἐν τῷ ποτηρίῳ. ἄκρατος γὰρ οἶνος, μεθύσειν δύναται πλεῖον τοῦ κεκραμένου, ἐπεὶ καὶ παρὰ τὸν μέλλοντα αἰῶνα οἱ ἀντιπροδιδόμενοι ὧν βεβιωμένων μοθοὶ,

μοθοὶ, ἄκρατοι καὶ ἀμιγεῖς τοῦ ἐναντίου, ἐλέου, καὶ ἀγαθῶν ἔργων ἀμνησίας, ὅπερ καὶ ὁ ἐκεῖ βίος ἀληθὴς καὶ παντὸς ἀγνεύων τοῦ προσπιπτοῦ καὶ πεπλάσου. ἀλλ' ἢ πιοῦσι, πως κεκέρασται ἐν τῷ ποτηρίῳ; ἢ δῆλον ὡς τὸ κεκεράσθαι ἤκ ἡμιξίαν τινὰ σημαίνει, ἀπ' ἐπίδοσιν; ὡς ἂν οὕτω νοοῖτο. τοῦ κεκερασμένου, φυτέον τοῦ ἐμβόντος ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς, δι' ὅπερ ἀκολούθως τῇ ὀργῇ, καὶ ἡ βάσανος ἐκ πυρὸς καὶ θείου ἀμφοῖν κωστικωτάτην, πυρὸς μὲν, φλέγειν πεφυκότος, τοῦ θείου δὲ ἀνιερεθίζειν διαρκῶς ἐμβόντος. τὸ δὲ ἐνώπιον ὧν ἁγίων ἀγγέλων καὶ τοῦ ἀρνίου, τὴν βούλῃ πίστιν, δηλονὸ ὧν ἀγγέλων, ἐν ἀδυσωπήτων τὸ πρὸς τὸν βάσανον, δηλοῖ δὲ τοῦ ἀρνίου, ἀνακόμπασιν φέροντος τῆς ὑπ' σωτηρίας ἀνθρώπων αὐτοῦ σφαγῆς, ὅπως αὐτὸς μὲν δηλοῖ πυρὸς ἀγαπήσας ἐκδέδωκεν ἑαυτὸν, αὐτοὶ δὲ τῆς ἑαυτῶν ἀπαλλαγῆναι ἀπωλείας ἤκ ἐβουλήθησαν. καπνὸν δὲ τοῦ βασανισμοῦ, ἢ τὸν πρὸς πάντας δῆλωσιν τοῦ δηλοῖ πυρὸς ἐκτελεῖσθαι τὸν τιμωρίαν, ἢ ὧν ἀπὸ τοῦ ἄθματος κολαζομένων τῆς ὁμωγῆς οἱονεί νέφος ἐν πρὸς ὀλίγον ἀπ' αἰωνίως ἀναβαῖνον εἴρηκεν.

» Ὧδε ὑπομονὴ ὧν ἁγίων ἐστὶν, οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ τὴν πίστιν Ιησοῦ. ἐ
» ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης, γράψον. Εν τούτῳ φησὶ τῷ καιρῷ τοῦ Αντιχρίστου ἡ ὑπομονὴ ὧν ἁγίων δείκνυται. εἶτα ὡς ἐξ ἐρωτήσεως λόγος ἐσχημάτισται. καὶ τίνες φησὶν οὗτοι λέγεις ἁγίους ὑπομονητικούς; εἶτα ὡς ἀποκρινόμενος, οἱ τηροῦντες, φησὶ, τὰς ἐντολὰς τοῦ θεοῦ καὶ τὴν πίστιν Ιησοῦ. οὗτοι γὰρ καὶ πειρασμὸν πρόντων καὶ θανάτου, πάντα δεύτερα ἡγήσονται τῆς τοῦ θεοῦ ἀγάπης καὶ πίστεως Ιησοῦ. ὁ δὲ καὶ ἀποδιδοὺς τὴν εἰς θεὸν πίστιν τῆς τοῦ κυρίου πίστεως τὸν φησὶν, ἀπ' ἤπειγωγικώτερον τῷ λόγῳ χωρεῖν οὕτω πρέπειν. ἐπὶ μὲν γὰρ μόνοις Ιουδαίοις ἡ τοῦ θείου εὐσεβὴς ὑπόληψις ἐνώρα, ἀπὸ δὲ τῶν πολλῶν καὶ παντοίων θεῶν εἰς ἕνα θεὸν μεθιστᾶσα τὸ σέβασμα. ὁ δὲ Χριστὸς δῆλον τὸ ἀνθρώπους ὁρᾶσθαι καὶ χρηματίζειν, οὕτω τοῖς πολλοῖς ἐδόκει θείας φύσεως εἶναι θνησαυρὸς ὑπορύσιος. δῆλον τοῦτο διακριτικώτερον ταῖς ἐντολαῖς τοῦ θεοῦ, τὴν Ιησοῦ πίστιν ὑπόθεσιν. πολλῷ ἐστιν ἁπλοῦν, ὡς μᾶλλον ἐν τῷ κατὰ Χριστὸν θεολογία κρατύνεται. ἡ μὲν ταῖς ἐντολαῖς τοῦ θεοῦ καὶ ἡ κατὰ Ιησοῦν πίστις προμαρτεῖ, τίς ἡ ἀνάγκη ἀναιρεῖν ὧν θείων ἐντολῶν ὧν τὴν Ιησοῦ, μᾶλλον ἐκ τούτου ὧν ἐντολῶν τὸ κράτος οἰκουμένων; δ' ἃς καταλιγουμένας, ἐ πὸν ἀνθρώπου ἐντελῆ φύσιν ἤκ ἀπεῖχεν ὑπόδυναι. ὡς ἂν δ' ἑαυτὸ ὑπέδειξη, ὡς τῆς ἀπὸ νὸς ἁγίας ἀδωρα θύσης πρὸς ἔργον ἀγαπῆν ταῖς ἐντολαῖς, ταύτῃ ἑαυτὸν ἤνωσεν θεῷ ἀνθρωπήσας.

» Μακάριοι οἱ νεκροὶ, οἱ ἐν κυρίῳ ἀποθνήσκοντες ἀπάρτι.
Η δὲ φωνὴ, ἁπάντας μακαρίζει τοὺς νεκροὺς, ἀλλὰ τοὺς τῷ κυρίῳ ἀποθνόντας. τοὺς νεκρωθέντας τῷ κόσμῳ, καὶ τὴν νέκρωσιν τοῦ κυρίου Ιησοῦ τῷ σώματι περιφέροντας. ἐκείνοις γὰρ τῷ ὄντι ἡ τοῦ σώματος ἔξοδος καὶ ἀνάπαυσις κόπων ἀπαλλάττουσα.

» Ναὶ λέγει τὸ πνεῦμα. Η σύνταξις, οὕτως. τὸ πνεῦμα λέγει γράψον ἀπάρτι, οἱονεὶ ὑπολιχνεύων τοὺς ἀθλοῦντας τῇ ἐπαγγελίᾳ, τῆς ἐκλείψεως μὲν ὧν ἐπιμόχθων αὐλοῖς, ἐν τυχίας δὲ ὧν ἀναπαυσικῶν ἀγαθῶν. ἅμα γὰρ τῷ ἀφανισμῷ ὧν κόπων, ἐστιν χθήσεται ἡ δικὰ ὧν ἔργων ἀντίδοσις.

Κεφ. μγ' » Καὶ εἶδον, ϵ᾽ ἰδοὺ νεφέλη λευκὴ, ϵ᾽ ἐπὶ τὴν νεφέλην καθήμενον ὅμοιον υἱῷ ἀνθρώπου.

Τὴν νεφέλην εἰς Μαρίαν τὴν ἀϵὶ παρθένον ἐξειλήφασιν οἱ θεῖοι πατέρες, κατὰ τὸ ὑπὸ Ἡσαΐου γεγραμμένον. ἰδοὺ κύριος καθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξϵι εἰς Αἴγυπτον, ἐκγὺς μὲν οἷον ἅρατ μαθεῖσαι, ῥυτέον τὸ ἀορίστου παχύτητος ἀποδράσασαν. κουφότης δὲ ταῖς χϵρουβοδρόμοις ἀρεταῖς κατηρτισμένη ἀποδίδοται τῷ δι᾽ αὐτῆς φθάσαι τὸν τοῦ θϵοῦ υἱὸν ἐνσωματώσαντα. ἢ νεφέλην ἀγγελικὴν τινα δύναμιν διὰ τὸ κορύνθιον καὶ μετεωρότερον τῆς ἀγγελικῆς φύσϵως, παρ᾽ ὃ καὶ λευκὸν εἶναι.

» Ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χϵιρὶ αὐτοῦ, δρέπανον ὀξύ.

Ὁ στέφανος τὸν κύριον Ἰησοῦν βασιλέα ἀνέπλϵξϵ). βασιλϵὺς γὰρ ὢν νοητῶν τϵ καὶ αἰσθητῶν ὁ χριστός. χρυσοῦν δὲ τὸν στέφανον λέγϵι, ἐκ παραλλήλου τιμίων τὸ ἔνδοξον ὑπογράφων. τὸ δὲ ἐν τῇ χϵιρὶ δρέπανον ἔχϵιν, τὸ ἐν τῇ ἐξουσίᾳ αὐτοῦ κεῖσθαι τὸν τοῦ αἰῶνος τϵρυσωτϵλφαν παραδιδοὺς διὰ τῆς ὀργῆς, ἢ τὸν ταχυπετῆ τῆς ἐφόδου.

» Καὶ ἄλλος ἄγγϵλος ἐξῆλθϵν ἐκ τοῦ ναοῦ κράζων ἐν φωνῇ μϵγάλῃ τῷ καθημένῳ ἐπὶ
» τῆς νεφέλης, πέμψον τὸ δρέπανόν σου καὶ θϵρίσατε ὅτι ἦλθϵν ἡ ὥρα θερίσαι.

Διά τί δὲ ἐξῆλθϵν οὗτος ὁ ἄγγϵλος κράζων; ὡρισμϵνῶς διὰ τούτων δηλοῦται ἡ ἱκϵσία ὧν ἐπουρανίων σωμάτων ἐφιϵμένων μὲν τῶν ὧν Δικαίων τιμῶν ὡς μιμησαμένων αὐτοὺς ἐν τῇ προσκαίρῳ ζωῇ ἐαυτῶν, ἐκ παναιμονούντων δὲ τῶν ὧν ἀπωναιτίων αὐτοῖς βϵβιωκότων ἐκδίκων τυχϵῖν. διὸ ἐπισπϵύδουσιν, ἐφ᾽ ᾧ πάυσασθαι μὲν τὰ κινούμϵνά τϵ καὶ σαλευόμϵνα, φανϵρωθῆναι δὲ τὰ ἀναλλοίωτα καὶ ἀνακίνητα.

» Ὅτι ἐξηράνθη ὁ θϵρισμὸς τῆς γῆς. καὶ ἔβαλϵν ὁ καθήμϵνος ἐπὶ τῆς νεφέλης, τὸ δρέ-
» πανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ. Τὸ ξηρανθῆναι τὸν θϵρισμὸν ἐκ ἄλλο δηλοῖ, ἢ τὸ ἐπισῶσαι τὸν τῆς σωτϵλϵίας καιρὸν ὅτϵ πϵπανθεῖς, ὡς σῖτος ὥριμος, ὁ ὧν ἀνθρώπων ἀσωρος. ὁ μέντοι ἐυσϵβείᾳ φυρκομιδεὶς, ὧν θϵίων ταμϵίων τῆς ἀληθϵίας ἀξιωθϵίη. ὁ δὲ ὑλομανήσας, καὶ χόδρις σιτῶδης καὶ τρόφιμου καὶ τὸ θϵίου ἐπάξιον ἀσωρου ἀπϵνεγκάμϵνος, τῷ αἰωνίῳ πυρὶ ἐμβληθῆ.

» Καὶ ἄλλος ἄγγϵλος ἐξῆλθϵν ἐκ τοῦ ναοῦ τοῦ ὄντος ἐν τῷ οὐρανῷ ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ.

Οὐ μάτην τὸ γνώρισμα τοῦ ἀποσταλέντος ἀγγϵλου, ὡς ἀπὸ τοῦ ὑψηλοτάτου ναοῦ ἀποσταλῆναι, περὶ τοῦ πϵρὶ αὐτοῦ χόδρους τρισσοὺς ἐπισημανθέντος, ἢ μή ὅτι μόνον ἀπὸ τοῦ ναοῦ ἀποστάλη, ἐνταῦθα δὲ καὶ τοῦ θϵρους πϵφληφθέντος, ἐν ᾧ ὁ ναός. φαμὲν οὖν ὡς ἐπωνυμὶ διαφόροι λατρϵίαι τῷ παντοκράτορι θϵῷ ὑπὸ ὧν ἀϵὶ θρημάτων αὐτοῦ λειτουργῶν ἐκτϵλοῦνται, ὧν οἱ μὲν ὧν κατὰ γῆν θυσιαστηρίων ἔφοροι ἐκληρώθησαν, ἀφ᾽ οὗ θϵοσέβϵια τρὶς ἐπὶ γῆς κατηγγέλθη, ὃ διὰ τοῦτο Ἀβραὰμ ἐν Μωυσέως μέχρι τῆς χύ προυσίας, ἐπ᾽ αὐτῆς πϵπατεινϵ) τῆς τ᾽ πόντος αἰῶνος σωτϵλϵίας, ἡνίκα τως ἐπ᾽ ἐκϵίνῃ μὴ, χόδρους τρισσοῦ γϵγονὼς μϵίζων ἢ μήτις καὶ ἐπ᾽ ἐκϵίνου γνώρισμα λογίζοιτο τὸν τοῦ ἀρνίου μϵίζονα, οὗ χάριν τῆς ἐπὶ γῆς προυσίας ἐ χρηματισμὸς ἀγγϵλων πρὸς ἀνοὺς ὑπῆρξϵ, καὶ πϵντακαταγλία θϵοφόρων ἀνδρῶν πϵρὶ τῆς ἐπὶ γῆς ἐλϵύσϵως αὐτοῦ. ὡς οὖν ἐκ δηλότϵρον λύηται, ὡς ἡ μόνον ἐπὶ γῆς λατρϵίαι, ἀλλὰ καὶ τῷ ὑψηλοτάτῳ τῷ παντοκράτορι πϵσταλόγονται θϵῷ, ἀναγκαίως ἐπὶ τούτου τοῦ ἀγγϵλου καὶ τοῦ τόπου τῆς πϵσϵδρίας αὐτοῦ

αὐτοῦ μϵίζονα γϵγονϵν. ὀξεῖαν δὲ δρϵπάνῳ καὶ τὸν τρυγητὸν καθοπλίσθαι λέγϵι, τὸ ζωτϵρμον τῆς
» ἐκβάσϵως ἐπισημαίνων. Καὶ ἄλλος ἄγγϵλος ἐξῆλθϵν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρὸς, καὶ ἐφώνησϵν ϵὐ κραυγῇ μϵγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξύ λέ-
» γων. πϵμψουσόν τὸ δρέπανόν σου τὸ ὀξύ. Τοῦτον ἐπὶ τῆς κολάσϵως νοοῦσιν ὧν ἀσϵβῶν τϵ πάθη. ἐξ οὗ μανθάνομϵν ὡς πᾶσι τοῖς κτίσμασιν, ἀγγϵλικαὶ δυνάμϵις ἐπιστατοῦσιν, ὑδάτων, ἀϵρος, καὶ ἄλλοις τισὶ μϵρϵσι. τὸν δὲ πυρὸς τιμωρητικοῦ μόνοι καὶ ὧν ὑποστάντων ὄντα, ἐγκϵλϵύϵσθαι φησὶ, μϵτὰ κραυγῆς τῷ δρέπανον ἔχοντι.

» Καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπϵλου τῆς γῆς, ὅτι ἤκμασϵν αἱ σταφυλαὶ τῆς γῆς.

Ἡ τρύγησις ὧν σταφυλῶν, τοὺς λίαν ἀνόμους ἀνίπταται, ἀφ᾽ ὧν τὸ ἐν τῇ χϵιρὶ κυρίου πρόσῤῥηγμα μϵθύσκϵται, ῥυτέον πληροῦται γὰρ πρὸς ϵὐφρόσυνον μέθην, ἀλλὰ πρὸς τιμωρίαν. διὸ καὶ πίπτϵιν φησὶ πάντως τοὺς ἁμαρτωλοὺς τῆς γῆς. καὶ ὅτι τρυγᾶν ὁ πᾶσία διαζωγραφεῖν βούλϵται, δῆλον ἐξ οὗ οὐτϵ ὁ κύριος αὐτὸς ἀξιοῖ τὴν συλλογὴν ποιήσασθαι ὡς πορὶ ὧν πρώτων, οὐτϵ τὸ μὲν ἐς τὰς ἀποθήκας, τὸ δὲ ἐς τὸ ἀτϵλϵύτητον πῦρ πϵμπϵται πῦρ. δηλαδὴ ὧν ἀγγϵλων ὃς καὶ διὰ τὸ ὑπερβάλλον τῆς ἀσϵλγείας αὐῶν ἐς τὴν λιμὸν τὸ θυμοῦ τοῦ θϵοῦ ϵὐθϵως ἐμβάλλϵι μηδὲ ἀποδογίας
» ἀξίων μηδὲ ἐρωτήσϵως. Καὶ ἐξϵβαλϵν ὁ ἄγγϵλος τὸ δρέπανον αὐτοῦ ἐς τὴν γῆν.

Εἰς τὴν γῆν τὸ δρέπανον βάλλϵται τὸ ὑπὸ τοῦ ἀγγϵλου φερόμϵνον, ῥυτέον τὸ τιμωρητικὸν θέρος ἐκϵίνων τριῶν ὧν πορὶ γῆν ἐλυτρωμένων, ὅσα καὶ χόϊροι τὰ βορ
» βορώδη ῥοφοῦντες ἔργα. Καὶ ἐτρύγησϵ τὴν ἄμπϵλον τῆς γῆς.

Ἀντϵπίας αὐτὴν ἄμπϵλος τῆς ἀπ᾽ Αἰγύπτου πρὸ τοῦ θϵοπάτορι μετέωρου μῆνις. ἐνταῦθα γὰρ ἄμπϵλον τὴν κϵχαρικυῖαν τῇ δυσϵβϵίᾳ καὶ τοὺς πὸ αὐτῆς ἅπαντας καλύψασαν ἀσϵλγϵῖς, ἅτϵ καὶ ὑπ᾽ αὐτοῦ τοῦ ὄρους τῆς ἀπωλϵίας Αντιχῦ ἐκβακχευθέντας, ἀφϵιδῶς τρυγῆσαι κϵλϵύϵται ὁ ἄγγϵλος. καὶ ἀπροόμως ἐπὶ χϵίρησις
» ὑπῆρξϵ. Καὶ ἐβαλϵν ὁ ἄγγϵλος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν καὶ ἐτρύγησϵ τὸν τρυγητὸν τῆς
» θυμοῦ εἰς τὸν λάκκον τοῦ θυμοῦ τοῦ θϵοῦ τὸν μέγαν. καὶ ἐπατήθη ἡ λάκκος ἔξωθϵν τῆς πόλϵως, καὶ ἐξῆλθϵν αἷμα ἐκ τοῦ ληνοῦ ἄχρι ὧν χαλινῶν τῶν ἵππων, ἀπὸ σταδίων α χ᾽.

Ἀνθρωπινώτϵρον πϵβαίνϵ τῷ λόγῳ, τὸ ὑπϵρβάλλον πρὸς ἀσϵλγϵιαν ὧν κατ᾽ ἐκϵῖνο καιροῦ πρᾶξαι βουλόμϵνος. ἐπϵὶ, τίς ἡ πίστις τῶν μακαρίαν ἐ ἀναλλοίωτον φύσιν πάθϵσιν ἀλίσκϵσθαι πρὸ χωροῦσα; τῷ δὲ ἔξω τῆς πόλϵως πατηθῶαι τοὺς βότρυας, πόλιν, τὸν καθ᾽ ὃν ἀνϵῤῥῶ βίον ἐμπρϵπὴν πολίτϵυμα καλεῖ. καὶ ἐπϵιδὴ μϵτὰ τὴν σωτϵλϵίαν τοῦτο, ἡ τῷ ὄντι ἀμοιβὴ ὧν πϵπραγματϵυμένων ἀνθρώπους, ἡκότι λόγῳ ἔξω τῆς πόλϵως ἔῤῥικϵ. ἐκ δὲ τοῦ λέγϵιν ὅτι ἐκτὸς λιμοῦ αἷμα τῇ συμπατήσϵι ὧν βοτρύων ἀπορρέϵι, βότρυας, τοὺς ἁμαρτωλοὺς πορϵύϵσθαι νοεῖν. διὸ ἐ τὸ αἷμα, ἡς ὁδὸς πνιγμὰς αὐῶν πράξϵις προπολογεῖ, τῆς δικαίας ἐπ᾽ αὐτοὺς ἐκδικίας σαφοῖς ἅπασι μνημόλυς. καὶ οὕτω δικαία ὡς μηδὲ τοῖς ἄνωθϵν ἐς ἐπϵρϵίαν τὰ χθόϊσιν ἀγγϵλοις ὑπακοῦσαι, κωλύουσιν ὡς τισὶ χαλινοῖς τοῖς ἑαυῶν σωτηρίαις τοὺς ἀνθρώπους ἀπὸ ὧν θεομισῆ πράξϵων. οἱ δὲ ποσοῦτον ὀξώθρησαν ὡς μὴ μόνον τὰς φυσικὰς ἐπ᾽ ἀγαθῶν κτήσϵι πϵριχαλώσας ὑπὸ τοῦ πολάσου ψυχὰς ἀτιμάσαι, ἀλλὰ δὴ καὶ τοὺς ἀπὸ ὧν θϵίων ἀγγϵλων. τριχοῦ καὶ

πρὸς τοὺς θείους συνεργοὺς τοῦ δυσσεβοῦς ἐπιδεδειγμένου, ἐκπολλοῦ μᾶλλον τοῦ σωτῆρος πρόφανερος ἅπασι διὰ τούτων δεδιαπεφάνται.

Κεφ. μέ. 15

» Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ. Καὶ τῶς μέγα τῶν παγκόσμιον σημεῖον καὶ θαυμάσιον; τῶς δὲ οὐ θαυμαστὸν, ἀγγέλους ἑπτὰ ἀριθμοῦς τὴν ἑξ ἑβδομάδος ἡμέρας ἐναρξάμενον, σωτελεῖσθαι κόσμον, καὶ εἰς τὸν αὐτὸν ἀριθμὸν ἀποτελευτᾶν τοῦτο τὸ καθαίρειν ἀγγέλους λαχοῦσι καὶ εἰς τὸ καθαίρειν ἔχουσι φιάλας; ἑπτὰ δὲ αἱ φιάλαι. θάλασσα, ὕδατος, πῦρ, ἥλιος, θηρίον, καὶ χάραγμα αὐτοῦ, καὶ ἀριθμὸς αὐτοῦ τοῦ ὀνόματος. αὗται μὲν αἱ φιάλαι, δι' ὧν ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ. ἔσχατοι δὲ, ὡς τοῖς νικῶσιν αὐτὸς ὑπὲρ τὴν ἑπτάμηνον ἑτέρου ἀγῶνος. οἵτε γὰρ τὸ ἀστάθμητον τοῦ βίου τοῦτο, ὃ τοῖς πολλοῖς δι' ἀλμυρίαν ξηραίνεσθαι δοκεῖ τὸ ἀναψύχον, πᾶν νοητικῶτερες τῇ καρτερίᾳ, οἵτε τὰς εὐδοξίας καὶ τὸ ὕαλον τοῦ σωτῆρος κεκλιμένου κόσμου καθ' ὑδὲν κεχειρωμένοι, ὑπὸ τοῦ πυρὸς τῶν καυστικὸν δύναμιν ἀπὸ τῶν φωτιστικῶν τετριμένοι, ὑπὸ τῶν ἥλιον τοῦ θηρίου, ἢ τὸ θηρίον αὐτὸ, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ κατὰ παλαίσαι δεδυσωπημένοι, ἀνδρικῶς νοητικῶτατοι, οὓς ἐπὶ τινὰ δὲ ἐξῶτες ἐπὶ τὴν ὑαλίνην θάλασσαν, σύμβολον ἀφερόμενοι τῆς ἑαυτῶν ἐν τῷ βίῳ νεκρώσεως κατὰ τὸ ἀνενέργητον ὧν ἐν αὐτῷ ἡδέων ἀφθυσιν ὅσα ἡδὺς τοῖς νοητικῶτατοις ὧν τοιούτων ἀφεῖναι. Ἀγγέλοις ἑπτὰ, ἔχοντας φιάλας ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐτοῖς ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ. καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρί. καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου, καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ, καὶ ἐκ τοῦ χαράγματος αὐτοῦ, καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην.

Τὸ ἑπτὰ, ὡς ἐπὶ αὐτοῦ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ ἀκουστέον, ἀπὸ ἐπὶ τὰ πολλά. τὰς πολλὰς ὧν καὶ ὧν ἁμαρτωλῶν κολάσεις ἀνίπτεται, δι' ὧν ὁ θυμὸς τοῦ θεοῦ πόρας λαμβάνει. αἵτινες καὶ ἔσχαται ἐλέχθησαν. θυμὸν δὲ λέγουσι θεοῦ, μὴ ὡς ἐμπαθοῖς ἀκουε τοῦ θείου. ἀπὸ ἐστὶ γὰρ εἶχεν ἄλλως τῶς ὑποφῆναι τὴν ὑπερβολὴν ὧν καὶ ἀσελγείαν ὧν ἁμαρτωλῶν ἔργων, ἅτε καὶ τὴν ἀπαθῆ φύσιν οἷόν τε ὄντων κινεῖν, ἀνθρωπίνως ἐχρήσατο τῷ λόγῳ. ἢ ὑαλίνη δὲ θάλασσα, οὐκ ἄλλο σημαίνειν δοκοῖ, ἢ τὸ πολύ μὲν, διὰ τὸ θάλασσα, διὰ δὲ τὸ ὑαλίνην, τὸ στιλπνὸν καὶ καθαρὸν ὧν τῆς ἐκεῖ μακαριότητος τοῦ βίου ἠξιωμένων. Ἐχοντας τὰς κιθάρας τοῦ θεοῦ, ἃ ᾄδουσι τὴν ᾠδὴν Μωσέως δούλου τοῦ θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου λέγοντες. Διὰ τὸ ἡδεῖν τὰς κιθάρας, τὴν ὧν ἐπὶ γῆς μελῶν ἀνίπτεσθαι νέκρωσιν. θεοῦ δὲ αὐτὰς εἶναι, καθότι ᾠδὴς ὧν πολυθαύμων ἀνῶν τῆς θείας συμμαχίας χειρεύων καταρθοῦται. τί δὲ ᾠδὴν Μωσέως δούλου καὶ ἐκείνην πάντας ἡκούειν νοῆσαι, ὡς ἦσεν ἐπὶ τῇ κατὰ πρωτόσει Φαραὼ τὴν Αἰγυπτίων. Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου κύριε ὁ θεὸς ὁ παντοκράτωρ. δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου ὁ βασιλεὺς τῶν ἐθνῶν. τίς γὰ μὴ φοβηθῇ σε κύριε καὶ δοξάσει τὸ ὄνομά σου; ὅτι μόνος ὅσιος. ὅτι πάντες τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.

Τῶν μὲν πρὸ νόμου καὶ ἐν τῷ νόμῳ νικηφόρων ἡ ᾠδὴ, ὡς εἴρηται, ἐκ τῶν δὲ Μωσέως προστάγματι θεοῦ ῥυπαινομένων νοεῖται. ἡ δὲ τοῦ ἀρνίου ᾠδὴ τίς ἂν ἄλλη, ἢ μὴ ὑπ' αὐτοῦ

μὴ ὑπ' αὐτοῦ τοῦ χριματίζοντος σωτεθέντων, ἢ καὶ ἄσουσιν οἱ ἀπὸ χριστοῦ καὶ μετὰ Χριστὸν ἀσίως πολιτευσάμενοι, τῶν ἀκατάπαυστον τοῦ χάριτι, τὸ μεγαλεῖον ἐξαγγέλλοντες τοῦ ἀρνίου, ἤτοι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, ᾧ κονομηθῆς σωτηρίως ἡμῖν τῆς παντοκρατορικῆς δικαίας καὶ ἀληθινῆς ὁδηγίας. ἄσωρ ὡς βασιλεὺς βασιλεῖς ὧν ἐλέους, πρὸς τὸ ἑαυτοῦ πλάσμα δηλ. ὧν αὐτοῦ ἀπροσόλων ἐργάσατο.

» Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ, καὶ
» ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ πληγάς.

Σκηνὴν οὖν ταῦτα, πῶν οὐρανοῖς λέγειν ἧς καθ' ὁμοίωσιν ὁ Μωυσῆς ἔπηξε τοῦ σκηνοῦ τοῦ κάτω πρωτοτύπου τοῦ. ὅρα, φησὶ, ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι τῷ ὄρει. ἐκ τούτου τοῦ ναοῦ ἀνοιχθέντος ἐξελεύσεσθαι τοὺς ἀγγέλους. πρὸ γὰρ τῆς τοῦ Χριστοῦ συγκαταβατικῆς πρὸς ἡμᾶς αὐτοῦ παρουσίας, ἡ γνῶσις ὧν προκεκαλυμμένων, ἀσυμφανὴς καὶ ἀνεπινόητος ἀνθρώποις. διὸ καὶ πρὸς ἐναργεστέραν τούτων πίστιν, ἐν τῷ τοῦ κυρίου πάθει καὶ τὸ τῆς ἐπὶ γῆς νεκροῦ καθαστώτασμα διαῤῥήγνυται ἄνωθεν ἕως κάτω, οἱονεὶ τὰ ἀπὸ καταβολῆς κόσμου κρυφιότητα σωτηρίου μυστήρια, τὰ ἀπὸ τοῦδε ἐκφανῆ πᾶσιν καὶ γυμνὰ καθέστηκε, ὡς ἐνιέ ἄνθεν θησαυριζόμενα, ἀλλὰ πᾶσιν ἔνθεσιν ἐκπεμπευόμενα. μαρτυρίου δὲ σκηνὴ οὐ τῷ τυχόντι εἴρηται, ἀπ' ὅτι ἐκεῖθεν ὁ χριματίζων θεὸς τοῖς κατὰ νόμον ἱερεῦσι διετέλεσε τὰ ποιητέα καὶ μὴ, μετὰ ἀκριβοῦς καὶ ἀνυπερόπτου παραγγελίας, ὡς ἀπὸ τοῦ νομικοῦ μαρτυρίου, ἀλλὰ τοῦ ἀρχετύπου καὶ ἀνθρωπείου.

» Οἱ ἦσαν γεγδεδυμένοι λίνον καθαρὸν λαμπρὸν, καὶ περιεζωσμένοι περὶ τὰ στήθη
» ζώνας χρυσᾶς. Λίνῳ φησὶν ἐνδεδύσθαι τοὺς ἁγίους διὰ τὸ μηδὲν ζωώδες ἐπάνεσθαι πεπαιδεύσθαι, ἃ τὸ λαμπρὸν τῆς ζωῆς πέφυκεν ἀμαυροῦν. οἱ δὲ αὐτοὶ καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς τὸ ἐπιθυμητικὸν τοῦ σώματος μέρος, περὶ ὃ μὴ τοῦ ἐπιθυμητικοῦ κατάρχουσα καρδία καθώκισται, ὡς ἂν ἔτερον τοῦτο δηλαδὴ ἔχοντες τὸ μέρος καὶ μηδενὶ σωφρονίζοντος περισφιγγόμενον ζωστῆρι, ἀλλὰ σεμνῷ μάλα καὶ τιμίῳ ἀναστελλόμενον σφιγκτῆρι. τοιοῦτον γὰρ καὶ ὁ χρυσὸς, ὧν κατὰ γλῶ ὑλῶν τὸ περιαπούδασόν τε καὶ τιμαλφέστερον ἀνθρώποις.

» Καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς γεμούσας τοῦ θυμοῦ τοῦ θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας ὧν αἰώνων.

Καλῶς εἴρηκε χρυσᾶς φιάλας, πλὴς τοῦ θεοῦ ὀργῆς ἐμπεπλῆσθαι. τιμία γὰρ ἡ ὀργὴ τοῦ ἀγαθοῦ καὶ συμφέρον ἐν αὐτῇ φέρουσα μᾶλλον, ἢ τὸ δίκαιον, κἂν ἀνιῶνται οἱ κολαζόμενοι. ὁ δὲ τοῦ θεοῦ θυμὸς οὐκ ἐμπαθὴς, ὥσπερ πολλαχῶς ἡμῖν εἴρηται, δίκα ὀς δὲ ὅτι καὶ ἀπαθὴς ὁ ἀφ' οὗ. ὅθεν καὶ ξῶν εἴρηται πρὸς ἀντιδιαστολὴν ὧν παρὰ τοῖς
» ἔθνεσι νεκρῶν καὶ ἐμπαθῶν θεῶν. Καὶ ἐγεμίσθη ὁ ναὸς ἐκ τοῦ καπνοῦ ἐκ τῆς δόξης τοῦ
» θεοῦ, καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ, καὶ οὐδεὶς ἐδυνάτο εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι τε-
» λεσθῶσιν αἱ ἑπτὰ πληγαὶ ὧν ἑπτὰ ἀγγέλων. Ὁ καπνὸς θείας ὀργῆς δεῖγμα, καθὸ ἐκ τοῦ, ἀνέβη καπνὸς τοῦ ὀργῆς αὐτοῦ, εἴρηται. οὔτε γὰρ καπνὸς ἄνευ πυρὸς ὑφίσταται, οὔτε πῦρ καπνοῦ δίχα. τὸ δὲ ἐκ τῆς δόξης τοῦ θεοῦ καὶ τῆς δυνάμεως αὐτοῦ γίνεσθαι

τὸν καπνὸν, τοῦ φερομένου ἐκ τοῦ θυμιατηρίου τῶν ἁγίων προσευχῶν. ἔχει τινά. ὁ γὰρ θυμιατὸς θεοῦ καὶ τῆς ὁμοιώσεως αὐτοῦ. αὐτοδυνάμεως γὰρ καὶ αὐτοδόξα ὁ θεός. τὸ δὲ μὴ δύνασθαι εἰσελθεῖν εἰς τὸν ναὸν, ἢ καθὼς τὸ γεγραμμένον αὐτὸ νοητέον, ἵνα ᾖ, ἐκτελουμένου μὴ δύνασθαι ὑπὸ τοῦ ὑποσήματι κυρίου. ἢ γὰρ τοῦτο, σχολὴ γὰρ οὐ δυνατὸν ἐκκοιμᾶται τῷ Θεοῦ ὀργῇ. ἢ τὸ μηδαμῶς τοῖς ἁγίοις τῆς ἄνω Ἱερουσαλὴμ τυχεῖν λύσεως, καὶ τῆς ἐν τῷ ἐκεῖσε ναῷ ἱερουργίας πρὶν ἢ τυχεῖν τοὺς ἀξίους τὰ δηλαδὴ μαρτύρια ἐπιχειρᾶ. τοὺς δὲ ἐπὶ πλείονας ὁρᾷς ἐπὶ συντελείᾳ τοῦ κόσμου ἐυρισκομένους προσαρμόττων γὰρ οὐ ἁμάρτημα τῷ προφήτῃ.

» Καὶ ἤκουσα μεγάλης φωνῆς λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις. ὑπάγετε καὶ ἐκχέα-
» τε τοὺς ἑπτὰ φιάλας τοῦ θυμοῦ τοῦ θεοῦ εἰς τὴν γῆν.

Μεγάλη φωνὴ, ὑπὲρ τὴν ἀπαίτησιν. (τίς γὰρ καὶ αὐθαίρετος τοῖς ὑδάτων ἀνθρώποις προσδεομένοις;) ἀλλὰ μεγάλοις τῇ ἀνυπερβλήτῳ σχεδὸν παλαιωρίᾳ ὧν τιμωρουμένων. τὸ δὲ τῆς φωνῆς λέγειν, ἀντὶ τοῦ σημαίνειν εἴρηται.

Κεφ. ις΄ » Καὶ ἀπῆλθεν ὁ πρῶτος καὶ ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐγένετο ἕλ-
» κος κακὸν καὶ πονηρὸν ἐπὶ τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ
» τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ. Φιάλην ἐνταῦθα καθάπερ πτύελον, τὴν κολασικὴν ὑπέρκλυσιν ἐκλιπαρέον, ἧς ἐκχεθείσης, ἕλκος φησὶ πονηρὸν συμβῆναι, ἕλκος, τὴν ὑπὸ καρδίαν σφύζουσαν ὀδυνῶν ἀηγορῶν. ἐπὶ τὴν γῆν δὲ χεθῆναι, γῆν, τοὺς τῇ ματαιότητι τῶν γηΐνων προσανωμένους ἀπεκαλύν. διὸ καὶ ἐπιφέρει πρὸς σαφήνειαν, τὴν, ἐπὶ τοὺς πονηροὺς ἀνθρώπους. πονηροὶ δὲ τίνες ἂν εἶεν, ἢ οἱ τὸ χάραγμα ἐπιφερόμενοι τοῦ θηρίου, ἐκ τοῦ ἀρνεῖσθαι μὲν ἀληθοῦς ζῶντος, τῷ Ἀντιχρίστῳ δὲ πιστεύειν; ἕλκη δὲ τοῦ θηρίου, τὸν Ἀντίχριστον λέγει, πυθέσθαι τοῦ Διαβόλου.

Κεφ. μ΄. » Καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν, καὶ ἐγένε-
» το αἷμα ὡς νεκροῦ. καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν τὰ ἐν τῇ θαλάσσῃ.

Θάλασσαν, εἴτε τὸ ἀνάθεμα τοῦ πόντος ἀνώνυμος ἐκδέχεσθαι βούλεται, καθ' ἓν τὸ πανικαυτάθνοις ἐπ' ἔθνος πολεμίως ἐκστρατευόμενον. ὅθεν δὲ ἡ ναυμαχίας ἡ θάλασσα, εἰ μὴ γῆ καὶ οἱ ποταμοὶ τῶν ἀποκτεινομένων φονιῶνται αἵμασιν, ὑδὲν ἀπεικός, εἴτε δὲ θείᾳ ὁμοιότητι πρὸς ἔλεγχον τῶν ἀπατωμένων τότε ὑποτῶν ἁγίων πεφυκῶν Ἐνὼχ καὶ Ἠλία μὴ μεταβολὴ γένοιτο ὑδάτων εἰς αἷμα, ὡς ἐν Αἰγύπτῳ τὸ τοῦ Μωσέως οἱ ποταμοὶ, ὃ καὶ μᾶλλον τυχεῖν ἡ ἐπιφορὰ τοῦ ἐρυθροῦ δίδωσιν, αἷμα φάσκοντες, ὑχὶ νεκροῦ, οὐδὲ ὡς νεκροῦ, τοῦ, ὡς, μορίου γὰρ ἐνέργειαν, οὐδὲ ὁμοιότητα ὡς ἐπὶ παντὸς πρισσῶς, ὑκ ἀπτυχόντως ἂν εἴη τοῦ σοφοῦ. νεκροῦ δὲ τοῦ ἐσφαγμένου.

Κεφ. μά΄ » Καὶ ὁ τρίτος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς πηγὰς τῶν
» ὑδάτων, καὶ ἐγένετο αἷμα. Κἀνταῦθον δείκνυται τοῖς στοιχείοις ἐπιτετάχθαι ἀγγέλοις. ὧν ἕνα φησὶν ἐπὶ τῶν ὑδάτων ὑμνεῖν φησὶ τὸν Θεὸν, ἐπὶ τῇ καθ' ἀξίαν κατάδικῃ τῶν πραβευθέντων, οἳ τὰς χεῖρας εἰς αἵμασιν ἐμόλυναν τῶν ἁγίων. καὶ πρὶν μὲν, μάλιστα δὲ τὸ πανικαυτάθνοις τῷ τοῦ Ἀντιχρίστου καιρῷ, ἀνθ' ὧν τῇ τῶν αἱμάτων Διαφορᾷ δίψῃ τοὺς πολεμίους ἐπάλεσε. διαφθαρέντων γὰρ ποταμῶν καὶ σκηνημάτων τῶν πηγαίων, πρὸς ἂν ἄλλοθεν τὴν δίψαν ἀκέσαιντο;

Καὶ ἤκουσα

» Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος. δίκαιος εἶ ὁ ὢν, καὶ ὁ ἦν ὁ ὅσιος, ὅτι
» ταῦτα ἔκρινας, ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν.
» ἄξιοι γάρ εἰσιν. Οὐ μόνον ἐφορεῖ ὧν ἐνῆν κατὰ τὸν νομοθέτην Μωυσῆν αἱ θεῖαι ὁμοιώσεις, ἀλλὰ καὶ ὧν κοσμικῶν στοιχείων, ὡς τῷ μὴ τὸν θεόθεν αὖτη ἀποκάλυψις ἠσπλεῖται. ἃ δὲ ἔλεγεν ὁ ἐπὶ τῶν ὑδάτων ἄγγελος, τούτων τὸ μὲν, Δίκαιος, τὸ πρὸς ἀξίαν βραβεύειν δηλοῖ, τὸ δὲ ὢν, τὸ ἀτελεύτητον, τὸ δὲ ἦν, τὸ ἄναρχον, τὸ δὲ ὅσιος, τὸ ὑπεξῃρημένον πάσης πρὸς παθείας ἀνάτεως. Διὸ δὲ ταῦτα ἔκρινεν ἵνα οἱ ἐκχέαντες αἵματα ἁγίων, αἷμα πίωσιν. ἁγίων δὲ ὧν ὑπὸ ὧν ὑπαστιζῶν τὸ Ἀντιχρίστου κεκακωμένων. προφητῶν δὲ, Ἐνὼχ καὶ Ἠλία, ἐτεὶ καὶ αὐτοὶ ἀποκτενοῦσι. πῶς δὲ αἷμα πίωσιν; ἐξ ἀναγκαίου γὰρ οἱ τῷ πολέμοις πρὰ πταμοὺς ἐφαρπασθέντες, μεμολυσμένον πολλάκις αἷμα τοῦ ὕδατος πίνουσιν ἐκτὸς ὧν θνησιόντων ἀναιρέσεως.

» Καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου λέγοντος. ναὶ κύριε ὁ θεὸς ὁ παντοκρά-
» τωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.

Σύμφωνον τῷ ἀγγέλῳ τῷ ἐπὶ τῶν ὑδάτων, ὁ ἐπὶ τοῦ θυσιαστηρίου. τοῦτον δὲ, ἐστιμῶν νοεῖν καὶ αὐτὸν τὸν Χριστὸν, ὡς καὶ ὧν αὐτῷ καὶ δι' αὐτοῦ προσφερομένων τῷ θεῷ καὶ πατρὶ, τῶν λογικῶν ὁλοκαρπωσέων καὶ τῶν ζωσῶν θυσιῶν, ἃ προσφέρειν ἐκτὸς ἀπρόσιτον ἐμάθομεν. ὧν δὲ νοεῖν καὶ ἐς τὰς ἀγγελικὰς ὁμοιώσεις ὡς ἀναγωγικὰς τῶν ἡμετέρων πνευματικῶν ὁλοκαρπωμάτων. ἐρρήθη δὲ θυσιαστήριον ἀπὸ τοῦ μέλλοντος ἔχοντος τὸ πρωτεύον σωτηρικὸν τῷ πρόσωπον. ἐκ τοῦ τρίτου τοῦ λογικοῦ καὶ λαμπροῦ θυσιαστηρίου τῶν φωνῶν φησιν ὧν ἠθέλησαν δικαιοῦσαν τὰ τοῦ θεοῦ κρίματα πάντα λόγον καὶ νοῦν ὑπερβαίνοντα.

» Καὶ ὁ τέταρτος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον, καὶ ἐδόθη αὐτῷ καυματί- Κεφ. μθ΄.
» σαι ἐν πυρὶ τοὺς ἀνθρώπους, καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα, καὶ ἔβλα-
» σφήμησαν οἱ ἄνθρωποι τὸ ὄνομα τοῦ θεοῦ.

Τοῦτο ὁ πρότερος ἄντις ἐκλάβοι ἀηγορίας λόγοις φημὶ ἢ καὶ ἐνεργείας πραγμάτων, ὑκ ἔξωθεν ἡκότος ἀπωνεχθείας. εἴτε γὰρ ἦλθον τὸν τῆς ἡμέρας οἰκεῖον δρόμον καθ' ὃν ἑκάστοτε τὰ δυσχερῆ καὶ κατάγχοντα τοὺς ἀσελγαίνοντας πρὸς ἀφροσύνην καταλήψεται. ἢ καὶ αὐτὸν τὸν ἦλθον αὐχμῷ καὶ συνοχῇ καὶ ἀπορίᾳ τῶν καθ' πόλεμον χαλεπῶν τῷ πᾶν αὐτοῦ φλογμῷ δραστικώτερον καυματίσαντα, ὅπερ καὶ ὁ αὐτὸς μαστίζει ἀφροσύνῃ αὐτοῖς μιώμενος, ὑδὲν διοίσει ἀφ' ἑκατέρας ἐκδοχῆς πρὸς ἓν καὶ τὸ αὐτὸ κατάλυμα τῆς ἀνοίας αὐλίζεσθαι.

» Τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τοῖς πληγαῖς ταύταις. καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν.

Ἐξουσίαν, τὸν τοῦ κυρίου καλεῖ προυσίαν, ὃς ἐπὶ τέλει τῶν δευτέραν αὐτοῦ προυσίαν μέλλεται πρὸς τὸ ἀπροδύνατον ἑκάστου κατὰ τὰ ἔργα αὐτοῦ.

» Καὶ ὁ πέμπτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου, καὶ ἐ- Κεφ. ν΄.
» γένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη, καὶ ἐμασῶντο τοὺς γλώσσας αὐτῶν ἐκ τοῦ
» πόνου, καὶ ἐβλασφήμησαν τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν, καὶ ἐκ τῶν ἑλ-
» κῶν αὐτῶν, καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

Φιάλαι, τὴν ὀργὴν καλεῖ. ἐώθασι γὰρ ἐν τοῖς συμποσίοις φιάλαις δέχεσθαι ἀλλήλοις τῷ οἰκείῳ αὐτοῖς πεφυσιωμένῳ οἴνῳ τὴν εὐωχίαν κρατύνοντες, οὗ ἀπειλοῦσα παρὰ σοῦ φιάλη ἐκχεθεῖσα πρόξενεῖ, (θυμοῦ γὰρ πλῆρες θεοῦ τὸ ἐκθεοῦ πρόπυρον,) ἐπὶ τὴν βασιλείαν τοῦ θηρίου. θρόνον γὰρ τὴν βασιλείαν φησί. θηρίον δὲ τὸν Ἀντίχριστον. ἐσκοτισμένην δὲ τὴν βασιλείαν αὐτοῦ φησιν, ὡς ἡ τῆς φιάλης ἐκχυσις ἐπέσκοτησε τὴν ὑπερβολὴν τῆς ὀδύνης. δύναιτο δ' ἂν καὶ βασιλείαν νοῆσαι, τὴν ὑποκρισιν τὴν βασιλείαν
Κεφ. να'. τοῦ Ἀντιχρίστου τεταγμένοις. Καὶ ὁ ἕκτος ἄγγελος ἔχεεν αὐτοῦ τὴν φιάλην ἐπὶ τὸν ποταμὸν τὸν μέγαν Εὐφράτην, καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῆς Ἡλίου.

Ὀλίγων δέ φησι τὸν Εὐφράτην ποταμὸν, πρὸς πάροδον τῶν βασιλέων τῆς γῆς, ἐν τῷ κατὰ τὸ λλιπὸν πόλεμον. ἐξηρανθήσεται γάρ, φησιν ὁ κύριος ἐν τοῖς εὐαγγελίοις, ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν. Σύριος δὲ ἐκ τῶν Σκυθικῶν μερῶν εἶναι τὸν Γὼγ καὶ Μαγώγ φησι. γὰρ ἀπρογνωστέον δὲ καὶ τὸν Ἀντίχριστον ἐκ τῶν Ἀνατολικῶν μερῶν τῆς Περσίδος ὁρμᾶσθαι, ὡς τὰ φυλὴ τοῦ Δὰν ἐκ τῆς Εὐρώπης Ἑβραίων, ἅμα καὶ ἑτέρους βασιλεῦσιν ἢ μισῆσαι, ἐστὶ καὶ κατὰ Σύρων τὸ βασιλικὸν ἐθνος ὅτε πάλαι ὄνομα, ὡς καὶ τῷ, παρέσπασαν οἱ βασιλεῖς τῆς γῆς, γὰρ ὄντες μέντοι βασιλεῖς τοῦ Πιλάτου. πρᾶιον δὲ τὸν Εὐφράτην, ἢ ψυχικὸν ἢ σωματικὸν ἐπάγοντας θάνατον φησί. ψυχικὸν, διὰ τὸ ἐνεργείᾳ δαιμόνων καὶ παραχωρήσει θεοῦ, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ θεοῦ τῆς δικαίου τῶν ἑαυτοῦ θεραπόντων γὰρ ὡς ἀγνοοῦντος, ἀπ' ἐξ φανέρωσιν τοῖς ἄλλοις τῶν ἑαυτῷ πεσόντων χόντων, ἢ μὴ, ἐξάγοντος, τοιαῦτα συμβαίνειν. σωματικὸν δὲ τῶν ἐκγὺς ζώντων ἀξίων δολελοιπέναι, ὡς μὴ ἐ αὐτὸν τοῖς μιαροῖς ἔργοις αὐτῶν ἐραχρεῖον, ἔργον οὖσαν ἀγαθοῦ ποιητοῦ καὶ χωρίον ἀνεπιτήδειον τοῖς ὑπαμίλλας τοῦ τρικότος βιοῦν τοιμασμένοις. Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ Δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου, πνεύματα δαίμονα τρία ὡς βατράχους. σὶ γὰρ πνεύματα δαιμονίων ποιοῦντα σημεῖα.

Προσυπακουστέον τὸ, ἐξιόντα, ἵν' ᾖ, εἶδον ἐκ τοῦ στόματος τῶν τριῶν, ἐξιόντα πνεύματα ἀκάθαρτα τρία, ὡς βατράχους. ἐκ τούτων δείκνυται, τὸν μὲν Διάβολον, ὡς Δράκοντα τῷ ἰδίῳ προσώπῳ δείκνυσθαι, τὸν Ἀντίχριστον δὲ ὡς θηρίον, τὸν ψευδοπροφήτην δὲ ἕτερον παρὰ τὸν Ἀντίχριστον. ἐ Δράκοντα μὲν τὸν Διάβολον δηλοῖ τὸ κεχρῆσθαι σιολοιῖς τοῖς κινήμασι. θηρίον δὲ τὸν Ἀντίχριστον. γὰρ ἀνθρωπίνως τὴν ἀνθρωπείαν δὸς πρόφασιν φύσιν, θηριωδῶς δέ. τὸν ψευδοπροφήτην δὲ αὐτὸ τοῦτ' ἐστι, ψεύδεα, κατὰ τὸν ποιητὴν φάσεῖν, ἅδοτα ἑτοίμοισιν ὁμοία. τούτων ἑκάστου τῶν στομάτων, ἰσάριθμα φησὶν ἀπορρύζεσθαι ἀκάθαρτα πνεύματα βατράχοις ὅμοια, οὐ γὰρ βατράχοις, πρῶτον, ὡς τῆς πραχείας τούτων βοῆς γὰρ πρόσπεινα εἰς θεὸν ὕμνον οἵας τε ὑσης παραλαμβάνεσθαι, ἀλλὰ παραχὰς καὶ θορύβοις προσπριζούσης, ὡς ἔθος ἀεὶ τῶν δαιμονίων καὶ τῶν ἁμαρτωλῶν τῷ βορβορώδει βίῳ ἐμφιλοχωρούντων, ὥσπερ ἀπ' ἐναντίας τῶν θεῷ φίλων τῷ κλήρῳ χαιρόντων καὶ τῷ καρτερικῷ τῆς ψυχῆς, ὕμνοις καὶ ᾠδαῖς καὶ ὁμολογήσεσι μεγαλύνειν τὸν Θεόν. τῷ τριαδικῷ δὲ ἀριθμῷ ἐ οἱ φθορεῖς καὶ τῶν στομάτων

στομάτων αὐτῶν ἔχοντες δαιμόνια, ἵνα τῷ ἀριθμῷ τούτῳ πάντῳ, ὡς τὴν πανυμνήτου ἁγίας τριάδος ἐναρίσασθαι. Ἀ ἐκπρέυεται ἐπὶ τοὺς βασιλεῖς τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον τῆς μεγάλης ἐκείνης τῆς μεγάλης τοῦ θεοῦ τοῦ παντοκράτορος. ἰδοὺ ἔρχομαι ὡς κλέπτης.

Ἐκπρέυεται πρὸς τὸ καταλλήλον συγκροτῆσαι πόλεμον. τὰ δὲ δαιμόνων, φησὶν, ἐνεργούμενα σημεῖα, τοῦ εἰς οἶκον πολεμικὸν ἐμβάλλειν τοὺς βασιλεῖς, σποτὸν ἐμφαίνει τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης, ἥτις γὰρ ἄλλη, ἐὰν μὴ ἡ δευτέρα τοῦ κυρίου παρουσία. καὶ πῶς γὰρ μεγάλη, ἣν τὰ ἑπάστου πεπραγμένα ἐκτόμπρυσα εἰς φῶς; οὐ πρὸς τὴν ἡμέραν δὲ ὁ πόλεμος, (τίς γὰρ πόλεμος ἀνθρώποις πρὸς λιακοῦ δρόμου ἐπὶ σασίαν;) ἀλλὰ πρὸς τοὺς, οἷς τῆς ἡμέρας ταύτης τῷ φόβῳ διωκόμενοι συγκροτοῦσι, τῆς τοῦ θεοῦ μοίρας γενόμενοι, ἐξ οὗ καὶ ἁπάσης σωτηρίας ἐνεδύσαντο, καὶ χιτῶνα ἐνδύσεως, ἅπερ ἄλλο, ἢ αἱ θεοπρεπεῖς ἀρεταὶ, τὴν ἐκφανεῖ πλάμψει, τὸν ἐκτὸς καταφθείρουσαι ἄνθρωπον. Μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν αἰσχημοσύνην αὐτοῦ.

Ἐοικέναι τὴν τροπὴν τοῦ κλέπτου. διὸ καὶ φυλακὴν καὶ ἐγρήγορσιν εἴρηκε γίνεσθαι τῶν ἱματίων, ὅπως μὴ ἁρπάσωνται δηλαδὴ κενοδοξίας. ἱμάτια γὰρ τὰς ἀρετὰς καλεῖ, ἵνα μὴ τῇ γυμνότητι ἀπροβολῇ, γυμνοὶ εὑρεθέντες ἢ ἐ εὑρόντες, ἀνάξιοι κριθῶμεν τοῦ θείου γάμου.
Καὶ συναγαγὼν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον ἑβραϊστὶ Ἑρμαγεδών.

Τὰ πνεύματα λέγει πνεύματα τοῦ πνίγειν τοῦτο συμφορῆσαι τοὺς πνικαδὲ ὑπ' αὐτῶν ἀπατηθέντας. τόπον γὰρ νῦν, τὸν καιρὸν ἀκουστέον. τῷ καιρῷ γὰρ τούτῳ οἱ ὑπὸ πονηρῶν πνευμάτων ἀπατηθέντες καταλαμβανόμενοι, πέμπουσι διακοσμῆς. τόπον γὰρ Ἑρμαγεδὼν ἡ Ἑβραϊκὴ λέξις εἰς τὴν Ἑλλάδα διαπρεπεμενομένη νοεῖν παρέχει. καὶ τίς ἡ διακόσμησις τοῦ θείου διαίρεσις χαρίσματος, ὅπερ ἀνθρώπῳ παντὶ παρὰ πᾶσαν τὴν παροῦσαν ζωὴν ἀναπόβλητος συμπαρεδρεῦον ἐπίρρωσιν παρέχει τοῖς πρὸς τὰ κρείττω ἡμῶν ἀπονεύσεσιν. ἐπειδὰν δὲ ἡ ἀπὸ τῶν ἐνθένδε μετάβασις ἐπὶ τὰ ὄντως ἀληθῆ καὶ αἰώνια ἔσῃ καὶ τὸν τοῦ θανάτου καιρὸν, ᾧ εἰς ἀργὸν τὸ θεῖον χάρισμα εὑρεθῇ, διαιρεῖται τὸ ἀπὸ τοῦδε ἀφ' οὗ λαβεῖν ἀξιωθέντες, νωθεία ἐργασίας τὴν ἀφαίρεσιν πρεπεξένισεν, καὶ καὶ τὴν εὐαγγελικὴν ἀπορμίαν, τὸ μέρος τοῦ κατὰ Δίκου μετὰ τῶν ὑποκριτῶν τίθεται. Καὶ ὁ ἕβδομος Ἄγγελος ἔχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἀέρα. καὶ ἐξῆλθε φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θρόνου λέγουσα, γέγονε. Ἐπὶ τὸν ἀέρα οὗτος ἔχεεν, ὡς πάσης λοιμώδους διαφθορᾶς ἐκτὸς ἀέρος ὑφισταμένης, καὶ ἐν τούτῳ ἀφρατῶν σελαγιζομένων καὶβροντῶν ἀπιχουμένων. ἀπὸ τοῦ οὐρανίου δὲ ναοῦ ἡ φωνὴ γέγονε, τουτέστιν ἀπ' ἐκ τῶν θεοτέρως μυσταγωγουμένων, ὧν γὰρ ἄλλος καταρχεῖ, ἢ μόνος ὁ ὑπερουσίως ἁπάντων ὑπερκείμενος γενετάρχης θεός. τόπον γὰρ ὁ θρόνος βούλεται περιστᾶν.
Καὶ ἐγένοντο ἀφραταὶ καὶ βρονταὶ καὶ φωναὶ ἐ σεισμὸς μέγας, οἷος γὰρ ἐγένετο ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας.

Ἀφραταὶ καὶ βρονταὶ, ἀπ' ὄρους. φωναὶ δὲ ἐκ τῶν ἐπὶ γῆς ἀπὸ τῶν θείων τῶν κατακτικῶν

τα πολιτικῶν νομιμῶν. σεισμὸς δέ, κλόνος τῆς γῆς, ἐστὶ δὲ τὸ ἐν τοῖς σημείοις τοῦ τέλους σωρίεται. ἢ σεισμὸν λέγει, τὴν μεταβολὴν καὶ μεταβολὴν τῶν φθαρτῶν ἐπὶ τὸ ἄφθαρτον, ὃ ἔσται ἀπὸ τῆς δευτέρας Χριστοῦ παρουσίας. τὸ δέ, ὅσος οὐ γέγονεν. οὐδέπω γὰρ τοιαύτη μεταλλαγὴ γέγονε φθαρτοῦ κόσμου ἐπὶ τὸ ἄφθαρτον
» καὶ διαιωνίζον. Καὶ ἐλύετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν
» ἐθνῶν, ἔπεσον. Περὶ τῆς Ἱερουσαλὴμ ἠρώτηται τινὲς ἐξεδέξαντο ταῦτα, οὐχ' οὕτω τὴν πόλιν ἀνθρώπων καὶ κτισμάτων μεγαλοπρεπῶν τῷ μεγαλείῳ αὐχοῦσαν, ὡς τῆς χριστοῦ πάθεσι καὶ τῇ κατὰ χριστὸν ἐπιδημίᾳ. δι' ἃ καὶ ἀντιδιατέλλεται τῶν λοιπῶν πόλεων, αἷς καὶ ἐθνικὰς τῇ γραφῇ ἔθος καλεῖν. τὸ γὰρ Ἰσραὴλ χωρὶς, τοὺς ἄλλους ἀνθρώπους ἐθνη εἴωθε προσαγορεύειν. ταύτης δὲ τὴν εἰς τρία μέρη διαίρεσιν τῶν ἐν αὐτῇ κατοικούντων σημαίνειν διάφορον βούλεται. Χριστιανῶν, Ἰουδαίων, Σαμαρειτῶν. ἢ κἀκεῖνον δὲ πόλιν μεγάλην τὸν παρόντα κόσμον ὑπολαμβάνειν εἰς τρία μέρη ἀφοριζόμενον ἀπὸ τῆς χριστοῦ παρουσίας, εἰς τὴν τῆς Ἑλληνικῆς ἐπικρατείας καιρὸν, εἰς τὴν τῶν Χριστιανῶν βασιλέων ἐξουσίας, εἰς τὴν τοῦ Ἀντιχρίστου τῆς ἐπιδημίας. πόλεις δὲ τῶν ἐθνῶν αἱ πίπτουσαι, ἤτοι αἱ διάφοροι πρὸς τὴν εὐσεβῆ πίστιν ὑπολήψεις τῇ διαφωνίᾳ τὸ εὐπρεπὲς κληρούμεναι. ἢ καὶ αὐταὶ αἱ πόλεις.

» Καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ, δοῦναι αὐτῇ τὸ ποτήριον
» τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ, καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ εὑρέθησαν.

» ἀναστάσει τῇ πρώτῃ. ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσον-
» ται ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ. Νεκρούς δὲ καλεῖ, τοὺς τῇ ἀπιστίᾳ μεμενηκότας. ὥσπερ γὰρ δύο ζωάς, οὕτω καὶ δύο θανάτους, ἤγουν νεκρώσεις ἐκτῆς θείας γραφῆς διδασκόμεθα. ἔστιν οὖν ἡ μὲν πρώτη ζωὴ ἡ μετὰ τῆς ἐντολῆς πρᾶξις πρόσκαιρος καὶ σαρκική, ἡ δὲ μετὰ τῶν θείων βουλῶν τήρησιν ἐσωτερικὴ μένουσα ζωὴ ἀΐδιος. καὶ θάνατοι δὲ ὁμοίως δύο. ὁ μὲν σαρκικὸς καὶ πρόσκαιρος, ὁ δὲ ἀμαρτημάτων ἔκτισιν τοῦ τῷ μέλλοντι αἰῶνι ἐπαγόμενος, ἀτελεύτητος καὶ ἄϊδιος, ὥσπερ ἐστὶν ἡ τοῦ πυρὸς γέεννα. δηλοῖ καὶ νεκρῶν διαφορὰς γινώσκομεν. οἱ μὲν φευκτοί, περὶ ὧν φησι καὶ ὁ προφήτης. οἱ δὲ νεκροὶ ζῶσιν ὑμῖν ἴδωσιν. οἱ δὲ ἐσωτερικοὶ οἱ δηλονότι Χριστὸν ἐκ δυνάμεως τοῦ σώματος πράξει ἀποκτεινύντες, τῶν νεκρώσει τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφερόντες. ἡ δὲ δευτέρα ἀνάστασις, ἡ καθολικὴ ἐστὶ ὧν σωμάτων, ἥτις ἀνάστασις ἀρχὴ τῆς μελλούσης αὐτοῖς κολάσεως γίνεται. καὶ δὲ τὸν τῶν πρώτων εὐδαιμονησάντων ἀνάστασιν οὐκ ἔχει ἐξουσίαν ὁ δεύτερος ἀπὸ τῆς ἁμαρτίας πρὸς τιμωρίαν ἀπροκαθίστων θάνατος, δηλονότι ἔσονται ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ. χίλια δὲ, γοῦν τῷ δεκαδὶ ἀριθμῷ τὸν ἕνα τὸν σωτελούμενα, δηλονότι ὁ δέκατος ἀριθμὸς πρώτος ἀριθμὸς τέλειος ἐκμονάδων συνέστη, εἶτα πάλιν αὐτὸς τῷ δεκαδικῷ διαστήματι τὸν ἕνα τὸν ἀπετέλεσε, καὶ πάλιν, οὕτως ἐπὶ τῶν δέκα πολυπλασιασθεὶς ἀπὸ τούτων τῶν χιλιάδα τὰ χίλια συνεστήσατο ἐκτελείου πρὸς τελειότερον καταντήσας, ἡκότως τῷ ὑπερτελεῖ θεῷ τὸ τέλειον τῆς μετὰ ἀνθρώπων συνδιατριβῆς ἀφωρίσατο, οὐχ ὅτι πάντως τοσοῦτον τῷ ἀριθμῷ, ἀλλὰ διὰ τὸ τελείου τοῦτο ἐμφανίζων, ὡς πᾶν ὁ ἂν χρόνου διάστημα διεξοδευθῇ μετὰ τῆς ἀνθρώπων τοῦ Χριστοῦ συναναστροφῆς, οὐκ ἂν τοῦτο τῷ ἀτελεῖ προσνεμηθείη.

Κεφ. ξγ'. » Καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη, καὶ μετὰ τὰ χίλια ἔτη λυθήσεται ὁ
» Σατανᾶς ἐκτῆς φυλακῆς αὐτοῦ, καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσ-
» σαρσι γωνίαις τῆς γῆς. Τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας χρόνον, μέχρι τοῦ Ἀντιχρίστου λέγει, οὗπερ λυθέντος, ἡσυχίαν λοιπὸν καὶ τὰ ἔθνη, καὶ ὁ τρισσὸς τῆς οἰκουμένης καθ' ὅλης τὰ τῆς σωτηρίου αὐτοῦ πληρώσεται λαὸς πάντες, καὶ πρὸς τίνων καὶ κατὰ τίνων ὡς ἀφηγουμένων ὁ πόλεμος οὔπω συμβαίνει. ἔθνη μὲν οὖν, τὰ ἐν ἑξαπάντα λέγει, ὁ τρισσὸς δὲ, ὁ ἐκ τοῦ οὐρανοῦ, ὃν καὶ τέσσαρας γωνίας ὀνομάζει τῆς γῆς, τὰς τέσσαρας πλευρὰς τῆς οἰκουμένης οὕτω καλῶν, ἀπὸ ὧν ἡλιακὸν φορὰν οὕτω κλιθείσας, καὶ

θείσας, καὶ ὧν καὶ τὰ ἑσπέρας πλευρὰς οἰκουμένης. ἐστὶ γοῦν ἔθνη μὲν ταῦτα μεθ' ὧν ὁ πόλεμος μέλλει συγκροτεῖσθαι, καὶ χώρος οὗπερ νῦν ἤδη καὶ τοῖς καθημένοις ἡσάγει ὥσπερ πολεμάρχης ὁ Γὼγ καὶ Μαγώγ, ὃν καὶ Ἰεζεκιὴλ προφητεύει ἐπ' ἐσχάτου καιροῦ ἐλευσόμενον ζῶν σωμάτων βαρείαν. ὁμοῦ Ἰεζεκιὴλ μὲν τῆς Ἱερουσαλήμ, οὐ προκειμένην δὲ ἀποκάλυψις πρὸς πᾶν τῆς οἰκουμένης ὅλην ἐρήμωσιν. εἶναι δὲ ταῦτα, τινὲς μὲν Σκυθικὰ ἔθνη ἔφασαν Υπερβόρεα, πολλάκις καὶ ἀπ' ὧν οἰκείων ἐθνῶν μεταναστάντα, καὶ διαφθείραντα μὲν ὅσους ἐπῆλθε, πολυπλάκις δὲ διαφθαρέντα ἀπ' αὐτῶν τῆς ἐπιδρομῆς, καὶ Σκυθοπολιν νῦν Παλαιστίνην ὀνομαθῆναι, ἐκ Γόθων μοίραν τινὰ καὶ μέρη τῆς ἀσίας θραπωτικῶς τεύξασιν οὕτω καλεῖσθαι, καὶ Θαϊφάλους, καὶ Γοτθογραίκους, ἅπερ κοινῷ λόγῳ καλοῦμεν Ουννικά. πάσης δὲ ἐπιγείου βασιλείας εἶναι διαπολεμικώτερα καὶ πολεμικώτερα. ἐπέχεσθαι δὲ θείᾳ χειρὶ κοσμοκρατορήσαι ἄχρι τῆς τοῦ Διαβόλου λύσεως, ὥσπερ νῦν ταῦθα προδιαγέλλεται. τινὲς δὲ τὸν Γὼγ ἐκτῆς Ἑβραΐδος γλώσσης ἀθροίζοντα, ἢ ἄθροισμα ἑρμηνεύουσι, τὸν δὲ Μαγώγ, ἐπιρρηθέν. ὥστε δι' ἑκατέρου τὸ τε ἀθροίζειν καὶ τὸ ἐπαίρεσθαι, μέγα καὶ ὑπερήφανον ἐμφαίνειν κακὸν πολὺ τοῦτου τὸ ἔθνους ἐπέλευσιν ἐμπορίζειν τῆς καθ' ὧν ἡ ἐπέλευσις, ὡς ἤδη ἠρήκαμεν.

ΑΝΔΡΕΟΥ ΕΙΣ ΤΑ ΧΙΛΙΑ ΕΤΗ. τὸν προῤῥηθέντα τῆς χιλιετίας χρόνον, τινὲς μὲν τὰ πρῖα ἥμισυ ἔτη τὰ ἀπὸ τοῦ βαπτίσματος τοῦ Χριστοῦ μέχρι τῆς αὐτοῦ εἰς οὐρανὸν ἀναβάσεως οἶδ' ὅπως ἐξειλήφασι. μεθ' ἃ λυθῆναι τὸν Διάβολον ὑπενόησαν. ἕτεροι δὲ μετὰ τὸν συμπληρῶσιν ὧν ἑξακισχιλίων ἐτῶν τὸν πρῶτον ἀνάστασιν ὧν νεκρῶν δίδοσθαι μόνοις τοῖς ἁγίοις ἔφασαν, ἵνα ἐν τῇ γῇ ταύτῃ ἐν ᾗ τὸν καρτερίαν ἐπεδείξαντο, τρυφῆς καὶ δόξης ἀπολαύσωσιν ἐπὶ τὴν χίλια. καὶ μετὰ τοῦτο τὸ καθόλου χωρεῖσθαι ἀνάστασιν οὐ δικαίων μόνον ἀλλὰ καὶ ἁμαρτωλῶν. ὅτι μὲν οὖν οὐδέν τούτων τῇ ἐκκλησίᾳ δέδεκται, πρόδηλον ἐστὶ καὶ λέγειν. ἡμεῖς τοίνυν ἀκούοντες τοῦ κυρίου πρὸς τοὺς Σαδδουκαίους λέγοντος, ὅτι ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ, οὕτως οἱ δίκαιοι ἔσονται, καὶ τοῦ Ἀποστόλου φήσαντος, ὅτι βασιλεία τοῦ θεοῦ οὐκ ἔστι βρῶσις καὶ πόσις, ἀλλὰ τοῦ εὐαγγελικοῦ κηρύγματος χρόνον τὸν χιλιετῆ οὐκ ἀπολαμβάνομεν. ὡς μὲν προλέγραπται, οὐκ ἀνάγκη τοσαῦτα τῷ ἀριθμῷ νοῆσαι τὰ χίλια. οὐδὲ μὴν τὸ ἐν τοῖς αἵμασιν ἡρημένον, ἀνηρθήσεται τῷ καρτερῷ αὐτοῦ χιλίοσι ἀργυρίοις, καὶ πάλιν, οἱ χίλιοι τῷ Σολομῶντι, καὶ οἱ διακόσιοι τοῖς τιροῦσι τὸν καρπὸν αὐτοῦ, τὸν ἀριθμὸν τοῦτον ἐδήλωσεν, ἀπὸ τοῦ πλήθους καὶ τοῦ τῷ καρποφορίᾳ τελείου, ὥσπερ καὶ ταῦθα ἡ ἐν τελείοτητι καρποφορία τῆς πίστεως σημαίνεται. μεθ' ὃν ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἄνθρωπος τῆς ἀδικίας ἐλεύσεται, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ ἀλλὰ ταύτῃ εὐδοκήσαντες, κατὰ τὸν ἀπόστολον, καὶ καθ' ὃ τὸ δικαιοτικὸν λόγιον φήσαμεν, ὁμοῦ ἐλήλυθα ἐπὶ τῷ ὀνόματι τοῦ πατρός μου καὶ οὐκ ἐδέξασθέ με. ἄλλος ἐπὶ τῷ ὀνόματι τῷ οἰκείῳ ἐλεύσεται, καὶ ἐκεῖνον λήψεσθε. τί τοίνυν, ὡς εἴρηται, λυόμενος ὁ Σατανᾶς ἐκτῆς φυλακῆς αὐτοῦ πλανήσει πάντα τὰ ἔθνη, καὶ τὸν Γὼγ καὶ τὸν Μαγὼγ κινήσει εἰς πόλεμον πρὸς τὴν τῆς οἰκουμένης ἐρήμωσιν.

» Τὸν Γὼγ καὶ τὴν Μαγώγ, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον, ὧν ὁ ἀριθμὸς ὡσεὶ
» ἄμμος τῆς θαλάσσης. καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλωσαν τὴν πα-
» ρεμβολὴν τῶν ἁγίων, καὶ τὴν πόλιν τὴν ἠγαπημένην. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ
» ἀπὸ τοῦ θεοῦ, καὶ κατέφαγεν αὐτούς. ὁ δὲ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν
» λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης. καὶ βασανισθή
» σονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὡς ἐκφωνεῶν τινῶν θῆρες ἄγριοι, οὕτω, φησίν, ἐκ τῶν οἰκείων τούτων ὁρμῶντες τοῦ Διαβόλου καὶ τῶν τούτου δαιμόνων θρατηγούμενοι ὀν τῇ γῇ καταπλατυνθήσονται. ἐπὶ τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν ἠγαπημένην πόλιν, δηλαδὴ τὴν ἀπανταχοῦ ἐκκλησίαν τὴν κυκλώσει καὶ πορεύσεται ἐκπορευθοῦσι. πολιὸν γὰρ εἰς μακράν, εἴτε πυρίοράτῳ, ὡς οἱ δύο πεντηκόνταρχοι ἐπὶ Ἡλιοῦ, εἴτε καὶ τῇ Χριστοῦ ἐνδόξῳ παρουσίᾳ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ τῷ οἷα πυρὶ καθαρτικῷ ταῖς ὕλαις προσομιλεῖν πεφυκότι, αὐτίστε τοὺς ἀσεβεῖς, καὶ τὸν θρατηγὸν αὐτῶν Διάβολον καταφάγεται.

Κεφ. ξδ΄ » Καὶ εἶδον θρόνον μέγαν λευκὸν, καὶ τὸν καθήμενον ἐπ᾽ αὐτόν.

Λευκὸς μὲν ὁ θρόνος, ὅτι ἐκ ἀμιγοῦς μελανίας ἁμαρτιῶν ὧν ὀν τῷ σώτῳ συντελουμένων πᾶσα θρᾶξις ἁγίων, ᾗ οἷς ὀν θρονίζεται θεός. μέγας δὲ, ὅτι καὶ ὁ ἔργος τούτου, πορεῖ οὗ καὶ Δαυὶδ τὸ, μέγας ὁ κύριος ἡμῶν, ἐμελῴδει.

» Οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός. καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς.

Ἡ φυγὴ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὑρτικῶς σημαίνει μετάνασασιν. πῦ γὰρ καὶ χωρήσουσιν; ἀλλὰ φυγὴ τὴν ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν καὶ μετάσασιν, καὶ τὴν ἐσχάτην τοῦ κυρίου παρουσίαν, καθ᾽ ἣν τὸ ἓν τῶν ἡμῶν τοῦτο σῶμα ἐνδύεται ἀφθαρσίαν, καὶ ἀνακαινισθήσεται τὸ πρόσωπον τῆς γῆς.

» Καὶ εἶδον τοὺς νεκροὺς ἑστῶτας τοὺς μικροὺς καὶ τοὺς μεγάλους ἐνώπιον τοῦ θρόνου,
» καὶ βιβλία ἠνοίχθησαν. καὶ ἄλλο βιβλίον ἠνεῴχθη, ὅ ἐστι τῆς ζωῆς. καὶ ἐκρίθησαν οἱ
» νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν.

Νεκροὺς ἢ πάντας ἀνθρώπους ὡς τὸ σῶμα τοὺς νέκρωσιν ὑπομείναντας φησίν, ἢ τοὺς νεκρωθέντας τοῖς παραπτώμασι. μεγάλους δὲ καὶ μικροὺς, ἢ τοὺς τῇ ἡλικίᾳ τοῦτο ὄντας, ἢ τοὺς μᾶλλον καὶ ἧττον τὰ τῆς νεκρώσεως ἔργα θράξαντας, καὶ ἀναλόγως κολασθησομένους ταῖς θράξεσι, μεγάλους μὲν τοὺς δικαίοις, μικροὺς δὲ καὶ χειδανοὺς τοὺς ἁμαρτωλοὺς, δηλαδὴ ψυχῆς ἔργων εὐτέλειαν.

» Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, καὶ ὁ Θάνατος καὶ ὁ Ἅδης
» ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς. καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν.

Τῶν τελευταίων καὶ κοσμικῶν ἀνάστασιν ὅτως ἔσαι ὀξηγούμενος, ταῦτα διέξεισιν. ἐπεὶ γάρ τινες ἀπιστοῦντες αὐτὴν ἔσεσθαι φασὶ, μὴ ἂν ποτε γένεσθαι ἐν τοῖς αὐτοῖς σώμασιν, ἃ ὀξ αἰῶνος φθαρέντα εἰς τὸ μὴ εἶναι ἐχώρησαν, τοῦτο νῦν ἐπανορθούμενος ὁ λόγος φησὶν, ὅτι ὡς τὰ σώματα ἐπὶ τῶν ἀρχὴν ἐκτὸς μὴ ὄντος εἰς τὸ εἶναι πεσῆλθον, ἐκ ὀξαυτομάτου, ἀλλ᾽ ἐκ τῶν τεττάρων στοιχείων, ὕδατος, πυρὸς, ἀέρος, γῆς, οὕτως εὐλόγως εἰς αὐτὰ πάλιν ἀναλυθέντα, ἐκ τούτων αὖθις πάλιν σύμπηξιν ἀναλήψονται. ἐπεὶ δὲ τοῦτο,

δὲ τοῦτο, καὶ σωδρομὴ πάλιν τῶν καταρχὰς μερῶν εἰς ὑπόστασιν τῶν ἀνθρώπων, δηλοῦτο φησι τὴν θάλασσαν, ἤτοι τὴν ὑδατώδη οὐσίαν ἀποβλύσαι τὸ πρὸς αὐτὴν χωρῆσαν ὑγρόν. Θάνατον δὲ τὸν νεκρὸν, ἐπεὶ καὶ εἴρηται πορὶ αὐτοῦ τὸ, εἰς χοῦν θανάτου κατηγάγομεν. χοῖς δὲ, ὅτι γῆ, τίς νοῦν ἔχων ἀγνοεῖ; Ἅδην δὲ, τὸν ἀέρα καλεῖ, τῷ μὴ ἔχειν χαρακτῆρα δηλαδὴ μονότητα ὑσίας. ὡσαύτως δὲ καὶ τὸ πῦρ. Ἅδην δὲ λέγει, ἀπὸ τοῦ εἰς ἀϊδιαν καὶ ἀφάνταν, οἷς ἂν ἐπέλθῃ, τοῦτο ἐμβαλεῖν.

» Καὶ ὁ Θάνατος καὶ ὁ Ἅδης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός. οὗτος ὁ θάνατος ὁ
» δεύτερός ἐστιν, ἡ λίμνη τοῦ πυρός. καὶ εἴτις οὐχ εὑρέθη ὂν τῷ βιβλίῳ τῆς ζωῆς γεγραμ
» μένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός. Θάνατον καὶ Ἅδην τρὶς ἀξία τιμωρίας
ἐργασαμένους καλεῖ ὡς συμπληροῦντας τὸν τοῦ δευτέρου θανάτου ὅμιλον.

» Καὶ εἶδον οὐρανὸν καινὸν, καὶ γῆν καινήν. ὁ γὰρ πρῶτος οὐρανὸς, καὶ ἡ πρώτη γῆ ἀπῆλθον. Κεφ. ξε΄. 21

Τοῦτο οὐ τὴν ἀνυπαρξίαν δηλοῦν τῆς κτίσεως φησὶν, ἀλλὰ τὸν ἀνακαινισμὸν τὸν ἐπὶ τὸ βέλτιον. ὃν καὶ ὁ θεῖος μελῳδῶν Δαυὶδ προηγόρευσε διὰ τῶν ᾠδῆς, πάντας ὡς ἱμάτιον παλαιωθήσεσθαι, καὶ ὡσεὶ περιβόλαιον ἑλιχθῆναι καὶ ἀλλαγῆναι. τὸ γὰρ παλαιωθὲν ἀνακαινιζόμενον, ἢ τῆς ὑσίας ἀφανισμὸν, ἀλλὰ τὸ γήρως καὶ τῶν ῥυτίδων λαμβάνει ἀπόρρησιν. σημειωτέον δὲ, ὅτι περὶ μὲν οὐρανοῦ καὶ γῆς ἔφην ὅτι ἀπῆλθον, οἱονεὶ ἡ ὡς τὸ μὴ ὂν ἐχώρησεν, ἀλλὰ μετέβη, (ὑσὴν δὲ τῶν μεταβαινόμενων ἀφ᾽ οὗ εἰς ὃ, ἥδη καὶ πάντη διόλωλεν, ἀλλὰ τῇ ἀφ᾽ οὗ εἰς ὃ μετελεύσει, ἀνεμορφώθη, τὸ μὲν τὸ καταλιφθὲν ἀπέβαλε, τὸ δὲ τὸ πρὸς ὃ μετέβη ἀνεδέξατο, ΑΝΔΡΕΟΥ. περὶ δὲ τῆς θαλάσσης φησὶν ὅτι οὐ θάλασσα ἔτι ἐστί. τίς γὰρ χρεία θαλάσσης μὴ δομένων ἀνθρώπων τὸ πλεῖν αὐτῷ; ἢ δι᾽ αὐτὴ περίζεσθαι τὸ ὺ τοὺς μακρὰν κειμένους χώρας γεωργούμενα ἀγώγιμα;

» Καὶ οὐ θάλασσα ἔτι ἐστὶν ἐπ᾽. Εἰ κόσμος οὗτος ὁ ἀνθρώπους, ἐκ ἄλλόθι, ἢ τὸ ὀξ οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ὺ τῷ μέσῳ σύστημά ἐστι καὶ σύγκριμα, τὸ οὐρανοῦ πάντως καὶ τῆς γῆς ἀνακαινισθέντων, ὡς ἤδη παρεθέμεθα, πάντως καὶ τὸ συμπληροῦντα τὸ τοῦτο σύστημα ἐκ ἀμοιρήσει τοῦ ἀνακαινισμοῦ. τί οὖν οὐ θάλασσα μόνη τῶν ὺ μέσῳ φύσεων οὖσα, ἐ μόνου ἀσχήσει τοῦ ἀνακαινισμοῦ ἀλλὰ καὶ πάντα τοῦ εἶναι; ἢ δὲ λέγει τις ὅτι τῶν ἐμπλεόντων ἐκ ὄντων, ἀνάγκη μηδὲ αὐτὴν χρηματίζειν ὅτερ ἐστίν, ἐκότως. τὸ δὲ εἰς παντελῆ ἀνυπαρξίαν ἐλθεῖν αὐτὴν ἐᾷν ὀξ ἡμισείας ἀπτελοῦντος τὸν ἀνακαινισμόν ἐστι. τί οὖν ἐστι πρὸς τοῦτο ἐρεῖν; ἢ πάντως ἐκεῖνο; ὡς ἐπεὶ διὰ θαλάσσης ὡμοίωσεν ὁ θεοπάτωρ τὸν παρόντα κόσμον, ἀναγκαίως, ἵνα μή τις τῷ ἀνακαινισμῷ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ πῶς κατ᾽ αὐτὸ τύρβιν ὑρβάλοι, δηλοῦτο τελείως ἀφανισμοῦ τῆς θαλάσσης, κατὰ τὴν προφητείαν τοῦ Δαυὶδ ἐκείνα ἐσημείωσε καὶ ὀξέλειπε, ὡς φρούδου καὶ ταύτης κατὰ τὸν ἀνακαινισμὸν ἐσομένης.

» Καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀ-
» πὸ τοῦ θεοῦ ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. καὶ ἤκουσα φω-
» νῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης. ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκη-
» νώσει μετ᾽ αὐτῶν, καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται.

Πάλαι μὲν,

Παλαιμὸν, φησὶν, Ἱερουσαλὴμ τὸ ἁγιώτατον σκήνωμα ἐνομίζετο, ἐν ᾗ καὶ ὁ ναὸς ἐ πάντα τὰ τῆς θεογνωσίας μυστήρια τεθησαύρισται. αὕτη δὲ νῦν καινὴ χρὴ ἔχειν λόγου ἐφόδου τὴν τοῦ κυρίου παρουσίαν ἐκείνης τῆς παλαιότητι χρεοῦσαν. ἀναγκαῖον ἄρα καινὴν τοῦ παντὸς καινοποιήσει Ἱερουσαλὴμ ἐμφανισθῆναι, καὶ δὴ οὐρανοῦ κατιοῦσαν, ὁπόθεν καινοποιὸς κύριος Ἰησοῦς Χριστός. Ἱερουσαλὴμ μὲν οὖν καινὴ, δηλαδὴ τοῦ. πλὴν δὲ, ὡς οἰκητήριον πάντων ἀγγέλων καὶ ἀνθρώπων ἐθεμελίου. ὑπὸ δὲ τοῦ θεοῦ ἡτοιμάσθαι. τί γὰρ τῆς ὧν σωτηρίων ἑαυτῷ κατορθοῖ τῆς ἄνωθεν τοῦ θεοῦ σωματοπλήψεως ἀμοιρῶν; προφητικῶς δὲ καὶ μεγαλοπρεπῶς ὡς νύμφην κεκόσμηκεν, ὡς αὖ ἐκὼν ἀληθῶς λεγομένην, ἧς τὸν νοητὸν ὧν ἁγίων μακαριότητα καὶ διαγωγὴν τὸν νοῦν παραθέμ-
» ψωμεν τὸν ἡμέτερον. Καὶ αὐτὸς ὁ θεὸς μετ' αὐτῶν ἔσται, καὶ ἐκλείψει πᾶν δά-
» κρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος, οὔτε κραυ-
» γὴ, οὔτε πόνος οὐκ ἔσται ἔτι. Τοῦτο σαφέστερον ὁ ἀπόστολος δηλοῖ λέγων. ἐπειδὴ ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἁρπαγησόμεθα ὁμοῦ σὺν αὐτοῖς ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα. ἐν ταύτῃ οὖν τῇ σκηνῇ τῇ ἀχειροποιήτῳ οὐκ ἔσται κλαυθμὸς οὔτε δάκρυον τοῖς σύσκηνοι τῷ Ἀπίκρῳ βίῳ, οὔτε πόνος, (τῶν ὧν ἁγίων λέγω καὶ παθέων ἰῶ ὑπεστήσαντο τῷ μοχθηρῷ τούτῳ βίῳ.) τῷ ἐκείνῳ δὲ τῷ μέλλοντι, ἐπεὶ ὡς ἀφθάρτῳ ἀπέδρα λύπη καὶ ὀδυνῶν καὶ στεναγμὸς, ἀργὰ
» ταῦτα πάντα καὶ σκιαί. Ὅτι τὰ πρῶτα ἀπῆλθε.

Τὰ πρῶτα, τὰ ἀπὸ τῆς παραβάσεως Ἀδὰμ τῇ φθορᾷ ὑποβληθέντα, εἴτε ὀλληρὰ καὶ ἐπώδυνα τοῖς θεοφιλέσι διὰ ἀρετὴν ἐυτρόχμνα, εἴτε δ' ἀλαζονείαν καὶ ἀφροζύνην τοῖς θεοβλαβέσιν ἐπακολουθοῦντα, πάντα ἀπῆλθε.

Κεφ. ξς' » Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ. ἰδοὺ ἰδοὺ πάντα καινὰ ποιῶ. ἐλέγετο, γράψον.

Θρόνος ἐστὶ τοῦ θεοῦ, οἱ τοῖς ἀρεταῖς ἑαυτοῖς τοῦτον ὀχήμα κατασήσαντες. περὶ ὧν καὶ ὁ ἕτερος τούτων τὸ, ψυοικήσω, ἔφη, ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω.
» Ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί τοῦ θεοῦ ἐστί. καὶ εἶπέ μοι. γέγονα ἐγὼ τὸ Α καὶ τὸ
» Ω, ἀρχὴ καὶ τέλος. ἐγὼ τῷ διψῶντι δώσω αὐτῷ ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς, δω-
» ρεάν. ὁ νικῶν, δώσω αὐτῷ ταῦτα, καὶ ἔσομαι αὐτῷ θεὸς, καὶ αὐτὸς ἔσται μοι υἱός.

Μὴ νόμιζε, φησὶν, ὦ Ἰωάννη, τὴν τοῦ μεγέθους ὧν καινοπριουμένων ἀμοιρώσει ὡς καθ' ὑποβολὴν φαντασίας, ὑφ' ὧν σὺν ὑποψεύδει τινὶ ἐκβάσει τὰ λεγόμενά σοι. τοσοῦτον γὰρ ἀληθῆ, ὥστε καὶ γραφὴν καταθέσθαι σε ταῦτα πρεγγυώμενον ἐς ἀνεπίληπτον τοῦ ὅτι γένοιτο. ἀληθινοὶ γὰρ καὶ πιστοὶ οἱ λόγοι, ὡς ὑπ' αὐτῆς ἐκφερόμενοι τῆς τοῦ ὄντι ἀληθείας. ἀρχὴ δὲ καὶ τέλος Χριστὸς ὁ καὶ τὸ Α καὶ τὸ Ω ἑαυτῷ ἀναθείς. ἀρχὴ, ὡς πρώτης ἦν τῆς θεότητα, τέλος δὲ ὡς ἀπὸ τῆς πρώτης ὧν ἀθρόπων κτίσεως, μέχρι ὧν τελευταίων ἀνθρώπων τὴν οἰκείαν ἐκτείνων πρόνοιαν. τῷ διψῶντι δὲ ἡ μὲν ἐπαγγελία δοθῆναι ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς, ἀμὰ διψῶντι τὸν δικαιοζύνην, ὡς καὶ ὁ Χριστός φησιν. μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοζύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ἐκ τῆς πηγῆς δὲ τοῦ ὕδατος τῆς ζωῆς ἡ τῆς δίψης ἀνάκτησις ἐπαγγέλλεται, ἥτις πηγὴ, οὐκ ἄλλη, ἢ μὴ ὁ Χριστός. δωρεὰν δὲ

ἡ χορηγία τοῦ

ἡ χορηγία τοῦ τοιούτου ὕδατος ὑπισχνεῖται, καιρὸν ἀλλαχοῦ τὸν ἐς τὴν ζωὴν ἀπάγουσαν ὁδὸν κόσμῳ καὶ βίᾳ πολλῇ εὑρέσθαι λέγοντος. Τί οὖν ῥυπαίνεται τὸ, δωρεὰν αἰνίσσεται; ἢ τὸ μὴ ἔχειν παραμετρεῖσθαι τὰ πρόσκαιρα τοῖς διαιωνίζουσι; περὶ ὧν καὶ Παῦλος φησὶν, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι ἐς ἡμᾶς.

» Τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις καὶ ἀμαρτωλοῖς καὶ ἐβδελυγμένοις, καὶ φονεῦσι, καὶ πόρ-
» νοις, καὶ φαρμακοῖς, καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς ψευδέσι, τὸ μέρος αὐτῶν ἐν τῇ
» λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστι θάνατος ὁ δεύτερος.

Δειλοὺς καλεῖ, τοὺς ἑκουσίῳ ἀθυμίᾳ πρὸς τὰ ἀπροσκοπα τοῦ παρόντος αἰῶνος ἀποκλίναντας, τῷ μηδὲν αἰρήσασθαι ἀνδρικὸν ἐπανελέσθαι, ὧν θηλυπρεπῶν ἀτιμάζων οὕτω τὸ ἔκλυτον τῆς ναυσίας. πᾶσι δὲ τοῖς ψευδέσιν, ἀμὴ δὲ τοῖς ψεύσαις, ὡς τούτου τὸ ῥῆμα συμπεριλαμβάνοντος καὶ τὸ ὑπερβαίνειν περὶ τὰ ἀνεργούμενα. περὶ τίνα γὰρ ὁ ψευσθεὶς τῶν ἀνυδρίων ἀποσχολήσει; ἢ περὶ τὸ ψευδῆ καὶ τὸ φυσικὸν νοθεύοντα κάλλος τοῖς ἀπατηλοῖς ἐρεθίσμασιν;

» Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας γεμούσας ἑπτὰ πλη- Κεφ. ξζ'.
» γῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ' ἐμοῦ λέγων. δεῦρο δείξω σοι τὸν νυμφίον καὶ τὴν
» νύμφην τὴν ἀρνίου. Οἷς πρὸ τούτου τιμωρίοις ἠσκημένος, νῦν ἀντεναντίας προφέρει καὶ ὡς ἰατρὸς πρότερον τέμνειν ἀφωρμημένος, πρὸς δὲ φάρμακα ἐπιτάσοντας ἤπια. ὁμοῦ πρότερον τὸν πληγὸν τοῖς ἀξίοις ἐπάγων, νῦν τὴν μακαριότητα τῆς ἐκκλησίας τῶν ἁγίων ὑποδείκνυσι. πληγῶν δὲ τῶν ἐσχάτων, ἃ τῷ χρόνῳ τὸ ἔσχατον ἐχούσας λέγει, ἀμὰ τῶν πρὸς κάκωσιν, τὸ ἀκμαῖον ἐπιφέρειν ἡδύμας. νύμφην δὲ τοῦ ἀρνίου καλῶς τὴν γυναῖκα φησιν. ὅτε γὰρ ὡς ἀμνὸς ἐσφαγιάσθη χριστὸς, ὅτε αὐτὴν τῷ οἰκείῳ αἵματι ἐνυμφεύσατο. ὡσπερ γὰρ τοῦ Ἀδὰμ καθεύδοντος διεπλάσθη ἡ γυνὴ τῆς πλευρᾶς ἀφαιρέσει, οὕτω καὶ τοῦ Χριστοῦ τῷ σταυρῷ ἑκουσίως δηλαδὴ θανάτου
ὑπενεχθέντος τῆς ἐκ τοῦ ἐκτὸς πλευρᾶς αἵματος ἡ ἐκκλησία συσσᾶσα, τῷ παθόν-
» τι δι' ἡμᾶς ἥρμοσται. Καὶ ἀπήνεγκέ με τῷ πνεύματι, ἐπ' ὄρος μέγα καὶ ὑψηλόν.
Καλῶς τὸν πνεύματι. ἄλλη γὰρ ἐκ τοῦ πνευματικῆς χάριτος ἀνθρώπινός τις νοῦς ὑψώθη ὡς ἐν προνοίᾳ γενέσθαι τῆς ὧν ἁγίων δόξης. ἡκότως δὲ ἡ ἐκκλησία ἡ ὑπερκόσμιος ὧν ἁγίων ζωὴ, καὶ πολιτεία ἐς ὄρος μέγα καὶ ὑψηλὸν παρεδείκνυτο. οὐδὲν γὰρ παρ' αὐτῆς χθαμαλὸν ἢ ταπεινὸν καὶ χαμαίζηλον, ἀμὰ πάντα ὑψηλὰ καὶ ἐπιπρεμνα.
» Καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἐκ τοῦ
» Θεοῦ, ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ. Ἀπὸ τῆς ὧν αἰνιγμάτων ἀδηλίας τὴν μο-
μικὴν λατρείαν τεθέαται ὁ εὐαγγελιστὴς καταβαίνουσαν, οὐ προικὶ καταβασιν, ὅτι μηδὲ τὸ ἀπὸ τῆς Ἱερουσαλὴμ καταβαίνοντας ἰσάγγελα καὶ τὰ τῶν εὐαγγελίοις παραβολὴν, προικὶ ἰσηλεῖται καταβασιν, ἀμὰ γνώσεως θείων δογμάτων μεταβασιν. ἐνταῦθα δὲ ἐστὶ καὶ Θεὸς τῆς δόξης συλλαμβανόμενος, πρὸς οὐδὲν ταπεινὸν ἡ καταβασις, ἢ μὴ τῆς ἀδηλίας καὶ κρυφιότητος ἡ φανέρωσις, οὐχ ὑπὲρ ἀνθρωπίνην ὁρμὴν, ὡς τοῦ πρεμβολῆς, ἀμὴ ἐκ θεοῦ ἐπῆς σωτελουμένην.

Ὁ φωσὴρ

» Καὶ ὁ φωσὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ Ἰάσπιδι κρυσταλλίζοντι, ἔχου-
» σάντε τεῖχος μέγα καὶ ὑψηλόν. Φωσῆρα τὸ χρυσὸν καλεῖ. λίθῳ δὲ τιμιωτάτῳ ἀπει-
κάζεται ὁ φωσήρ, ὅτι καὶ λίθῳ Ἰάσπιδι παραβάλλεται τὸ τεῖχος τῆς ἀπ' οὐρανοῦ
Ἱερουσαλήμ. χλοερὰ δὲ ἡ Ἰάσπις, τὸ φερέσβιον καὶ ξυοδρόσον ἐμφαίνουσα τῆς πρε-
νοίας τοῦ Χριστοῦ, οὗ πορφυρᾶ τὸ τεῖχος τὸ ἐξ Ἰάσπιδος συντετελεσμένον, ὃ καὶ ὁρᾶται
ἀνθρώπῃς ὡς καὶ ἀληθήσει λιθοειδόν. τὸ τεῖχος μὲν οὖν Ἰάσπιδι ὡράθη λίθῳ συντετε
λεσμένον, διὰ τὸ χλοερὸν τοῦ χρώματος. χλόη γὰρ ἥλκεῖται πάσης τροφῆς.
ἁγιὰ καὶ κρυσταλλίζουσα ἡ Ἰάσπις τοῦ τείχους τὸ καθαρὸν καὶ ἄμωμον ἀνυπερβλήτῳ τοῦ
πλειχομένου. ἁγιὰ καὶ ὑψηλὸν φησι τὸν καὶ μέγα. ὑψηλὸν γὰρ τὰ πονηροῖς καὶ χαμαι-
ζήλοις ὁ ὕψιστος ἐναρέσκειν καρίκειν, ἀνθ' ὧν εἰς μετάρσια τὰ φρονήματα, καὶ τῆς ὑψηλοῦ
ἐχόμενα σεμνότητος. τὸ δὲ τοῦ φωσῆρος εἶδος, λίθῳ μὲν παραβάλλεται τιμιωτάτῳ,
ὑπὲρ μέτρον καὶ τὴν ἰδέαν ὁπτοῖος φαίνεται, ὅτι μὴ δὲ ἅπαν τρὶς καὶ ἀφθάρτοις τοῖς θεοῖ
τατα καὶ ἀληθήσει ἀδούλωτα πρὸς φυκεν ὑπόδειγμα πέξεσθαι.

» Εἶχε δὲ πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα.

Οὐδὲν ἐκ τούτων ἀφορισκελὲς νόημα εἰς σαφήνειαν μυθελκόμενον τυγχάνει. ὅτε
μὲν γὰρ ἀριθμὸς σαφῶς τοῖς ἀποστόλοις κυρίου ὑποφαίνει, ὅτε χρεία ὧν πυλώνων ὡς ἡ-
σαγόντων εἰς τὸ τῆς ζωῆς ταμιεῖον τοῖς αὐτοῖς ἀποστόλοις παρίσται, δι' ὧν τοῖς ἔθνη τῷ
Χριστοῦ ταμιείῳ ἐσήχθησαν. ἀγγέλους δὲ δώδεκα ἐπὶ ὧν πυλώνων καθίστασιν,
οἷς τοῖς ἀποστόλοις ὀξυλήφασι, δι' ὧν ἡ ἔισοδος ἡμῶν, καὶ ἡ πρὸς τὸν πατέρα πρόσα
γωγὴ ἐνήργηται ἐπὶ συνεργίᾳ ἀγγέλων ἰσαρίθμων ὧν πευχόντων ἐκ μᾶλλον τῇ ἐπὶ
τασίᾳ ἀφορισμένων ὧν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ καὶ τὴν ἀγχισέαν τῶν ἁγιότη
τι θεμελιωθεῖσαν. ἐκ μάλα ἠκότως. ἐξ ἁπάσῃ τῶν πιστῶν, ἀγγελον ἕνα θαι πεπιστεύ
καμεν, πολλῷ μᾶλλον τοῖς θεμελίοις τοῖς τῆς ἐκκλησίας, ἐκ τοῦ εὐαγγελικοῦ λόγου
πορευῦσιν, ἀγγέλους συνεργοὺς πρὸς τὸ εὐαγγελικὸν κήρυγμα νοεῖσθαι ἀκόλουθον.

» Καὶ ὀνόματα ἐπιγεγραμμένα. Ἐπὶ μὲν τῆς Μωυσέως λατρείας τὰ τῶν
ἀρχιφύλων ὀνόματα ἐπὶ τῆς ἐντολῆς γεγράφθαι πρόσταγμα. ἵνα δὲ τὴν κύριον
Ἰησοῦν διαθήκην τοῦ νέου Ἰσραὴλ καὶ ὀνόματα ἐπὶ τοῖς πυλῶσι, φυτέσι τοῖς ἀναγω-
γοῦσι πρὸς ὧν καὶ εἴρηται, ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ὄνομα τὸ
καὶ τὴν πίστιν τὴν καὶ Χριστὸν μυστήριον λέγων, ὃ ἐκ ἐξ ἀποῤῥήτου ἐχεμυθίαν,
ἀλλ' ἐξ ἅπασι προὔπτον προβάλλεσθαι ὑπισχνεῖται. ἀναλόγως δὲ ταῖς ἀπὸ Ια-
κὼβ φυλαῖς καὶ οἱ πυλῶνες, ὅτι μηδὲ πάντα κατέργηται καὶ τῆς παλαιᾶς τῇ καινὰ
Χριστὸν πίστει, ἀπὸ ὅσου καὶ ὑπιόντι τῆς ἀνδρικῆς καθάσεως ἀσθενέστερα.

» Αἱ εἰσὶν ὀνόματα τῶν δώδεκα φυλῶν υἱῶν Ἰσραὴλ. ἀπὸ Ανατολῶν, πυλῶνες τρεῖς. ἐ
» ἀπὸ Βορρᾶ πυλῶνες τρεῖς. ἐ ἀπὸ Νότου πυλῶνες τρεῖς. ἐ ἀπὸ Δυσμῶν πυλῶνες τρεῖς.

Τοῖς πιστοῖς καλέσας Ισραὴλ ἐπιμεμύηκε καὶ τῷ τὸ πληρώματος αὐτῶν ἀριθ-
μῷ. δώδεκα γὰρ φυλαὶ ἦσαν, ἃς δὴ καὶ τὴν τριάδα διηρῆσθαι τῷ τετραμερεῖ τοῦ
κόσμου σχήματι ἐ ἰσαρίθμοις τοῦ σωρικοῦ σημείου τῇ διασολῇ καὶ τριπλασιασμόν,
δῆλον, καὶ τὰ ἀφορισμένα μέρη ἀποφήνας, τούτων ἐ τρισὶ πάλιν πυλῶσιν ἕκαστο

ἡλικέναι τὴν ἔισοδον διαγράφει. γὰρ ἔστι τοῖς τοῦ ἐσωζωμένου κυρίου μυήσεως κα-
τευμοιρῆσαι, μὴ τῇ ὑστεροῦσῃ τριάδι τὸ ἀσαγώγιμον ἡλικότα. ἅπαντα γὰρ τοῦ κό
σμου τὰ τέσσαρα οἱ θεῖοι ἀπόστολοι διῆλθόντες, τριάδα τε ὁμοούσιον τοῖς ἔθνεσι κηρύ
ξαντες, ἐβάπτισαν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

» Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐπ' αὐτῶν δώδεκα ὀ-
» νόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.

Τοῖς δώδεκα ἀποστόλοις ἤδη καλῶς πρώην διεσάφησεν, ὅτι τοῖς δώδεκα ἀπο
στόλοις διίλοιπεν ὁ σωτὴρ, οἷς καὶ πυλῶνας καὶ θεμελίοις φησί. θεμελίοις, ὡς τῆς
κατὰ Χριστὸν πίστεως τῶν ὑποβάθραν αὐτοῖς καταβεβημένοις. πυλῶνας δὲ, ὡς δι'
αὐτῶν ἤδη, ἤγουν διὰ τοῦ κηρύγματος αὐτῶν, τὸ ἀσαγώγιμον τῆς καὶ Χριστὸν πί-
» στεως εὑρίσκειν. Καὶ ὁ λαλῶν μετ' ἐμοῦ εἶχε μέτρον, κάλαμον χρυσοῦν, ἵνα με-
» τρήσῃ τὴν πόλιν, καὶ τοὺς πυλῶνας αὐτῆς, καὶ τὸ τεῖχος αὐτῆς.

Ο μὲν κάλαμος ᾧ διεμέτρει τὴν ἁγίαν πόλιν, γεωμετρικὸν ὑπῆρχε. χρυσοῦν
δὲ διὰ τὸ τίμιον τότε μετροῦντος ἀγγέλου, καὶ τῆς μετρουμένης πόλεως. ἀνθρω-
πείως δὲ ἐθεωρήθη ταῦτα, ὅτι μηδὲ ἄλλως ὁραθῆναι ταῦτα δυνατὸν θεῖα ὄντα
καὶ ὡς ἔχει φύσεως. πόλιν δὲ τὸ καὶ Χριστὸν μυστήριον, ἐξ οὗ οἱ πυλῶνες ἐμβιβάζοντο
ἀποίλαχον, ὅτι διὰ τοῦ κηρύγματος ἡ καὶ Χριστὸν πίστις γνωρίζεται.

» Καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς, ὅσον τὸ πλάτος.

Τοῦ τείχους καὶ τῆς πόλεως τὸ σχῆμα, τετράγωνον, καὶ ὧν πυλώνων ἐξ δώ
δεκα. τετράγωνος γὰρ οὖσα ἡ πόλις, τῷ σωρικῷ σημείῳ κατὰ τὸν διάμετρον
διηρέθη, ἀφ' οὗ καὶ αἱ τέσσαρες πλευραὶ ἀνὰ τρισὶ πυλῶσι τὴν εἴσοδον νεμοί-
ρησαν σχεῖν, ὡς ἔφθημεν παραθέμενοι.

» Καὶ ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώδεκα χιλιάδων. τὸ
» μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί. καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκα
» τὸν τεσσαράκοντα τεσσάρων πηχῶν, μέτρου ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου.

Ισαρίθμοι τοῖς μακαρίοις ἀποστόλοις οἱ σταδίοι. ἔστι καὶ τὰ κηρύγματος αὐτῶν κατ
τὸ ἐκείσε ἀποκεκμηνὴν λῆξις, ἰσόμετρος οὖσα καὶ πάσας τὰς διαστάσεις, καὶ
τὰ κατὰ θεὸν βίου αἱ ἀρεταὶ ὧν συμμετρίας τὸ εἶναι ἔχουσι καὶ τὸν Παῦλον τὸν θεῖον,
ὃς οἶδε καὶ πατεινοῦσθαι, καὶ περισσεύειν, καὶ χορτάζεσθαι, καὶ πεινᾶν. οὕτως ὁ ἀριθμὸς
τῶν μακαρίων ἀποστόλων ἐμφασιν ἔχει. ὁ δώδεκα γὰρ ἐφ' ἑαυτὸν πλυσιασθείς,
τὸν ἑκατὸν τεσσαράκοντα τέσσαρα ποιεῖ. τὸ δὲ μέτρον τῶν ἑκατὸν τεσσαράκοντα τεσσά
ρων πηχῶν μέτρον ἀνθρώπου ἁγίων φέρει, ὅτι τὸ μέτρον τοῦτο, ἡ καὶ καὶ τὸ
δοκοῦν ἀνθρώποις ὀξυπίνεκται διὰ πήχεως, μήτις μάντι οἰέσθω καὶ ἄνθρωπον τὸν μέ-
μετρημένα, ἀλλ' ἄγγελον ἀνθρωπίνως χρησάμενον τῇ μετρήσει καὶ οὐκ ἀγ-
γελικῶς τῇ ἀπλῇ προσβολῇ καὶ νοήσει.

» Καὶ τὸ ἔνδομησις τοῦ τείχους αὐτῆς, Ἰάσπις.

Ενδόμησιν, τὸν οἰκοδομιὸν λέγει, οἱονεὶ τὸν συνοικοδομὴν καὶ ἀκρίβειαν τοῦ σοφοῦ τὸ
κήρυγμα ὧν ἀποστόλων. ἡ δὲ χλωρίζουσα Ἰάσπις, τὸν τοῦ εὐαγγελίου δρόμον ἀ-

νίπτεται τὸν χλωρίζον εἰς ἀεὶ καὶ ἀμάραντον διατηροῦντα τὸ κήρυγμα.

» Καὶ ἡ πόλις χρυσίον καθαρόν, ὅμοιον ὑάλῳ καθαρῷ. οἱ θεμέλιοι τοῦ τείχους
» τῆς πόλεως, παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι. ὁ θεμέλιος ὁ πρῶτος, Ἰάσπις. ὁ δεύ
» τερος, Σάπφειρος. ὁ τρίτος Χαλκηδών. ὁ τέταρτος, Σμάραγδος. ὁ πέμπτος,
» Σαρδόνυξ. ὁ ἕκτος, Σάρδιον. ὁ ἕβδομος, Χρυσόλιθος. ὁ ὄγδοος, Βήρυλλος. ὁ
» ἔνατος, Τοπάζιον. ὁ δέκατος, Χρυσόπρασος. ὁ ἑνδέκατος, Ὑάκινθος. ὁ δωδέκα
» τος, Ἀμέθυστος. καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα Μαργαρῖται.

Τὸ λείξουν κήρυγμα ἐπικατασκήνωσιν ἄγει τῆς μακαρίας καὶ ἀδιαδόχου ζωῆς, ἥτις πόλις, ἥγουν σκήνωσις, χρυσίῳ παραβάλλεται καθαρῷ, ξενιζούσῃ τὴν διανοιαν, Ὑάλῳ καθαρῷ ὁμοιουμένη. οἱ δὲ θεμέλιοι τοῦ τείχους τῆς πόλεως, παντὶ λίθῳ κεκοσμημένοι. λίθοις πολυτίμοις διαμορφοῖ τὰς ἀρετὰς ὧν θείων ἀποστόλων, οἵσι καὶ θεμελίοις καλεῖ τῆς πόλεως. δώδεκα δὲ ὄντων ὧν λίθων ὧν φησι τῷ λογίῳ τοῦ ἀρχιερέως, ὀκτὼ μόνον ἐκτύποις τοῖς θεμελίοις ὑπέθηκε. φησὶ τέσσαρας δὲ παρειλλαγμένοις, ἵν' ἐκτύπων φανῇ καὶ τὸ σύμφωνον τῆς παλαιᾶς πρὸς τὴν νέαν, καὶ τὸ ὑστερέχον τῆς νέας καὶ ὧν φησι αὐτῇ διαλαμψάντων ὅσον πρὸς τὴν παλαιάν. οἱ τρίγωνοι ἀπόστολοι πάσῃ ἀρετῇ τῇ διὰ ὧν τιμίων λίθων ἐμφαινομένῃ κεκοσμῶνται.

α' Ὁ πρῶτος Ἰάσπις. διὰ τῆς Ἰάσπιδος χλωρίζουσης τὴν χροιὰν καθ' ὃν Σμάραγδον, ἡκὼς τὸν κορυφαῖον Πέτρον δηλοῦσθαι, ὃς πρὸ τοῦ πάθους τοῦ κυρίου φιλοπρωτίᾳ τῆς πρὸς αὐτὸν τοῦ κυρίου ἐρωτήσεσιν ἀειθαλῆ ὧν καὶ νεάζων, ἔφασκε γοῦν τῇ αὐτοῦ τοῦ θείου χλωρότητι κατὰ τὸ τοῦ διδασκάλου πάθος κατακρατηθεὶς ὡς καὶ πρὸς ἄρνησιν χωρῆσαι. ὅμως τῇ αὐτῇ πάλιν καθ' ὃ κρεῖττον συγκροτούμενος ἀειθαλίᾳ, αὐτός τε τοῦ θαναρωτέρας ταῖς ὧν δακρύων ῥοαῖς ἀπόπλακται λίψοις, καὶ ἡμᾶς ἧς τὸν χλόης διὰ τοῦ ὕδατος τοῦ σωτηριώδους βαπτίσματος κατεσκήνωσεν.

β' Ὁ δεύτερος Σάπφειρος. οὕτως τοῦ Καλαΐνου χρώματος καλουμένου, ὅπινες Βένερη φασὶ, τῷ γραπτῷ ἀπεικάζεται χρώματι, ἤτοι τῷ τοῦ λέπρος βάθει, ὃ τὸ γράπτον ἐπιπροσθεῖ σῶμα, εἶτε καὶ τὸν αἰθέσει λιπαρόν, ἀμφὶ μὴ κατὰ τὸν Σταγειρίτου τοῦ μισθοῦ σώματος φύσιν τινὰ κατείργασαι. ἀμφὶ καὶ τὸν τῆς ὁρατικῆς αἰσθήσεως ἡμῶν μὴ οἷός τε οὖσης τὰ πρόρρωτάτω διακριβοῦν τοῦ ἐπιπροσθοῦντος οἷά τινος παραστατάσματος, κἂν μέντοι τὸ χρῶμα ἐμφανίζῃ πειρᾶται, Σαπφείρῳ ἀφομοιοῦν τὸν δεύτερον θεμέλιον. ὃς Σάπφειρος τῷ γραπτῷ ἀπεικάζεται σώματι. καὶ ὅτως, εἴρηται. ἐξ οὗ Σαπφείρου φασὶ τὸ Λαζούριον χρῶμα γίνεσθαι. οὕτω τῷ λίθῳ τὸν μακάριον Παῦλον ζωϊκὸν ἀπεικάζεσθαι, ἕως τρίτου γράμου ἀναληφθέντα, κἀκεῖθεν ἕλκοντα τρὶς αὐτῷ πεισθέντος.

γ' Ὁ τρίτος Χαλκηδών. οὗτος ὢν τῷ ἱερατικῷ λογίῳ γε ἐμφέρεται, ἀμφ' Ἀνθραξ ὃς ὑπαῶται γ' κεῖται. σκοπιτέον δῶν, μήποτε τὸν Ἄνθρακα οὕτως ἐκάλεσαν. Ἄνθραξ δὲ ὁ μακάριος Ἀνδρέας, ἅτε ὢν τῇ ἀχλυῖ τοῦ κατὰ τὸν νόμον βίου αὐτός τε τῷ καθ' ἑαυτὸν φωτὶ τὸν ζητούμενον Μεσίαν εὑρὼν, καὶ τοῖς γνωρίμοις μιμούμενος καὶ ἐμφωνίζων.

νίζων. ἅμα δὲ ἦκαι ἄλλος ὁμοιόχροις Ἀνθρακι ὁ Χαλκηδὼν ἐστὶ λίθος, οὕτω κληθείς, πρόσον καθ' ὃν Χαλκηδόνος πρεσβὺν ἄνω Χρυσοπόλεως κατὰ τοὺς Συμπληγάδας πέτρας τοῖς ἐκτὸς τούτων ἀπανθρώποις χωρίοις, χοιράσει καὶ σκοπέλοις ὧν ἀγναλῶν ἢ χρεωμένων μετὰ λίθων ἀνευρίσκεται πλυνίμων, ὡς τὰ πάτρια βιθυνῶν ἀναζεξαμένοις εἴρηται, σκοπιτέον.

δ' Ὁ τέταρτος Σμάραγδος. διὰ τὸ Σμαράγδου τὸ πράσιον χρῶμα ἐμφανιζομένου, τῶν τε διαύγειαν ἐξ αὐτοῦ προσλαμβάνοντος καὶ τὴν ὥραν, τὸ τοῦ εὐαγγελιστοῦ Ἰωάννου νομίζομεν διὰλοῦσθαι κήρυγμα, θείῳ ἐλαίῳ φαιδρύνοντος τὴν πεσοῦσαν ἡμῖν ἐξ ἁμαρτίας κατήφειαν.

ε' Ὁ πέμπτος, Σαρδόνυξ. τούτῳ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου χαρακτηρίζεσθαι ὑπειλήφαμεν. ὡς γὰρ ὁ λίθος οὗτος καὶ χροὰν αἱματαίαν ἐγκολπίζεται, οὕτω δὴ καὶ ὁ μακάριος οὗτος, ὠχαρχαμένου τοῦ φωτειδοῦς λευκοῦ καὶ θείου κηρύγματος, τῷ δ' αἵματος δρόμῳ τῷ διδασκάλῳ Χριστῷ πρὸς τὴν ὑγρὰν καὶ ἀέιζουν λῆξιν, καὶ πλήρη φωτὸς, παρατέμπεται.

ς' Ὁ ἕκτος, Σάρδιον. οὗτος πυῤῥὸς τὴν χροὰν ὁρμώμενος, τῷ διαπύρῳ τῆς περὶ Χριστὸν διαθέσεως τὸν Φίλιππον ἀναφέρει. ὡς γὰρ ὁ λίθος οὗτος θεραπευτικῷ ἔχει δυνάμιν οἰδημάτων σαρκικῶν καὶ ὧν ἀπὸ σιδήρου πληγῶν, οὕτω καὶ τῆς τοῦ Φιλίππου ἀρετῆς τὸ κάλλος ὑπηρύετο.

ζ' Ὁ ἕβδομος, Χρυσόλιθος. Βαρθολομαῖος ἀπεικάζεται τῷ Χρυσολίθῳ τῷ πλυνίμῳ, ὧν ἀρετῶν χρυσοειδεῖς ἀπεστίλβων λαμπρότητας καὶ οὗτος, οὐ μέντοι καὶ ὡς ὁ χρυσὸς τῷ τίκεσθαι δυσυχὼν, τερπόμενος δὲ λιθίνῃ πρὸς τὸ κήρυγμα καθ' ὅλου ὧν ἔμμονον.

η' Ὁ ὄγδοος, Βηρύλλιος. Θωμᾶς ἦκαίξεται τούτῳ, θαλλασσοειδεῖ τῇ χροᾷ, καὶ ὑακινθιζούσῃ, ὅ, τε πρὸς πίστιν αὐτοῦ ἀστάθμητον ὑπογράφοντι, καὶ μάλιστα τὸ μακροθυμεῖν τῆς ἀποστολῆς μέχρις Ἰνδῶν καὶ διὰ θαλάσσης ἐκτελεσθείσης.

θ' Ὁ ἔνατος, Τοπάζιον. ὁ Τόπαζος ἐρυθρὸς καὶ ἀνθρακίζων τῷ εἴδει, καὶ λευκὸν ὁπὸν ἀφιεὶς ὀφθαλμιῶσιν ἀλεξίπτονον, τὸν θεῖον Ματθαῖον ἕξει ἀφομοιούμενον, πεπυρωμένον τῷ θείῳ ζήλῳ ὡς καὶ τῶν μέχρι σαρκὸς καὶ αἵματος, καὶ γαλακτοτροφίας ἀναθρώσασιν τοῦ θεοῦ ἀναγράψαι. διὸν τοὺς τῶν καρδίαν τυφλώττοντας καὶ νηπιώδει τῇ πίστει, τοὺς κατὰ μόνον φημὶ πολιτείᾳ παιδαγωγουμένους, πρὸς ἀνδρικὴν κατάστασιν τῶν καθ' Χριστὸν ἐπαναγαγεῖν.

ι' Ὁ δέκατος Χρυσόπρασος. τούτῳ Θαδδαῖος ἀνάκειται, ὁ τῷ Αὐγάρῳ βασιλεῖ Ἐδέσσης τὴν τοῦ Χριστοῦ πίστιν εὐαγγελισάμενος, ἥτις χρυσὸς χρηματίζουσα τὴν ἰδέαν, καὶ ταύτῃ τὸ τίμιον ἑαυτῆς μηνυομένη, ᾗδε τοῦ Πρασίου μοιρεῖ, εἴτουν τὴν πρὸς τὸ ἐμπαθῆ νέκρωσιν τῆς κατὰ Χριστὸν πίστεως ἀνιπτομένης τῆς ἀποκαλύψεως, εἴτε καὶ τὸ ἀέιζουν διὰ τῆς ἀειθαλείας τοῦ πρασίου χρώματος.

ια' Ὁ ἑνδέκατος, Ὑάκινθος. Τούτῳ κωμίζουσι τὴν χροάν, ἥγουν ἀερίζουσι ὁ Σίμων ὁ ζηλωτὴς ἀπεικάζεται τοῖς μὲν ὧν Ζηλωτῶν ἀφθόνοις φόροις χρηματίζων, (διὸ καὶ ὡς ἀερίζων

ὡς ἀερίζομαι καὶ ὀξύνεται μου τὸ φρόνημα, καὶ ἀναζωπυροῦται τὴν ἐπιγνῶσιν τῆς ἀληθείας, καὶ ὀψὲ, τὸν ζῆλον ἐπὶ τὸ βέλτιστον μεθαρμοσάμενος.

ιβ΄ Ὁ δωδέκατος Ἀμέθυστος. οὗτος πυρρὸς τὸ χρῶμα φαινόμενος, τῷ Ματθίᾳ ἡνίκα τὸν ἀφορισθῆναι, τῆς ἀπ' οὐρανοῦ εὐεργεσίας ὁ πάσας ἐμπύρου δρόσου τοῖς ὧδε κοινωνοῦντι, παρὸ καὶ μέθης κατάλληλοι τοῖς ἀνοήτοις ὑπῆρξεν, καὶ πάσης νήψεως κρείττοσι διέκειντο. διόπερ καὶ τῷ Ἀμεθύστῳ προσενεμήθη. ὅτι ὁ μηδὲ τὸν Ἀμέθυστον ἐπιφερόμενος, ἵνα πάσθαι μέθης διατελεύλληται.

» Ἀναξὶς ἕκαστος ὧν πυλώνων ἓν ὄξενὸς Μαργάριτον, καὶ ἡ πλατεῖα τῆς πόλεως, » χρυσίον καθαρὸν, ὡς ὕελος διαυγής. καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ. ὁ γὰρ θεὸς ὁ παν» τοκράτωρ ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον. Μαργάριτας, τοὺς ἁγίους ἀποστόλους ἀξιωκάξι, καὶ ἀνὰ ἕκαστον αὐτῶν τὸ παράδοξον ὑπερβάλλοντος τὴν λευκότητα τοῦ βίου ἐπιφαίνοντας, ἀλλ' ἤδη καὶ τῷ μεγέθει καὶ ἀναρίθμητι τῶν ἐγκαρπμάτων τὸ κατάπλουτον ἐπαγομένους. πλὴν δὲ πλατείαν τῆς πόλεως, ἤτοι τῆς μακαρίας κατασκηνώσεως, τὸ διεξοδικὸν καὶ βιώσιμον, χρυσῷ ἀπεικάσεν.

» Καὶ ἡ πόλις ὑ χρείαν ἔχει τοῦ ἡλίου ὑδὲ τῆς σελήνης, ἵνα φαίνωσιν αὐτῇ. ἡ γὰρ » δόξα τοῦ θεοῦ ἐφώτισεν αὐτὴν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. καὶ περιπατήσουσι τὰ » ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς, καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τιμὴν αὐ» τῶν εἰς αὐτήν. καὶ οἱ πυλῶνες αὐτῆς, ὑ μὴ κλεισθῶσιν ἡμέρας.

Τῶν ἀληθῶν ἁπάντων ἐνδεχομένων, ἡνίκα καὶ ἥλιος ἢ σελήνη ἐνδέχεται, ἅτε νοητῶν πάντων ὄντων τῶν ἐν τῇ πολιτείᾳ κατασκήνωσιν περιαυγαζομένων.

» Νὺξ γὰρ οὐκ ἔσται ἐν αὐτῇ. Ἐπὶ μὲν νὺξ ἐκεῖ καθ' ὧν μοχλοῖς καὶ κλείθροις περιγίνεται ἡ ἀσφάλεια, ὅτι κἀκεῖ τοῖς θείοις πυλῶσιν οἷς τοῦ ἁγίοις εἶναι ἡρήκαμεν ἐνεργεῖς ἔσονται πρὸς τὸν ὧν τελειοτέρων μύησιν. ἡ μέρα γὰρ οὐσης ἀεὶ, καθ' ὧν τὰ τῆς φωτὸς ἔργα πεπράξεται, ὡς οἷόν τε τὸν νυκτερινὸν ἀπραξίαν πρεῖσδυσιν ἐκεῖ σχεῖν, νυκτὸς τὸ παράπαν οὐκ οὔσης; δοτὸν δὲ τὸ ὄνομα. ἡ γὰρ τῶν βουλεται δ' ἁπλοῦν ὅτι ἡρήνη ἔσται καὶ ἀσφάλεια ὡς μὴ δεῖσθαι φυλακῶν πρεῖσθαι τῆς πόλεως, τῇ ὧν πυλῶν ἀπρκλείσει, ἢ τὸ κἀκεῖ τοῖς θείοις πυλῶνας τῆς ἀποστολικῆς διδασκαλίας ἡνεῷχθαι πᾶσι πρὸς τὸν ὧν τελειοτέρων μάθησιν. ἡμέρα δὲ ἔσται ἐκεῖ καὶ ὑ νὺξ, ὅτι αὖτη τοῖς ἁμαρτωλοῖς ἀπκληρωθήσεται.

» Καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμήν.

Οἱ δὲ γήϊνα καταγωνισάμενοι πάθη, οἴσουσι δόξαν τῷ σωὰν πλαμβανομένῳ θεῷ. ὑδενὶ γὰρ ὧν καταρτωμένων ἀνθρώπεις θείας ἐπικουρίας ἐκτὸς συζυγίᾳ.

» Τῶν ἐθνῶν εἰς αὐτὴν, ἵνα σωθῶσιν. καὶ ὑ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ » τριοῦ βδέλυγμα καὶ ψεῦδος, ἢ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

Οἷς ἄνω βασιλεῖς ἔρικε γῆς, τύπεσι ἡσαγωγοῖς φησι ὧν ἐθνῶν τῆς δόξης καὶ τῆς τιμῆς. τί δὲ ἀπὸ τούτων πίστεως; ἢ ὅτι οἱ καταπαλαίσαντες τὰ πρὶ γῆν ἑλυτρώμενα πάθη τῷ καθ' ἑαυτοὺς ὑποδείγματι καὶ τοῖς λοιποῖς ἔθνεσιν εἰσαγώγιμον πεποιήκασι τὴν ἄνω Ἱερουσαλήμ, οὗπερ ὑπόδειγμα, δόξα καὶ τιμὴ, ἢ πρὸς δόξαν καὶ τιμὴν

καὶ τιμὴν τοῖς ἔθνεσι συντέλεσε.

» Καὶ ἔδειξέ μοι ποταμὸν καθαρὸν, ὕδατος ζωῆς, λαμπρὸν ὡς κρύσταλλον ἐκπορευό Κεφ. ξ΄ » μενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν μέσῳ τῆς πλατείας αὐτῆς. 22

Διπλοῦν ἴσμεν τὸ ποταμοῦ τὴν ὠφέλειαν, διψῶσι ἀνάκτησιν, καὶ ῥύπου κάθαρσιν, ὧν ἀμφοτέρων πλήρεις ἡ καθ' ἑκάστην εὐαγγελικὴν Χριστοῦ κήρυγμα ζωή. διψῶντες γὰρ ἀνεκτήσαντο ὧν πρὸ τῆς παρουσίας Χριστοῦ πεφιλῶν, ἐδίψησόσι φασιόντων ἡ ψυχὴ ἡμῶν, καὶ βαπτίσματι θεουργῷ τοὺς λουομένους ἁγνίζουσα ἐκάθαρε. καὶ ὅτι τὸ βάπτισμα σποπὸς παρεμφαίνειν τὸν ποταμὸν τῷ Εὐαγγελιστῇ, ὡταῦθα ἐχέγγυον πιστώσασθαι τὸ ἀπὸ τοῦ θρόνου τοῦ ἀρνίου ἐκπορεύεσθαι αὐτὸν ὑποθέσθαι, καὶ μέσον τῆς πλατείας διαῤῥεῖν, τὸ εὐαγγελικοῦ δηλαδὴ κυρύγματος. ὃ γὰρ ἐστὶν ἡ ἐς τὸν ἄνω Ἱερουσαλὴμ ἀπέλθειν κατὰ τὸν τοῦ κυρίου φωνὴν τὸν μὴ ἄνωθεν ἀναγεννηθέντα ὑ ὕδατος καὶ πνεύματος.

» Καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς τριοῦν καρπὸς δώδεκα κατὰ » μῆνα ἕνα ἕκαστον ἀποδιδοὺς τὸν καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν » ὧν ἐθνῶν, καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἐκεῖ.

Ἐντεῦθεν καὶ ἐκεῖθεν τοῦ εὐαγγελικοῦ κυρύγματος, ἐντεῦθεν, κατὰ τὴν παροῦσαν ζωὴν, ἐκεῖθεν, κατὰ τὸν μέλλοντα αἰῶνα. ξύλου δὲ ζωῆς, τὴν ἐνθεου φησὶ θρφίαν. τοῦτο τοῦ ξύλου, ἡ κατὰ Χριστὸν ἐγκράτεια διδασκαλία ἀπὸ τῆς οὐτεύθεν εὐπραγίας εἰς τὴν μακαριότητα καταντήσει. τίς δὲ ἡ οὐτεύθεν εὐπραγία; τὸ προσηκόντως μεταχειρίζεσθαι καὶ κατὰ καιρὸν τὰς θεοπρεπεῖς ἀρετὰς, ἀμφὶ μὴ ἀκαίρως ἢ ὑπερβαθμίως ἐπανενεγκεῖν τῷ ἀπουδάσματι ματαιοπρεπῆ. ἰσάριθμος δὲ τοῖς δέκα πρεσβυτέροις καὶ ἡ κατὰ καιρὸν μεταχείρισις, ὅτι μηδ' ὑπερτείνειν, ἀεὶ δὲ ὧν δεῖν ἐχρῆν τὸ καιροῦ τοὺς ἐργάτας, τεταγμένως δὲ διεξάγεσθαι τὰ πάντα τῆς θρφίας πριοῦσας. πρὸς τούτοις, καὶ τὰ φύλλα φησὶ τοῦ ξύλου εἰς θεραπείαν καταγγέλλεσθαι, οἱονεὶ φιμίζεσθαι, ὧν ἐθνῶν, τί δὲ τούτων ὠφέλησαι θέλων; τὸ φύλλον ὅσον ὡραιότατον ἴσμεν σκέπασμα. ἐκ τούτου σωτήριον ὡς τὰ τελεώτερα ὧν καὶ θεῖα διανοίας κρυφαλλοφορεῖ ὡραιοτάτης ἔργων τοῖς τελειοτάτοις κατ' ἀρετὴν εἰς ὀξέτασιν ἀνατίθεται. ὡραῖοι γὰρ ὡραῖος ἐτάσθησονται. ὅσα δὲ τοῦ τροφίμου μὲν ἀμοιρεῖ ὧν καρπῶν, εἰς δεῖγμα δὲ τοῦ ὅτι τέθνηκε, τὸ φυτὸν μόνον παραλαμβάνεται, τῇ ὧν ἐθνῶν θεραπείᾳ πρεσενέμεται. τῇ Χῦ γὰρ τούτων ὑπαχθέντων δουλείᾳ, τὸ πρὸς ἀκρίβειαν, ὡριπτὸν ἐπὶ τούτων ἀνερευνᾶν. Καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου » ἐν αὐτῇ ἔσται. καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ, καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, » καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ νὺξ οὐκ ἔσται ἐκεῖ, καὶ χρείαν οὐκ ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι κύριος ὁ θεὸς φωτίζει αὐτούς.

Ὁ ἀρετῶν θεοφιλέστατος, εἰς ὄχημα θείου ἑαυτὸν ὑποτρεπικὸς, εἰς τὸν θεοῦ δὲ καὶ τοῦ ἀρνίου ἀνάπαυσιν δηλῶν τῆς παλαιᾶς καὶ καινῆς διαθήκης θείων ἡσυχίσεων ἀοκνως δραμών, καὶ θείας ἱδρύσεως ὑμοιρικὸς, αὐτὸς τῆς πόλεως τῆς ἄνω Ἱερουσαλὴμ ἔσται οἰκήτωρ, καὶ ὄψεται τὸν θεὸν πρόσωπον πρὸς πρόσωπον, ἡ δὲ ἀνιγμάτων, ἀπὸ ὡσπερ

τοῖς ἁγίοις

τοῖς ἁγίοις ἀποστόλοις τοῦ τῷ ἀρνίῳ ὀργὴ τεθέαται. ὡς φησιν ὁ μέγας Διονύσιος.

» Καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Οἱ ἅγιοι διὰ λουπὸν συμβασιλεύσουσι Χριστῷ εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

» Καὶ εἶπέ μοι, οὗτοι οἱ λόγοι, πιστοὶ καὶ ἀληθινοί. καὶ κύριος ὁ θεὸς τῶν πνευμάτων τῶν

» προφητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει.

Τὸ ἠθικὸς αὖ τῷ μακαρίῳ οὗτος εὐαγγελιστὴς κἀνταῦθα, ὡς καὶ τῷ τῷ εὐαγγελίῳ αὐτοῦ, εἰς γνώρισμα τοῦ γνησίου, τε, καὶ ἀδιάπλαστον ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ, οὕτω καὶ νῦν ἐπισφραγίζων φησὶ, τοῖς λόγοις πιστοῖς καὶ ἀληθινοῖς ἐκτεθεῖσθαι, ἐκεῖθεν ἕλκοντας τὸ πιστὸν, ἀπὸ κυρίου τοῦ θεοῦ δηλαδὴ, ὃς καὶ τὸ χαρίσματος τῶν προφητῶν κύριος. τοῦτο γὰρ βούλεται παραστῆσαι δηλονότι, κύριος τῶν πνευμάτων, ὡς προείρηκε λέγων, κύριος τοῦ προφητικοῦ χαρίσματος.

» Ἰδοὺ ἔρχομαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. καὶ ἐγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα. καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσον προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα. καὶ

» λέγει μοι. ὅρα μή. σύνδουλός σου εἰμὶ ἐγὼ, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν,

» καὶ τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου.

Τοῦτο τηροῦντας λέγει τοῦτο ποιοῦντας μὴ ποριστοῖς ταῖς ἡρημέναις κολάσεσιν ὑπὸ τῷ βιβλίῳ τούτῳ, ἀλλὰ διὰ βίου παραίνεσιν ἀμοιβὴν αὐτῶν.

» Τῷ θεῷ προσκύνησον. Καὶ τοῦτο τῆς ἀποστολικῆς ψυχῆς ἴδιόμα. ὅπερ γὰρ καὶ τῷ εὐαγγελίῳ περιέκλω ἡμῶν. καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ, τοῦτο κἀνταῦθα ποιεῖ αὐτόθεος εἶναι καὶ αὐτοπίστις τῶν προφητευθέντων ὁμολογήσας. διὰ γὰρ τοῦτο τὰ ἑωραμένα ἐπιστώσατο. ἔδοξε δὲ καὶ, ὡς προείρηται, καὶ τὸ τοῦ ἀποστόλου, καὶ τὸ ἑαυτοῦ ἐυλαβές.

Κεφ. οα'. » Καὶ λέγει μοι. μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. ὁ

» καιρὸς ἐγγύς ἐστι. Τοῦτέστι μὴ παρὰ σαυτῷ συγκλείσας φυλάξῃς, ἀλλὰ φανέρωθον ἅπασιν. διὰ δὲ τοῦτο, ὁ καιρὸς ἐγγύς ἐστι, τοιοῦτόν τι βούλεται δηλοῦν. ὁ καιρὸς τῆς ἐκβάσεως τῶν ἡρημένων, ἤγουν τὸ πλεῖσον ἀποχὴ τῶν ἡρημένων ὡς τότε, ἀλλὰ μὴ νῦν χρείαν ἔχεις αὐτῶν ἀκούειν. ὅθεν μὲν οὖν τὸ μὴ σφραγίσῃ παρεῖναι, ἀκούειν χρεία, ὅσον δὲ τὸ μόνον γε παρεῖναι ἀλλὰ σχεδὸν ὑπερκεῖσθαι, σοφιστὸν τὸ ἀκούειν.

» Ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω ἔτι, καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι.

Οὐ προτροπή τοῦτο, ἀλλ' ἔλεγχος τῆς ἑκάστου πρὸς ὅτι καὶ βούλοιτο ὁρμῆς.

» Ἰδοὺ ἔρχομαι ταχύ. ὁ μισθός μου μετ' ἐμοῦ ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ἔσται.

Τὸ ταχὺ εἴτε συγκρίσει τῶν ἀπεράντων αἰώνων εἴρηται, ἢ καὶ πρὸς εὐθυμίαν τῶν ἀποκαμνόντων τὴν ἀντίδοσιν, ἢ δὲ διὰ τὸ ἀπαλόγιστον δὲ πάντως ἀνυπόθετος ἐσόμενον.

» Ἐγὼ τὸ ἄλφα καὶ τὸ ὦ μέγα, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος.

Ὅτι μὲν διὰ τῶν ὑποδείγματος τῶν γραμμάτων ἀρχὴν παρεδήλωσε καὶ τὸ τέλος, ἁδρὸν δυσχερὲς ἐνόησα, καθ' ὅτι καὶ αὐτὸς ὑπέστη. ζητεῖν δὲ τοῖς ἀξετασικωτέροις

ποριζόμενα, τίνος χάριν μὴ διὰ ἑτέρων τῶν, ἢ μὴ διὰ τῶν γραμμάτων ὑπέφηνε. φαμὲν ὅτι, ὡς ἐπειδὴ τὴν ἀποδοχὴν τῶν τούτων ἐπαγγελιῶν μόνῳ τῷ λόγῳ τεπμηριῶν ἐπὶ προσδοκᾶν, διὰ τοῦτο τὸν τρόπον τοῦτον καὶ ὑπ' ἄλλως τως ἐδήλωσε. τεκμήρασθαι δὲ τῆς τοιαύτης διαμορφίας, ἐν τῶν γραμμάτων εὕρεσις. αὐτὰ δὲ ταῦτα, ἐν τῷ Σταλιρίτῃ, σύμβολα τῶν τῇ ἐυσήμῳ φωνῇ ἀνθρώπων. διὰ τοῦτο καὶ τὸ διαλωτικὴν τῶν ὀνομάτων χρῆσθαι φωνὴν ἐδόκει αὐτῷ. καὶ ὑπὸτως τῇ τοιαύτῃ διαμορφίᾳ καὶ τοιούτοις ὑπολείγμασι τῆς ἀρχῆς ἐχρήσατο καὶ τὸ τέλους.

» Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον

» τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν.

Ἤδη εἴρηται, ὅτι τὸ ξύλου τῆς ζωῆς, τὰ θεόθεφα λόγια καλεῖ, ἃ περὶ τοῦ πρακτικοῦ τε τὸ εὐφρονέστατον τῆς σχολῆς ἔχοντα, τῶν ὧν ἁγίων ἐξουσίαν διαπρεπέστατα ἐλευθερίως διὰ ὧν ἀποστολικῶν ῥήσεων ἐυοδούμενα πρὸς τὴν ἄνω Ἱερουσαλήμ. τοῖς πυλῶνας δὲ ὅτι οἱ ἀπόστολοι, ἤδη τεθεώρηται.

» Ἔξω οἱ κύνες καὶ οἱ φαρμακοὶ, καὶ οἱ πόρνοι, καὶ οἱ φονεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ

» πᾶς ὁ ποιῶν καὶ φιλῶν ψεῦδος. Οὐ μόνον τοῖς ἀναιδεῖς ἀπίστοις, ἀλλὰ καὶ τοῖς ἡ ταυρικὸς διὰ τὸ ἀναιδὲς αὐτῶν καὶ ἀπαθαρτον ἀποκλαύστους, περὶ ὧν καὶ ὁ θεασέστιος φησὶ Μωυσῆς, ὁ προβάτων μίσθωμα πόρνης, καὶ ἄλλαγμα κυνὸς εἰς οἶκον κυρίου τοῦ θεοῦ ὑμῶν, πᾶσαν εὐχλώσου. Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρ

» τυρῆσαι ὑμῖν ταῦτα ταῖς ἐκκλησίαις. ἐγὼ εἰμὶ ῥίζα καὶ τὸ γένος Δαυίδ, ὁ ἀστὴρ ὁ

» πρωϊνὸς ὁ λαμπρός. Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν, ἔρχου. καὶ ὁ ἀκούων εἰπάτω

» ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω. καὶ ὁ θέλων λαβέτω ὕδωρ ζωῆς, δωρεάν.

Κἀνταῦθα τὸ διαποτικὸν τῆς μεταφορᾶς τὸν ἄγγελον ἀξίωμα δείκνυται. μαρτυρῆσαι δὲ τὸ διαμαρτύρασθαι, οὐκ ὑπὸ κρυφῆ, ἀλλ' ὑπὸ παρρησίᾳ, ἀλλ' ἀκουόντων ἁπάντων ἅπαντα χοῦ ἐκκλησιῶν, ἵνα μήτις ἐθελοκακοῦσα ἄγνοιαν προφασισάμενος μείνῃ ἀδιόρθωτος, μηνύρως διακείμενος. τὸ δὲ ἐγὼ εἰμὶ ῥίζα καὶ τὸ γένος Δαυίδ, ἀκολουθότερον οὕτω νοεῖν. ἐγὼ εἰμὶ ὁ ἐκπᾶς ῥίζης τοῦ Δαυίδ βλαστήσας κλάδος. γένος δὲ, ὡς δὲ οὗ κατ' σάρκα ἐκβλαστήσας, ὡς εἶναι τὸν Εμμανουὴλ ἐκθεότητός τε καὶ ἀνθρωπότητος. ἀστὴρ δὲ πρωϊνὸς, αὐτὸς ὁ κύριος χρηματίζει. πρωϊνὸς μὲν, ὡς πάσης σωφροζύνης πρώτιος. λαμπρὸς δὲ, ὡς φωτίζων πάντα ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον. πνεῦμα δὲ καλεῖ, τοῖς ἐξιωμένοις τοῦ πνευματικοῦ γάμου, νύμφιον δὲ τὴν ἐκκλησίαν. τὸ δὲ, καὶ ὁ ἀκούων, τοῦτο ὑπεμφαίνει τοῖς μήπω μὲν τῇ ἀγάπῃ πεσυλημμένοις, ἐξ ἀκοῆς δὲ τῶν θείων ἀκουσμάτων πρεσκευασμένοις, οἱ καὶ ἐπαπεύ

» δουσι γνῶναι τὸν κύριον. Μαρτύρομαι ἐγὼ παντὶ τῷ ἀκούοντι τοῖς λόγοις Κεφ. οβ'.

» τῆς προφητείας τοῦ βιβλίου τούτου. Ἀντὶ τοῦ διαμαρτύρομαι, οἱονεὶ διαβεβαιοῦμαι, πιστὸν ἀποφαίνομαι καὶ ἀπαράβατον πᾶν τὸ ἐπισημανθὲν τοῖς λόγοις τῆς προφητείας ταύτης. μαρτύρομαι δὲ ταύτας τὰς πληγὰς ἁπάσας μέλλειν ἐπενεχθῆσθαι ἀμεταστρέπτως, τοῖς δ' ὅλου τοῦ βιβλίου τούτου ἐπαγγελμένας.

» Ἐάν τις ἐπιθῇ ἐπ' αὐτά, ἐπιθήσει ἐπ' αὐτὸν ὁ θεὸς τὰς ἐπὶ πληγὰς τὰς γεγραμ

» μένας ἐν τῷ βιβλίῳ τούτῳ. καὶ ἐάν τις ἀφέληι ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προ-
» φητείας ταύτης, ἀφελεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ τῆς πό-
» λεως τῆς ἁγίας τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.

Διαμαρτύρεται τοῖς ἀκούουσι, μήτε ἀφελεῖν, μήτε προσθεῖναι, ἀλλὰ τὰ γραφικὰ ἰδιώματα τῶν ἀπίκων σωτάξεων καὶ τῶν διαλεκτικῶν συλλογισμῶν μὴ ἰκνεῖ-
» σθαι ἀξιοπιστότερα ἢ σεμνότερα. Λέγει ὁ μαρτυρῶν ταῦτα. ναὶ ἔρχομαι ταχύ.
» ἀμήν. ἔρχου κύριε Ἰησοῦ Χριστέ. ἡ χάρις τοῦ Χριστοῦ, μετὰ πάντων τῶν ἁγίων, ἀμήν.
Ὁ διαμαρτυρόμενος ταῦτα, δι' ἐμοῦ, φησί, λέγει. Ἰδοὺ ναὶ ἔρχομαι ταχύ. διέκοψε γὰρ τὸν εἱρμὸν τοῦ λόγου, ὡς καὶ πρὸ τούτου μεταξὺ τὰ ἀφέαυτοῦ λόγου, τὸν χρηματίζοντα Χριστὸν αὐτῷ πρόσωπον ἀγάγων. οὕτως οἶδε καὶ νῦν τάχα εἰς παραμυθίαν τοῦ χρηματιθέν
τος ταῦτα, γνήσιον ὄντως φησὶ τὸ, ναὶ ἔρχομαι. ἢ οὕτω λέγει τοῦ χρηματίζον
τος ἢ καὶ αὐτοῦ τοῦ χρηματιζομένου ἀκουσέσθω, ἵνα νοῆσαι οὕτως. ἐγὼ
ὁ μαρτυρῶν ταῦτα, ἥκω καὶ τὴν ἀναγκαίαν τοῦ βίου ἐλευ-
νομαι προθεσμίαν καὶ πρὸ τοῦ ἐπισπᾶναι ταῦτα, ἀλ-
λ' οὖν καὶ αὐτὸς μηδὲν ἀναβαλλόμενος
ἔρχου κύριε Ἰησοῦ Χριστὲ καὶ τὸν
δευτέραν σου παρουσίαν. τὸ δὲ
ἡ χάρις τοῦ Χριστοῦ μετὰ
πάντων τῶν ἁγίων,
βεβαιοῦσ
ἐπιστ:~

Τέλος τῆς Ἰωάννου Ἀποκαλύψεως.

ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΤΗΝ ΚΑΙ ΘΕΟΛΟΓΟΝ:~

Ὅτι μὴ πολὺ τῶν ἀγγέλων ἀφέστηκεν ἄνθρωπος, καὶ ὅτι δυνατὸν αὐτῷ μετ' ἐκείνων εἶναι, καὶ τούτων ἐγγυτέρω εἶναι, μᾶλλον μὲν ὅσον ὅτι καὶ θεὸν μιμήσασθαι δύναται, ἐπὶ πολλῷ μείζον, ὑφ' ἐκείνου κατὰ χάριν γενέσθαι, δείκνυσι μάλιστα πάντων, ὁ μόνος οὗτος εὐαγγελιστὴς καὶ ἀπόστολος, μητέρα μὲν, τὴν παρθένον σωτυπώσας, ἀδελφὸς δὲ Χριστοῦ κληθῆναι ἀξιωθείς, ἐ κοινωνὸς αὐτῷ τῶν ἀπορρήτων γενόμενος. ἀπὸ τῶν μὲν κατ' αὐτὸν τοῦ θεοῦ μεγαλείων, αὐτὰ τὰ μεγαλοφωνότατα θεῖα λόγια κηρύκες, δηλώσει δὲ ὅμως σαφέστερον καὶ ἡμῖν ὁ λόγος. οὗτος γὰρ ἡ τοῦ λόγου φωνὴ, ὁ τῆς βροντῆς υἱὸς, ὁ πᾶν οἰκουμενῶν τῷ κηρύγματι πᾶσαν σοφιλαβῶν, καὶ ὁ πάντων μείζον, καὶ μόνον ἀρκῶν, ὁ τῷ ἐμῷ ἠγαπημένος Χριστῷ, πατρίδα μὲν, οὐδεμίαν ἔσχε τῶν πόλεων, ἐκκωμίας δὲ τινος εὐτελοῦς ἐ χώρας γέγονε φαυλοτέρας. βεβαιοῦσι τὸν λόγον οἱ γραμματεῖς, προφήτην ἐκ τῆς Γαλιλαίας μὴ ἐγηγέρθαι λέγοντες. ἐπιβεβαιοῖ δὲ, καὶ ὁ ἀληθῶς Ἰσραηλίτης, μηδέπω ἕτερον ἐκ Ναζαρὲτ ἀγαθὸν εἶναι δυνάμενον διατεινόμενος. ταύτης ῥιζοῦται οὗτος ἐ ῥιώτης ὁ τηλικοῦτος ἱερὸς ὡσεὶ κλάδος ἀναδοθείς, καὶ πατρὸς ὁμοίως ἔφυ τῆς πατρίδι τῶν εὐτελῶν καὶ ἀσήμων, ἁλιέως καὶ πένητος. καὶ ὁ μὲν, ἤδη τῶν τοῦ παιδὸς ἡλικίαν παρήμφιον, ὁ δὲ πατὴρ, ἐπὶ τῶν αὐτῶν ἐργασίαν τὸν παῖδα παραλαμβάνει, κληρονόμον τῆς ἁλιευτικῆς πρισάμενος. ἐκοινωνεῖ μὲν οὖν τῆς τέχνης ὁ παῖς τῷ πατρὶ, ἐ ἦν ἀμφοτέρως ξύνοικος ἡ πενία. τί γὰρ πενέστερον ἔχοι τις ἂν ἢ πεῖν ἁλιέως, ἢ εὐτελέστερον; ὧν, εἷς καὶ οὗτος ἦν ὁ τῆς ἀληθείας κήρυξ τε καὶ διδάσκαλος. καὶ τὸ μεῖζον ἢ εὐτελείας ἀπόδειξιν, ὅτι μὴ δὲ ἀπὸ τῆς θαλάττης ἐβίωσεν, ἀλλ' ὠπτικαὶ βραχείᾳ λίμνῃ σωάμα τῷ πατρὶ καὶ τῷ ἀδελφῷ Ἰακώβῳ διέτριβε καὶ περὶ ταύτην ἐγρήφερε, διερρωγότα μὲν ῥάστων δικτυα, ὅθ' καὶ αὐτὸ πενίας τῆς ἐσχάτης ἐτύγχανε, πρὸς δὲ ὧν χερῶν ἐργασίᾳ, πρὸ ὧν ἀναγκαίων πραμυθούμενος ὄνδειαν. ἑλληνικῆς μὲν οὖν παιδείας μετεῖχεν οὐδὲ βραχύ. καὶ μάρτις ὁ θεῖος Λουκᾶς, ἰδιώτην αὐτὸν ἀπροκαλῶν καὶ ἀγράμματον. ἓν γὰρ μόνον εἶχεν οἷς ἐγνωρίζετο, τὸ ἐπίσημον, καὶ ταύτην ἀγαθὴν ἐκπατέρων εἵλκε σειρὰν, τὴν εὐσέβειαν. ἐπεὶ δὲ, πάντε τῆς σωτηρίας ἦρξε νέφι, καὶ τὰ ὧν τούτων μεταπίστιν ἦν τῆς τῶν ἀληθῶν ἤρξατο, καὶ σὺ κύριε ὁ σώσας καταμόνας τὰς καρδίας ἡμῶν, ὁ διεσπέδασας τὴν μεθ' ἡμῶν διαθήκωσον, ἀμφιδὼν εἶδες τὴν κάφσιν τοῦ Ἰσραὴλ, καὶ μήτε τῆς θεότητος ἐκτὰς, ἐλθοῦ δι' ἡμᾶς ἀναμαρτήτως ὁ σωθεὶς, μήτε τὸν τοῦ πατρὸς θρόνον ἀπολιπών, παρθένον ὤκισας δι' ἐμὲ, ἵν' ἐγὼ κατοικήσω τοὺς οὐρανοὺς, σοῦ τε παλαιοῦ σώματος ἀνακληθείς, ἐ τῆς ἁμαρ

